ISTITUTO DI STUDI BIZANTINI E NEOELLENICI
UNIVERSITÀ DI ROMA
CON IL CONCORSO DEL CONSIGLIO NAZIONALE DELLE RICERCHE

ANALECTA HYMNICA GRAECA

E CODICIBUS ERUTA ITALIAE INFERIORIS

IOSEPH SCHIRÒ
CONSILIO ET DUCTU EDITA

III

CANONES NOVEMBRIS

ATHANASIUS KOMINIS
COLLEGIT ET INSTRUXIT

ROMA 1972

ISTITUTO DI STUDI BIZANTINI E NEOELLENICI
UNIVERSITÀ DI ROMA
CON IL CONCORSO DEL CONSIGLIO NAZIONALE DELLE RICERCHE

ANALECTA HYMNICA GRAECA

E CODICIBUS ERUTA ITALIAE INFERIORIS

IOSEPH SCHIRÒ
CONSILIO ET DUCTU EDITA

III

CANONES NOVEMBRIS

ATHANASIUS KOMINIS
COLLEGIT ET INSTRUXIT

ROMA 1972

Tipografia S. Pio X - Via degli Etruschi, 7-9 - Roma

MANU SCRIPTA E QUIBUS CARMINA SUMPTA SUNT

Ab *Athon. Lavrae B 21*, s. XI, membran., mm 180 × 130, ff. 220: Acoluthiae. Menaeum novembris. — Cfr. Spyridon monachus et Sophronios Eustratiades, *Κατάλογος τῶν κωδίκων τῆς Μεγίστης Λαύρας (τῆς ἐν Ἁγίῳ Ὄρει)...*, Cambridge 1925, p. 14.

Ad *Athon. Docheiariou 31 (2705)*, s. XII, membran., ff. 239: Menaeum novembris. — Cfr. Spyr. P. Lambros, *Κατάλογος τῶν ἐν ταῖς βιβλιοθήκαις τοῦ Ἁγίου Ὄρους ἑλληνικῶν κωδίκων*, τόμος πρῶτος, Cambridge 1895, p. 237.

Ae *Athon. Lavrae Δ 20*, s. XII, membran., mm 250 × 170, ff. 104, fine mutilus: Menaeum septembris. — Cfr. Spyridon monachus et Sophronios Eustratiades, *op. cit.*, p. 54.

B *Barber. gr. 535* (= *V, 31*), s. XVI, chartac., mm 290 × 200, initio et fine mutilus: Prophetiae. Acoluthiae. Menaeum septembris-novembris. — Cfr. Seymour de Ricci, *Liste sommaire des manuscrits grecs de la Bibliotheca Barberina*, « Revue des Bibliothèques », 17 (1907), 41. — *BMGV*, p. 160.

Cc *Crypt. Δ.α. XIII*, s. XI, membran., mm 230 × 180, ff. 211: Menaeum novembris cum musicis notis ad usum olim Monasterii S. Heliae Carbonensis in Calabria. — Cfr. A. Rocchi, *Codices Cryptenses seu Abbatiae Cryptae Ferratae*, Tusculani (1883) 312-313. — Dimitrije Stefanović, *The daily menaia from Carbone*, « Boll. Grott. » 21 (1967) 41-46.

Cd *Crypt. Δ.α. III*, s. XII, membran., mm 250 × 180, ff. 200: Menaeum novembris. — Cfr. A. Rocchi, *op. cit.*, pp. 293-294. — Maria Giuseppina Malatesta Zilembo, *Gli amanuensi di Grottaferrata*, « Boll. Grott. » 19 (1965) 142.

Cu *Crypt. Δ.α.* XIX, s. XII, membran., mm 270 × 190, ff. 137: Menaeum novembris et decembris. Codex mutilus. — Cfr. A. Rocchi, *op. cit.*, pp. 320-321.

Cv *Crypt. Δ.α. XXVII*, s. XII, membran., mm 230 × 170, ff. 97: Fragmentum Menologii cum aliquot Sanctorum memoriis in

mensium novembris-augusti dies. — Cfr. A. ROCCHI, *op. cit.*, p. 328.

De *Crypt. Δ.δ. II*, s. XI vel XII ineuntis, membran., mm 190×150, ff. 113. Codex initio et fine mutilus: Anthologium. — Cfr. A. ROCCHI, *op. cit.*, pp. 389-390.

Λ *Lesb. Leimonos 124*, s. XV, chartac., mm 220×150, ff. 293: Menaeum novembris, initio mutilum. — Cfr. A. PAPADOPOULOS-KERAMEUS, *Κατάλογος τῶν ἐν ταῖς βιβλιοθήκαις τῆς νήσου Λέσβου ἑλληνικῶν χειρογράφων*, in «Ὁ ἐν Κωνσταντινουπόλει Ἑλληνικὸς Φιλολογικὸς Σύλλογος, Παράρτημα ΙΕʹ» (1884) 91.

M *Mess. gr. 52 (οεʹ, olim ρκηʹ)*, s. XI, membran., mm 312×214, ff. 128, initio et fine mutilus: Menaeum septembris-ianuarii, musicis notis instructum. Lectiones Veteris et Novi Testamenti. Epistulae et Evangelia in festis maioribus. — Cfr. A. MANCINI, *Codices Graeci monasterii Messanensis S. Salvatoris*, Messanae (1907) 101.

Ma *Mess. gr. 139 (πβʹ)*, s. XII, membran., mm 255×195, ff. 245: Anthologium mutilum. — Cfr. A. MANCINI, *op. cit.*, p. 200.

Mb *Mess. gr. 138 (ρδʹ)*, s. XII, membran., mm 260×200, ff. 9-243 (ff. 128, 237-243 palimpsesta sunt): Menaeum novembris et decembris, initio mutilum. — Cfr. A. MANCINI, *op. cit.*, pp. 199-200.

N *Mess. gr. 135 (ρκηʹ)*, s. XIII cum additamentis s. XIV-XV, membran., mm 228×152, ff. 316: Fragmentum homiliae de iudicio finali. Stichera et officia selecta. — Cfr. A. MANCINI, *op. cit.*, pp. 196-198.

P *Paris. gr. 1619 (Colbert 4455)*, s. XI-XII, membran., mm 220×160, ff. 217; membrana atque scriptura proferunt manu scriptum ex Italia Inferiore exstitisse: Menaeum septembris-novembris, initio et fine mutilum. — Cfr. H. OMONT, *op. cit.*, II (1888) 108.

Pa *Paris. gr. 259 (Colbert 1579)*, s. XII, membran., mm 266×216, ff. 305: Menaeum novembris, initio mutilum. — Cfr. H. OMONT, *op. cit.*, I, p. 28.

Pf *Paris. gr. 1570 (Mazarin.-Reg. 2498)*, anno 1127, membran., ff. 214: Menaeum novembris. — Cfr. H. OMONT, *op. cit.*, II, p. 98.

Πb *Patm. 196*, s. XIV, membran., mm 215×148, ff. 272: Menaeum novembris. — Cfr. I. SAKKELION, *Πατμιακὴ Βιβλιοθήκη*..., Ἀθήνησιν (1890) 113.

Q *Paris. gr. 13 (Colbert 121)*, s. XIII, membran., mm 390×290, ff. 478: Psalmi, Paracletica, Menaea septembris-augusti. Officia in aquae benedictionem. Triodium. Epistolae Pauli. — Cfr. H. OMONT, *Inventaire sommaire des manuscrits grecs de la bibliothèque Nationale*... I, Paris (1886) 3.

Ra *Paris. gr. 267*, s. XIV, bombyc., mm 280×200, ff. 543: Menaeum septembris-novembris. — Cfr. H. OMONT, *op. cit.*, I, p. 29.

Sa *Paris. Suppl. gr. 32*, s. XIII, membran., mm 300×210, ff. 212; scriptura hydruntina patet: Menaeum septembris - februarii, initio et fine mutilum. — Cfr. H. OMONT, *op. cit.*, III (1888) 207. — M. L. CONCASTY, *Manuscrits grecs originaires de l'Italie Méridionale conservés à Paris*, in «Atti dell'VIII Congresso Internazionale di Studi Bizantini», Palermo 1951, tom. I, Roma (1953) 29.

T *Paris. gr. 928*, s. XIII, membran., mm 280×210, ff. 479: Menaeum septembris-februarii. — Cfr. H. OMONT, *op. cit.*, I, p. 178.

V *Vat. gr. 2*, s. XI, membran., mm. 230×171, ff. 165: Menaeum, initio et fine mutilum, a die 26 septembris ad 1 decembris, quod Cryptae Ferratae saeculis XII et XIII in usu fuit. — Cfr. J. MERCATI et P. FRANCHI DE' CAVALIERI, *Codices Vaticani Graeci*, I, Romae (1923) 2. — *BMGV*, pp. 353-354.

Vb *Vat. gr. 2069 (Basil. 108)*, s. XVII, chartac., mm 290×200: Calendarium liturgicum. Index sanctorum Calabriae italica lingua. Menaeum septembris-augusti. — Cfr. *Inventarium manu scriptum codicum Basilianorum* a J. C. SCARFÒ redactum (colloc. Sala Cons. Mss. n. 44). — *BMGV*, p. 680.

Ve *Vat. gr. 1850*, s. XIII, membran. mm. 220×160: Menaeum septembris-ianuarii. — Cfr. P. CANART, *Codices Vaticani Graeci (cdd. 1745-1962)*. In Bibliotheca Vaticana (1970) 322-324. — *BMGV*, p. 650.

Vg *Vat. gr. 2270*, s. XVII, chartac., ff. 128: Menologium, 27 septembris-31 octobris. — Cfr. *Inventarium manu scriptum codicum Graecorum Bibliothecae Vaticanae* a J. COZZA LUZI confectum (colloc. Sala Cons. Mss. n. 324). — *BMGV*, p. 698.

Vk *Vat. gr. 2309*, s. XIV, chartac., ff. 144, initio et fine mutilus: Menaeum 24 sept. - 1 novembris. — Cfr. *Inventarium manu scriptum codicum Graecorum Bibliothecae Vaticanae*..., supra cit. — *BMGV*, p. 701.

SIGLA

acr.	=	acrostichis, acrostichidis, acrostichidem, acrostichide
add.	=	addidit, addiderunt
ca	=	circa
canon.	=	canonis, canonem, canone
cd.	=	codex
cdd.	=	codices
cett.	=	ceteri
cfr.	=	confer
chartac.	=	chartaceus
col.	=	columna, columnae
corr.	=	correctio, correctionis, correctionem, correctione, correxit
CP.	=	Constantinopolis, Constantinopolitanus
ed.	=	edidit, editus, editum, edita, editio
f.	=	folium
ff.	=	folia
fort.	=	fortasse
gr.	=	graecus, graeci
heirm.	=	heirmus, heirmi, heirmoi, heirmos
id.	=	idem
inc.	=	incipit, incipiens
l.c.	=	locus citatus
marg.	=	marginis, marginem, margine
membran.	=	membranaceus
mm.	=	milimetrum, milimetra
mss.	=	manu scripta
n.	=	numerus
nov.	=	novembris
om.	=	omittit, omittunt, omisit
op. cit.	=	opera citata
orat.	=	oratio, orationis, orationem
p.	=	pagina
pp.	=	paginae

s.	=	saeculi
S.	=	Sanctus, sancta, sancti etc.
SS.	=	Sancti, sanctae, etc.
scil.	=	scilicet
sqq.	=	sequentia
sup.	=	supra
sup. lin.	=	supra lineam
synax.	=	synaxarium, synaxaria
tit.	=	titulus, tituli
trop.	=	troparium, troparia, troparii
v.	=	versus, versum
vv.	=	versus, versuum, versibus
vid.	=	vide, videatur, videantur
vol.	=	volumen, voluminis, volumine, volumina
θεοτ.	=	θεοτοκίον, θεοτοκίου etc.
κάθ., καθ.	=	κάθισμα, καθίσματος etc.
κοντάκ., κοντακ., κονδ.	=	κοντάκιον, κοντακίου, κονδάκιον, κονδακίου etc.
οἶκ., οἴκ.	=	οἶκος, οἴκου etc.
πλ.	=	πλάγιος, πλαγίου, πλάγιοι
τριαδ.	=	τριαδικόν
AA.SS.	=	*Acta Sanctorum*. Antverpiae / Bruxellis / Tongerloae / Parisiis 1643-1940.
AHG	=	*Analecta Hymnica Graeca e codicibus eruta Italiae Inferioris*, IOSEPH SCHIRÒ *consilio et ductu edita*. I *Canones Septembris*, ADA DEBIASI GONZATO *collegit et instruxit*, Roma 1966; V *Canones Januarii*, ALCESTIS PROIOU *collegit et instruxit*, Roma 1971; VII *Canones Martii*, EUTYCHIUS TOMADAKIS *collegit et instruxit*, Roma 1971; VIII *Canones Aprilis*, COSTANTINUS NIKAS *collegit et instruxit*, Roma 1970.
AK	=	AMFILOKHIJ (SERGIEVSKIJ), *arkhimandr.*, *Kondakarij v grečeskom podlinnike* XII-XIII *v. po rukopisi Moskovskoj synodal'noj biblioteki* N. 437 . . . , Moskva 1879.
AB	=	*Analecta Bollandiana*, Bruxelles.
Anal. Boll.	=	*Analecta Bollandiana*, Bruxelles (in commentario).
Anth.	=	*Ἀνθολόγιον*. . ., I-III (Sept.-Dec., Ian.-Apr., Maii-Aug.). [Romae, curante Ph. Vitali] 1738.
AP	=	*Ἀρχεῖον Πόντου*, ἐν Ἀθήναις.

B.H.G.^{3} = *Bibliotheca Hagiographica Graeca*, IIIe édition..., par F. Halkin, Bruxelles 1957. (Subsidia Hagiographica 8a).

B.H.G^{3}*.A.* = *Auctarium Bibliothecae Hagiographicae Graecae*, par F. Halkin, Bruxelles 1969. (Subsidia Hagiographica 47).

Boll. Grott. = *Bollettino della Badia greca di Grottaferrata*. Grottaferrata.

BMGV = P. Canart-V. Peri, *Sussidi bibliografici per i manoscritti greci della Biblioteca Vaticana*. (Studi e Testi, 261), Città del Vaticano 1970.

BZ = *Byzantinische Zeitschrift*. Leipzig - München.

EA = *Ἐκκλησιαστικὴ Ἀλήθεια*. Σύγγραμμα περιοδικόν. Ἐν Κωνσταντινουπόλει.

EE = Σ. Εὐστρατιάδου, *Εἱρμολόγιον*. Chennevières-sur-Marne 1932. (Ἁγιορειτικὴ Βιβλιοθήκη 9).

EEBΣ = *Ἐπετηρὶς Ἑταιρείας Βυζαντινῶν Σπουδῶν*, ἐν Ἀθήναις.

EO = *Échos d'Orient*, Constantinople-Paris/Bucarest.

EPh = *Ἐκκλησιαστικὸς Φάρος*. Ἐν Ἀλεξανδρείᾳ.

ETh = Σ. Εὐστρατιάδου, *Θεοτοκάριον*, I. Chennevières-sur-Marne 1931. (Ἁγιορειτικὴ Βιβλιοθήκη 7-8).

Eustratiadis, *Ἁγιολόγιον* = Σ. Εὐστρατιάδου, *Ἁγιολόγιον τῆς Ὀρθοδόξου Ἐκκλησίας*. Ἔκδοσις τῆς Ἀποστολ. Διακ. τῆς Ἐκκλ. τῆς Ἑλλάδος. [Ἀθῆναι 1961].

Eustratiadis, *Ἑορτολόγιον* = Σ. Εὐστρατιάδου, *Τὸ Ἑορτολόγιον τῆς Ὀρθοδόξου Ἐκκλησίας ἀπὸ ἀπόψεως ἡμερολογιακῆς*, « Θεολογία » 15 (1937) 5-112.

Eustratiadis, *Ταμεῖον* = Σ. Εὐστρατιάδου, *Ταμεῖον Ἐκκλησιαστικῆς ποιήσεως*. « Ἐκκλησιαστικὸς Φάρος » 38 (1939) - 39 (1940).

Fountoulis, *Συμεὼν Θεσσαλονίκης* = Ἰωάννου Μ. Φουντούλη, *Συμεὼν ἀρχιεπισκόπου Θεσσαλονίκης τὰ λειτουργικὰ συγγράμματα*. I. *Εὐχαὶ καὶ ὕμνοι*, Θεσσαλονίκη 1968.

GIB = G. Giovanelli, *Gli inni sacri di S. Bartolomeo Juniore*. Badia Greca di Grottaferrata 1955. (Innografi Italo-greci 3).

HC = *Ὡρολόγιον ... κατὰ τὴν ἔκπαλαι τάξιν οὐ μὴν ἀλλὰ καὶ τυπικὸν τοῦ τῆς Κρυπτοφέρρης μοναστηρίου ...* Ἐν Ῥώμῃ 1677.

HR = *Ὡρολόγιον τὸ μέγα*. Ἐν Ῥώμῃ 1876.

Janin R., *La Géographie ecclésiastique* = R. Janin, *La Géographie ecclésiastique de l'Empire Byzantin* ... tom. III, *Les Églises et les Monastères*, Paris 1953.

Joannou = Θεοφίλου Ἰωάννου, *Μνημεῖα Ἁγιολογικὰ* νῦν πρῶτον ἐκδιδόμενα, Βενετίᾳ 1884.

Mart. Rom. = *Martyrologium Romanum* (Propylaeum ad Acta Sanctorum Decembris), 1940.

MR = *Μηναῖα τοῦ ὅλου ἐνιαυτοῦ*, I-VI. Ἐν Ῥώμῃ 1888-1901.

MV = *Μηναῖα... διορθωθέντα ὑπὸ Βαρθολομαίου Κουτλουμουσιανοῦ τοῦ Ἰμβρίου*, I-XII (Sept.-Aug.). Βενετία, Φοῖνιξ, 1895.

NS = *Νέα Σιών*. Ἐκκλησιαστικὸν περιοδικὸν Σύγγραμμα. Ἐν Ἱεροσολύμοις.

PaR = *Παρακλητικὴ ἤτοι Ὀκτώηχος ἡ μεγάλη*. Ἐν Ῥώμῃ 1885.

PAS = J. B. Pitra, *Analecta Sacra spicilegio Solesmensi parata*, I-IV. Parisiis-Tusculi-Venetiis 1876-1884.

Pent = *Πεντηκοστάριον... ἐν ᾧ καὶ προσετέθη ἡ παλαιὰ Ἀκολουθία τῆς ἑβδομάδος τῆς Διακαινησίμου, σὺν τοῖς Τριῳδίοις μετὰ τὸ Ἀντιπάσχα*. [Romae, curante Ph. Vitali] 1738.

PeR = *Πεντηκοστάριον χαρμόσυνον* ... Ἐν Ῥώμῃ 1883.

PG = J. P. Migne, *Patrologiae cursus completus, Series Graeca*. Lutetiae Parisiorum 1857-1866.

PID = *Παρακλητικὸν σὺν Θεῷ ἁγίῳ τῆς ὑπεραγίας Θεοτόκου. Ποίημα τοῦ ὁσίου Πατρὸς ἡμῶν Ἰωάννου τοῦ Δαμασκηνοῦ* ... [Romae, curante Ph. Vitali] 1738.

Synax. CP. = H. Delehaye, *Synaxarium Ecclesiae Constantinopolitanae* (Propylaeum ad Acta Sanctorum Novembris). Bruxellis 1902.

Synaxarium = id. id.

TR = *Τριῴδιον κατανυκτικόν, περιέχον ἅπασαν τὴν ἀνήκουσαν αὐτῷ ἀκολουθίαν τῆς ἁγίας καὶ μεγάλης Τεσσαρακοστῆς*. Ἐν Ῥώμῃ 1879.

TRM = N. B. Τωμαδάκη, *Ῥωμανοῦ τοῦ Μελῳδοῦ Ὕμνοι*, I-III. Ἀθῆναι 1952-1957.

ANALECTA HYMNICA

IN SANCTOS ANARGYROS COSMAM ET DAMIANUM

Synaxarium, 185: Μνήμη τῶν ἁγίων θαυματουργῶν ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ. Οὗτοι εἷλκον τὸ γένος ἐκ τῆς Ἀσίας, πατρὸς μὲν ὑπάρχοντος ἕλληνος, μητρὸς δὲ χριστιανῆς Θεοδότης προσαγορευομένης, ἣ πᾶσαν ἰδέαν τελείας ἀρετῆς αὐτοὺς ἐξεπαίδευσε· πάσης δὲ ἐπιστήμης ἐν πείρᾳ γενόμενοι, ταῖς λοιπαῖς χαίρειν εἰπόντες, τὴν ἰατρείαν τῶν ψυχῶν καὶ τῶν σωμάτων ἠσπάσαντο, θεραπεύοντες πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν καὶ οὐκ ἀνθρώποις μόνον ἐπικουροῦντες ἀλλὰ καὶ κτήνεσι. Διὸ οὐδὲ παρά τινός τι λαμβάνειν ἠνείχοντο πώποτε· οὕτω δὲ καλῶς τὸν ἑαυτῶν βίον διανύσαντες καὶ εὐσεβῶς ἐν εἰρήνῃ τελειωθέντες, κατετέθησαν ἐν τόπῳ καλουμένῳ Φερεμᾶν.....

Codices qui diversis traditionibus eundem praebent canonem:

Mess. gr. 135 = N, ff. 146 (150)-151v (155v)
Paris. gr. 259 = Pa, ff. 8-12
Paris. gr. 13 = Q, ff. 123r-v

Ὁ κανών.

Ἦχος δ'.

ᾠδὴ α'. *Τῷ ὁδηγήσαντι πάλαι*

Τοὺς ἐκ Θεοῦ δεδομένους
πᾶσιν ἡμῖν χάριτι
θαυματουργοὺς καὶ ἰατρούς,
τῆς ἐκκλησίας τὸ στήριγμα,
τῶν εὐσεβῶν τὸ κραταίωμα,

---

tit. in N et Pa Ἕτερος κανὼν εἰς τοὺς ἁγίους Ἀναργύρους (et in marg. Pa Ἰωσήφ); nomen hymnographi Ἰωσὴφ e tropariorum litteris initialibus odes θ' apparet; Pa autem et Q ᾠδὴ Ἰωσὴφ praebent; cfr. canones I (2) et I (3); tit. in Q vide infra canonem I (3)

heirm. α' EE 106, n. 149, Andreae; heirm. integrum refert Q

σήμερον
ἀγαλλιάσεως φωναῖς
ὑμνολογήσωμεν.

Τοὺς τῶν ἀγγέλων πολίτας,
τοὺς τῶν βροτῶν φύλακας,
τῶν ἀσθενούντων ἰατρούς,
τὴν μυροθήκην τοῦ πνεύματος,
τῶν ἰαμάτων τὸ πέλαγος
ἅπαντες
Κοσμᾶν τε καὶ Δαμιανὸν
ὕμνοις τιμήσωμεν.

Ἐκ τῶν πηγῶν τοῦ σωτῆρος
f. 146ᵛ (150ᵛ) τὴν δωρεάν, ‖ ἅγιοι,
τῶν ἰαμάτων δαψιλῶς
πεπλουτηκότες, Ἀνάργυροι,
πᾶσιν ἀνθρώποις παρέχετε
ἴασιν
καὶ ἀπολύτρωσιν παθῶν,
ἀξιοθαύμαστοι.

Οἱ ἐν βυθῷ νοσημάτων
καὶ χαλεπῷ κλύδωνι
ἀρρωστημάτων πονηρῶν
τρικυμιζόμενοι πάντοτε,
δεῦτε λιμένι προσέλθωμεν
χαίροντες
τῶν Ἀναργύρων τοῦ Χριστοῦ,
ὅπως σωθείημεν.

θεοτ. * Σὲ τοῦ Θεοῦ τὸ χωρίον,
τὴν νοητὴν τράπεζαν,
τὴν καλλονὴν τοῦ Ἰακώβ,

---

11 τῶν ἀσθενῶν τοὺς Pa Q 20 πεπλουτικῶτες N 23 παθῶν] κακῶν Pa 28 τρικυμιαζόμενοι Pa vv. 28-32 post δεῦτε in marg. sup. cd. N manu recentiore scripti sunt 33-40 θεοτ. PG 105,1137

---

35 Ps. 46,5

τὴν εὐδιάβατον γέφυραν
καὶ ἀδιάσειστον κλίμακα,
ἄχραντε,
αἱ γενεαὶ τῶν γενεῶν
πόθῳ γεραίρομεν.

ᾠδὴ γ΄. *Ὁ στερεῶν βροντὴν καὶ κτίζων πνεῦμα*

Δυὰς σεπτὴ τῶν θείων Ἀναργύρων,
ταῖς τρισηλίοις λάμψεσι
καταυγασθεῖσα πανευκλεῶς,
ἰαμάτων δᾳδουχίαις
φωταγωγεῖ τὰ πέρατα
εἰς δόξαν Θεοῦ ἡμῶν.

Κόσμος ὡραῖος, ἅγιοι, δειχθέντες
f. 147 (151) τῆς ‖ ἐκκλησίας χάριτι,
κόσμῳ παρέχετε δαψιλῶς
δωρεὰς τῶν ἰαμάτων,
τὴν ἀκοσμίαν παύοντες
παθῶν, μεγαλώνυμοι.

Μεγαλωσύνην δῶμεν τῷ Κυρίῳ
τῷ δόντι ἡμῖν ἅπασιν
ἐν περιστάσεσιν ἰατρούς,
ἐν ἀνάγκαις ὑπερμάχους
τοὺς Ἀναργύρους χάριτι,
οὓς νῦν μακαρίσωμεν.

θεοτ. * Ὁ φοβερὸς ταῖς ἄνω στρατηγίαις
ἐν σοὶ ἀφράστως ᾤκησε,

---

36 ἀδιάβατον PG 37 ἀδιάσειστον] ἀδιάστατον Q 40 πόθῳ γεραίρομεν] μακαρίζομεν PG
heirm. γ΄ EE 104, n. 147, Andreae 42 ταῖς] τοῖς N 43 πανευκλεῶς] πανευσεβῶς Q 55 ἐν περιστάσεσιν] ἐν πειρασμοῖς θείους Q 56 ὑπερμάχους] ὑπαρχούσαις N 59-64 θεοτ. PG 105, 1137

---

37 Gen. 28,12

καθαρωτέραν σε εὑρηκὼς
ὁρατῆς καὶ νοουμένης,
ἁγνὴ παρθένε, κτίσεως,
διό σε δοξάζομεν.

ᾠδὴ δ'. *Εἰσακήκοα ὁ Θεὸς*
τὴν ἀκοήν σου καὶ ἐφοβήθην

Ἀφθαρσίας καταστολὴν
ἐνδεδυμένοι τῇ ἀπεκδύσει
τοῦ γεώδους σκήνους, ἅγιοι,
σὺν ἀγγέλοις πάντοτε
f. 147ᵛ (151ᵛ) ‖ τῷ τῆς Τριάδος θρόνῳ παρίστασθε.

Πολυώδυνα τῶν ψυχῶν
ἰᾶσθε πάθη καὶ ἀρρωστίας
τῶν σωμάτων θεραπεύετε,
εὐκλεεῖς Ἀνάργυροι,
τῶν ἱερῶν ἀγγέλων συνόμιλοι.

Ὡς οἱ δύο τῶν οὐρανῶν
φαιδροὶ ἀστέρες κατακοσμεῖτε
καὶ ὑμεῖς, θεομακάριστοι,
τὸ σεπτὸν στερέωμα
τῆς ἐκκλησίας θείαις λαμπρότησιν.

θεοτ. * Ἡ λαμπὰς τοῦ θείου φωτός,
ἡ ἀνωτέρα τῶν ποιημάτων,
ἡ τὸν ἄνθρωπον θεώσασα,
ὡς Θεὸν κυήσασα,
ἡ θεοτόκος κόρη δοξάζεται.

---

61 σε om. PG 63 κτίσεως] φύσεως PG 64 δοξάζομεν (-ζωμεν Q)] μακαρίζομεν PG

heirm. δ' EE 107, n. 150, Andreae; heirm. integrum praebent N et Q 69 παρίστασθαι N 80-84 θεοτ. PG 105, 1137 81 post ἀνωτέρα PG add. πάντων 83 ὡς Θεὸν] verbo Θεὸν eraso, sup. lin. ὡς βροτὸν manus recentior scripsit in N 84 ἡ] καὶ PG κόρη om. PG

ᾠδὴ ε'. *Ἀνάτειλόν μοι, Κύριε,*

Ἀνατολῆς ὁρμώμενοι
τῆς ὄντως φωτοδότιδος,
οἱ εὐκλεεῖς Χριστοῦ Ἀνάργυροι
φωτίζουσι τὸν κόσμον
ἰαμάτων λάμψεσι
καὶ τὸ σκότος λύουσι
τῶν παθῶν τῶν χαλεπῶν.

f. 148 (152) ‖ Οἱ νόσοις χειμαζόμενοι
καὶ πάθεσι ποντούμενοι
καὶ τρικυμίαις βυθιζόμενοι
ἀμέτρων συμπτωμάτων,
δεῦτε καταφύγωμεν
τῷ λιμένι χαίροντες
τῶν πανσόφων ἰατρῶν.

Δοξάζομέν σε, Κύριε,
παράδοξα τεράστια
τὸν ἐργαζόμενον ἑκάστοτε
διὰ τῶν Ἀναργύρων
εἰς τὸν κόσμον ἅπαντα,
δι' ὧν ἡμᾶς οἴκτειρον
ὡς φιλάνθρωπος, Χριστέ.

θεοτ * Ἀνάτειλόν μοι, δέσποινα,
ἀκτῖνα θείας γνώσεως
τῷ ἐν τῷ σκότει τῆς ἀγνοίας
δεινῶς συνεχομένῳ
καὶ πρὸς φῶς ὁδήγησον
μετανοίας, ἄχραντε,
πύλη οὖσα τοῦ φωτός.

---

heirm. ε' EE 106, n. 149, Andreae 91 τὸ χαλεπὸν Pa Q 106-112 θεοτ. PG 105, 1137 108 τῷ ἐν τῷ σκότῳ τῆς ἀγνωσίας PG

ᾠδὴ ϛ΄. *Ζάλη με*
λογισμῶν καταλαβοῦσα

Βρύοντες
ὡς πηγαὶ τοῦ σωτηρίου
ἰάσεων νάματα
ἐκπλύνετε πάντα ῥύπον
νοσημάτων σωμάτων καὶ ψυχῶν,
148ᵛ (152ᵛ) || Ἀνάργυροι, φωστῆρες
τῆς οἰκουμένης ὑπέρλαμπροι.

Ἅγιος
ὁ ναὸς ὑμῶν ὑπάρχει
θαυμασίοις, ἅγιοι,
κοσμούμενος καὶ σημείοις,
ἐν ᾧ πᾶς τις προστρέχων ἐκ ψυχῆς
κομίζεται τὴν ῥῶσιν
χρεωστικῶς μακαρίζων ὑμᾶς.

Τίμιος
ἐναντίον ἀνεδείχθη
Κυρίου ὁ θάνατος
ὑμῶν ὁ θεῖος ἐν πίστει·
διὰ τοῦτο τιμᾶσθε εὐσεβῶς
ὑπὸ πιστῶν ἀνθρώπων,
τετιμημένοι Ἀνάργυροι.

θεοτ. * Σῶσόν με,
ἡ τεκοῦσα τὸν σωτῆρα·
βυθὸς συνταράσσει με
ἀμέτρων ἁμαρτημάτων
καὶ χειμάζει με κλύδων ἡδονῶν
καὶ ζάλη τῶν πνευμάτων
τῆς πονηρίας ἐκθλίβει με.

---

heirm. ϛ΄ EE 107, n. 150, Andreae 114 ὡς πηγὰς Q 134-140 θεοτ. PG 105, 1137 136 συνταράττει με Pa 137 ἀμέτρων om. PG 138 κλύδων] κλυδώνιον PG 140 ἐκθλίψει με N

127-130 Ps. 115,6

Κάθισμα.

Ἦχος δ΄. *Ταχὺ προκατάλαβε*

Ἐν κόσμῳ θεάρεστον
βίον κτησάμενοι,
θεόσδοτον ἔλλαμψιν
f. 149 (153) || τῶν ἰαμάτων ὑμῶν
τὴν χάριν ἐδέξασθε·
μύησιν γὰρ ἁγίων
εὐσεβῶς διδαχθέντες,
ὤφθητε παραδόξως
ἰατροὶ τῶν νοσούντων
Χριστοῦ τοῦ συνεργοῦντος ὑμῖν,
ἅγιοι Ἀνάργυροι.

ᾠδὴ ζ΄. *Τῇ εἰκόνι τῇ χρυσῇ*

Ὁ λαὸς ὁ τοῦ Θεοῦ
συναθροιζόμενος πίστει
ἐν τῷ τεμένει ὑμῶν, μακάριοι,
τὰς δωρεὰς ὑμῶν καταγγέλλει,
τὰς ἰάσεις ἀνυμνεῖ,
ἀνευφημεῖ περιφανῶς
τὸν τρόπον τὸν ἔνθεον
καὶ μακαρίζει ἀεὶ
τὴν πολιτείαν τὴν σεπτήν.

Δεῦτε ἴδωμεν, πιστοί,
πηγὴν θαυμάτων πλουσίως
τῶν ἰαμάτων ῥεῖθρα πηγάζουσαν
καὶ τῷ Κυρίῳ ἐν εὐφροσύνῃ
ἐκβοήσωμεν ὁμοῦ·

---

heirm. καθ. HR, 63 κάθ. om. Pa Q ἦχος δ΄ in marg. scriptum 4 ἡμῶν N

heirm. ζ΄ EE 107, n. 150, Andreae; heirm. integrum praebet Q 149 τὴν σεπτὴν] ὑμῶν Q

ὡς θαυμαστὸς εἶ ὁ Θεὸς
παράδοξα τέρατα
ἐπιτελῶν ἐπὶ γῆς
f. 149v (153v) διὰ τῶν σῶν || θεραπευτῶν.

Τίς προσέδραμεν ὑμῶν
τῷ παναγίῳ τεμένει
καὶ οὐκ εὐθέως τὴν ῥῶσιν ἔλαβε
τῶν ἀλγηδόνων ὑμᾶς γεραίρων,
ἰατροὶ θαυματουργοί,
τῶν ἐν ἀνάγκαις βοηθοί,
φωστῆρες ὑπέρλαμπροι
τῆς ἐκκλησίας Χριστοῦ,
τῶν ἰαμάτων χορηγοί;

θεοτ. Προστασία τῶν πιστῶν,
καταφυγὴ τῶν ἐν θλίψει,
ἁμαρτανόντων θερμὴ βοήθεια,
τῶν θλιβομένων παραμυθία,
ἀπολύτρωσαι ἡμᾶς
ἀπὸ ποικίλων πειρασμῶν
καὶ σῶσον δοξάζοντας
τὸν σὸν υἱὸν καὶ Θεόν,
θεοχαρίτωτε ἁγνή.

ᾠδὴ η'. *Γῆ καὶ πάντα τὰ ἐν αὐτῇ*

f. 150 (154) || Γῆν οἰκοῦντες ἐν οὐρανοῖς
ἐκτήσασθε πολίτευμα σαφῶς
ἀγωνισάμενοι καλῶς
καὶ τὸν ὄφιν καταβαλόντες
καὶ χάριν λαβόντες
τοῦ ἰᾶσθαι βροτῶν τὰ νοσήματα
εἰς δόξαν καὶ αἶνον,
Ἀνάργυροι, Κυρίου.

---

161 ῥῶσιν] λύσιν Q 168-176 aliud θεοτ. praebet PG, quod inc. Καταβήσεται Χριστὸς 174 σῶζον Pa
heirm. η' EE 107, n. 150, Andreae; heirm. integrum praebet N

Διανοίγετε ὀφθαλμούς,
ἅγιοι, ἐντεύξει πρὸς Θεόν,
χωλοῖς παρέχετε σαφῶς
εὐδρομίαν καὶ παρειμένοις
ὑγείαν τελείαν
θαυμαζόμενοι πίστει, Ἀνάργυροι·
ὅθεν καταχρέως
ὑμᾶς ἀνευφημοῦμεν.

Ἀπελαύνετε πονηρὰ
πνεύματα, καθαίρετε λεπρούς,
ὦτα ἀνοίγετε κωφῶν
καὶ εὐλάλους τοὺς πρὶν ἀλάλους
ἐργάζεσθε· ὅθεν
ἐν αἰνέσει ὑμᾶς μακαρίζομεν
πίστει συνελθόντες,
θεράποντες Κυρίου.

f. 150v (154v) θεοτ. * || Ἐξ αἱμάτων σου ἱερῶν
σεσάρκωται ὁ πάντων πλαστουργὸς
καὶ σοῦ προῆλθεν ἐκ γαστρὸς
σὲ παρθένον διαφυλάξας,
ὦ θαῦμα θαυμάτων,
ὦ καινῶν μυστηρίων φανέρωσις
ἐν σοὶ πεπραγμένων,
ἁγνή, εἰς τοὺς αἰῶνας.

---

185 διανύγετε N 188 παρημένοις N 197 ἐργάζεσθαι N 198 ἐνέσει Pa 201-208 θεοτ. PG 105, 1140 202 ὁ πλ. ὁ πάντων PG 208 ἁγνὴ εἰς] εἰς πάντας PG

185-198 L. DEUBNER, *Kosmas und Damian*, Leipzig und Berlin (1907) 88: ... τὰ δὲ πάθη, ἅπερ ἐθεράπευον οἱ ἅγιοι Κοσμᾶς καὶ Δαμιανός, ἦν τοιαῦτα· τυφλοῖς τὸ βλέπειν ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ ἐδωροῦντο, χωλοῖς τὸ περιπατεῖν, κυλλοὺς ὑγιεῖς ἐποίουν, δαίμονας ἀπήλαυνον καὶ πᾶσαν πικρίαν ἐγκειμένην ἐν σώματι ἀνθρώπων ἐθεράπευον διὰ τῆς δοθείσης αὐτοῖς χάριτος...

ᾠδὴ θ′. *Ἐποίησε κράτος*

Ἰδοὺ δή, ὡς ψάλλει,
τί καλὸν ἢ τί τερπνόν,
ὁ μέγιστος προφήτης, ἀλλ' ἢ μόνον
τὸ κατοικεῖν ἀδελφοὺς
ἐν ταὐτῷ πανευκλεῶς
εἰς θεῖα σκηνώματα Θεοῦ,
εἰς αἰωνίαν δόξαν,
διανύσαντας καλῶς
τὸν τοῦ βίου δρόμον.

Ὡραῖον ὡς ζεῦγος
τῷ ἀρότρῳ τοῦ σταυροῦ
151 (155) ‖ νεώσαντες ψυχὰς κεχερσωμένας,
πολύχουν φέρειν καρπὸν
ἀπειργάσασθε ζωῆς
τελοῦντες σημεῖα ἐπὶ γῆς
καὶ τέρατα μεγάλα,
οἰκουμένης ἰατροί,
ἐκκλησίας δόξα.

Στησώμεθα πάντες
νῦν χοροὺς πνευματικοὺς
δοξάζοντες Κοσμᾶν τὸν θεοφόρον
Δαμιανὸν τὸν κλεινὸν
τὴν δυάδα τὴν σεπτήν,
δοξάσασαν ἔργοις ἀγαθοῖς
τὸν τοῦ παντὸς δεσπότην
καὶ Θεὸν καὶ Κύριον
καὶ σωτῆρα πάντων.

---

heirm. θ′ EE 106, n. 149, Andreae; heirm. integrum praebet N
211 ἢ Pa 216 διανοίσαντας N Pa 222 ἀπειργάσασθαι N 225 ἰατροὶ] καύχημα Pa

---

209-214 Ps. 132,1

Ἡ γῆ ἑορτάζει
ἐκτελοῦσα τὴν ὑμῶν
πανήγυριν, ὡς ἥλιον ἐν κόσμῳ,
ἐφαπλουμένην λαμπρῶς
καὶ φωτίζουσαν πιστῶς
ψυχὰς καὶ καρδίας μυστικῶς
καὶ λύουσαν τὸ σκότος
τῶν παθῶν τῇ χάριτι
τῆς σεπτῆς Τριάδος.

θεοτ. * Φανεῖσα, παρθένε,
ἀνωτέρα Χερουβίμ,
f. 151ᵛ (155ᵛ) ‖ ἀνώτερον ἀπέργασαι τὸν νοῦν μου
τῶν σαρκικῶν ἡδονῶν
καὶ τοῦ βίου πειρασμῶν
καὶ δίδου βαδίζειν εὐσταλῶς
τὰς σωτηρίους τρίβους,
τὰς φερούσας, ἄχραντε,
πρὸς τὴν ἄνω πόλιν.

---

238 ἥλιος N 239 ἐφαπλουμένη Pa 245-253 θεοτ. PG 105, 1140
245 παρθένος N 246 τῶν Χερ. ἀν. PG

IN SANCTOS ANARGYROS COSMAM ET DAMIANUM

Paris. gr. 259 = Pa, ff. 8-12
(Paris. gr. 13 = Q)

Ὁ κανών.

Ἦχος δ'.

ᾠδὴ α'. *Τῷ ὁδηγήσαντι πάλαι*

1-8 Τοὺς ἐκ Θεοῦ δεδομένους
.... = N 1-8

9-16 Τοὺς τῶν ἀγγέλων πολίτας,
.... = N 9-16

17-24 Ἐκ τῶν πηγῶν τοῦ σωτῆρος
.... = N 17-24

25-32 Οἱ ἐν βυθῷ νοσημάτων
.... = N 25-32

Καὶ ἐν σαρκὶ περιόντες
καὶ πρὸς Θεόν, ἅγιοι,
μετατεθέντες εὐκλεῶς
πάντων σωτῆρες ἐδείχθητε,
πάντων προστάται ὑπάρχετε
σώζοντες
ἐξ ἀναγκῶν καὶ θλιβερῶν
ἡμᾶς, Ἀνάργυροι.

---

tit. Ἕτερος κανὼν εἰς ἁγίους Ἀναργύρους (et in marg. Ἰωσήφ); e litteris initialibus tropariorum odes θ' acrostichis patet: ΩΔΗ ΙΩΣΗΦ
heirm. α' EE 106, n. 149, Andreae

f. 8v ‖ Οἶκος δειχθέντες τοῦ θείου
καὶ παντουργοῦ πνεύματος
ταῖς ὑπερφώτοις ἀρεταῖς,
τοῦτον ὑμῶν, παμμακάριστοι,
τὸν θεῖον οἶκον δεικνύετε
πέλαγος
ταῖς ἐπισκέψεσιν ὑμῶν
θείων ἰάσεων.

θεοτ. 49-56 Σὲ τοῦ Θεοῦ τὸ χωρίον
.... = N 33-40

ᾠδὴ β'. *Ἴδετε, ἴδετε*
ὅτι ἐγώ εἰμι Θεὸς
ὁ θανατῶν καὶ ζωογονῶν...

Ἴδετε, ἴδετε
ὅτι ἐγώ εἰμι Θεὸς
ὁ τοὺς σοφοὺς δείξας ἰατροὺς
ὥσπερ μεγίστους ἀστέρας
ἐν ὕψει πεπηγότας
τῆς ἐκκλησίας καὶ λάμψεσι θείαις
καταυγάζοντας τὰ πέρατα τῆς γῆς.

Οἴδαμεν, ἔγνωμεν
ὅτι αὐτὸς εἶ ὁ Θεὸς
ὁ δι' ἡμᾶς ἄνθρωπος ὀφθεὶς
καὶ εὐσπλαγχνίᾳ ἀφάτῳ
ἰώμενος τὰ πάθη
καὶ ἀπελαύνων τὰς νόσους ἁπάντων
τῶν ἐνδόξων Ἀναργύρων προσευχαῖς.

Τίς χειμαζόμενος,
τίς ὀδυνώμενος ὑμῖν
ὑπὸ παθῶν καὶ ἀρρωστιῶν

---

heirm. β' EE 105, n. 148, Andreae

57-58 Deut. 32,39

καὶ χαλεπῶν ἀλγηδόνων
προσέδραμε καὶ θᾶττον
οὐκ ἐκομίσατο λύσιν τῶν πόνων,
παναοίδιμοι θεράποντες Χριστοῦ;

Ἄγρυπνοι φύλακες
τῶν τοῦ Κυρίου ἐντολῶν,
προασπισταὶ τῶν ἁμαρτωλῶν,
χειμαζομένων σωτῆρες,
τῶν καταπονουμένων
θερμοὶ προστάται, παντοίων κινδύνων
ταῖς εὐχαῖς ὑμῶν λυτρώσασθε ἡμᾶς.

Ὄμβροις τοῦ πνεύματος
ἐλλιμναζόμενοι, σοφοί,
πηγὴ ἡμῖν βρύουσα ἀεὶ
τῶν ἰαμάτων τὰ ῥεῖθρα
ὑπάρχετε τοῖς πίστει
προσερχομένοις ὑμῶν τῷ τεμένει
τῷ ἁγίῳ, ἰατροὶ τῶν ἀσθενῶν.

f. 9 || Ἤθροισται σήμερον
λαὸς ὑμνῆσαι ἱερὸς
τοὺς ἱεροὺς καὶ πανευκλεεῖς
ὑμῶν, μακάριοι, πόνους,
δι' ὧν θαυμάτων χάριν
πεπλουτηκότες κουφίζετε πόνους
τῶν ψυχῶν καὶ τῶν σωμάτων ἀληθῶς.

θεοτ. Ἄρχων ἡγούμενος
ἐκ τοῦ Ἰούδα τῆς φυλῆς
ὁ πλαστουργὸς πάντων Κύριος
ἀναβλαστήσας ἐτέχθη
ἐκ σοῦ, θεογεννῆτορ,
καὶ βασιλεύει ἐθνῶν κυριεύσας
ὁ δωρούμενος τῷ κόσμῳ τὴν ζωήν.

---

87 πηγῆ 94 ἱεροὺς] ἱερεῖς cd.

99-100 Matth. 2,6

ᾠδὴ γ'. *Ὁ στερεῶν βροντὴν καὶ κτίζων πνεῦμα*

106-111 Δυὰς σεπτὴ τῶν θείων Ἀναργύρων
.... = N 41-46

112-117 Κόσμος ὡραῖος, ἅγιοι, δειχθέντες
.... = N 47-52

Ὡς εὐπρεπὴς ὁ θεῖος ὑμῶν οἶκος,
ἐν ᾧ προσαφικόμενοι
ὡς συμπαθεῖς ὄντως ἰατροὶ
θεραπεύετε τοὺς νόσοις
χειμαζομένους, ἅγιοι,
πιστῶς θαυμαζόμενοι.

124-129 Μεγαλωσύνην δῶμεν τῷ Κυρίῳ
.... = N 53-58

Τριαδικῶς τὴν θείαν μοναρχίαν
θεολογοῦντες, ἅγιοι,
ἐπολιτεύσασθε ἐπὶ γῆς
ὥσπερ ἄγγελοι τὸ θεῖον
ἀποπληροῦντες βούλημα
καὶ νῦν μακαρίζεσθε.

θεοτ. 136-141 Ὁ φοβερὸς ταῖς ἄνω στρατηγίαις
.... = N 59-64

f. 9v || ᾠδὴ δ'. *Εἰσακήκοα ὁ Θεός*

142-146 Ἀφθαρσίας καταστολὴν
.... = N 65-69

147-151 Πολυώδυνα τῶν ψυχῶν
.... = N 70-74

---

heirm. γ' EE 104, n. 147, Andreae 130-135 signum τριαδ. scriptum est in marg. Pa et Q

heirm. δ' EE 107, n. 150, Andreae

152-156 Ὡς οἱ δύο τῶν οὐρανῶν
.... = N 75-79

Οἱ σωτήριοι ἰατροί,
ἡ εὐθυμία τῶν ἀθυμούντων,
τῶν νοσούντων ἡ παράκλησις,
ἡ δυὰς ἡ ἔνδοξος
πανευκλεῶς ἐν πίστει δοξάζεται.

Ἐκοιμήσατε τῶν παθῶν
ἐπαναστάσεις ἀγρύπνοις πόνοις·
διὰ τοῦτο πάντων ἄγρυπνοι
καθορᾶσθε φύλακες,
θαυματουργοὶ Κυρίου Ἀνάργυροι.

Τοὺς προστρέχοντας εὐσεβῶς
ἐν τῷ ἁγίῳ ὑμῶν τεμένει
ἐπισκέψασθε, Ἀνάργυροι,
ῥῶσιν χαριζόμενοι
καὶ τῶν λυπούντων πάντων ἀνάψυξιν.

θεοτ. 172-176 Ἡ λαμπὰς τοῦ θείου φωτός,
.... = N 80-84

ᾠδὴ ε΄. *Ἀνάτειλόν μοι, Κύριε,*

177-183 Ἀνατολῆς ὁρμώμενοι
.... = N 85-91

184-190 Οἱ νόσοις χειμαζόμενοι
.... = N 92-98

191-197 Δοξάζομέν σε, Κύριε,
f. 10 .... = N 99-105

Ὡς τῆς ἀμπέλου βότρυες
τῆς νοητῆς ὑπάρχοντες,
οἶνον ἰάσεων πηγάζετε,

---

heirm. ε΄ EE 106, n. 149, Andreae

Ἀνάργυροι, καὶ μέθην
τῶν παθῶν ἐκκόπτετε
καὶ ψυχὰς εὐφραίνετε
καὶ καρδίας τῶν πιστῶν.

Χορεύει κτίσις ἅπασα,
εὐφραίνονται οἱ ἄγγελοι
καὶ ἐπὶ γῆς ἀνθρώπων γένος
τὴν μνήμην τῶν ἐνδόξων
Ἀναργύρων σήμερον
ἑορτὴν χαρμόσυνον
ἐκτελοῦντες ἐμφανῶς.

Τριάδα τὴν ὑπέρθεον
ποθήσαντες οἱ ἅγιοι,
ταύτης θεράποντες ἐδείχθησαν·
διὸ ἐν συμπαθείᾳ
πάντων θεραπεύουσι
τὰ δεινὰ νοσήματα,
θαυμαζόμενοι ἀεί.

θεοτ. 219-225 Ἀνάτειλόν μοι, δέσποινα,
.... = N 106-112

ᾠδὴ ϛ΄. *Ζάλη με*
λογισμῶν καταλαβοῦσα

226-232 Βρύοντες
.... = N 113-119

233-239 Ἅγιος
.... = N 120-126

240-246 Τίμιος
.... = N 127-133

---

208 τῇ μνήμῃ Q 212-218 signum τριαδ. scriptum est in marg. Pa et Q
heirm. ϛ΄ EE 107, n. 150, Andreae

Ὡς δύο
ἀνατέλλετε ἀστέρες
ἐν τῷ στερεώματι
τῆς τοῦ Χριστοῦ ἐκκλησίας
f. 10v καὶ φωτίζετε ταύτην ‖ εὐσεβῶς
ἀκτῖσιν ἰαμάτων,
θαυματουργοὶ μεγαλώνυμοι.

Στήσαντες
ἁμαρτίας πᾶσαν ῥύσιν
δακρύων προχύσεσι,
ξηραίνετε παραδόξως
νοσημάτων τὴν χύσιν ἐν Χριστῷ,
Ἀνάργυροι, τῷ δόντι
ὑμῖν τὴν χάριν ἀέναον.

θεοτ. 261-267 Σῶσόν με,
.... = N 134-140

ᾠδὴ ζ'. *Τῇ εἰκόνι τῇ χρυσῇ*

268-276 Ὁ λαὸς ὁ τοῦ Θεοῦ
.... = N 141-149

277-285 Δεῦτε ἴδωμεν, πιστοί,
.... = N 150-158

Περιερχόμενοι τὴν γῆν,
θαυματουργοὶ ἰατῆρες,
τοὺς ἐν ἀνάγκαις καὶ περιστάσεσιν
ἐν συμπαθείᾳ τελειοτάτῃ
ἐπισκέπτεσθε ἀεὶ
καὶ ἐξαιρεῖσθε τῶν δεινῶν
βοῶντες ἑκάστοτε·
« εὐλογητὸς ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

---

251 φωτίζεται Pa 256 προσχύσεσι Q 260 ἡμῖν Q
heirm. ζ' EE 107, n. 150, Andreae 294 ἡμῶν praetermittit cd.

295-303 Τίς προσέδραμεν ὑμῶν
.... = N 159-167

Πηρωθέντας ὀφθαλμούς,
θεοφεγγεῖς ἰατῆρες,
f. 11 ‖ θαυματουργοῦντες προσεπανοίγετε,
ἐξηραμμένας ἰᾶσθε χεῖρας
καὶ παρέχετε χωλοῖς
τὴν εὐδρομίαν ἐν Χριστῷ
βοῶντες ἐν πνεύματι·
« εὐλογητὸς ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

Ὡραιώθη ὁ ναὸς
τῶν ἱερῶν Ἀναργύρων
ἐν θαυμασίοις πολλοῖς καὶ τέρασιν,
ἐν ᾧ ποικίλα λύονται πάθη
τῶν ἐν πίστει ἀκλινεῖ
προσερχομένων ἐν αὐτῷ
καὶ τῷ Θεῷ αἴνεσιν
ἀναπεμπόντων ἀεὶ
ὡς χορηγῷ τῶν ἀγαθῶν.

θεοτ. 322-330 Προστασία τῶν πιστῶν,
.... = N 168-176

ᾠδὴ η'. *Γῆ καὶ πάντα τὰ ἐν αὐτῇ*

331-338 Γῆν οἰκοῦντες ἐν οὐρανοῖς
.... = N 177-184

339-346 Διανοίγετε ὀφθαλμούς,
.... = N 185-192

347-354 Ἀπελαύνετε πονηρὰ
.... = N 193-200

---

312 post τῶν orat. detruncat cd.
heirm. η' EE 107, n. 150, Andreae

Τῆς ἀμπέλου τῆς νοητῆς
βότρυες ὑπάρχοντες, σοφοί,
οἶνον ἐκβλύζετε ἡμῖν
ἰαμάτων πνεύματι θείῳ
καὶ παύετε μέθην
f. 11v τῶν παθῶν ‖ καὶ καρδίας εὐφραίνετε·
ὅθεν καταχρέως
ὑμᾶς ἀνευφημοῦμεν.

Ὡς παράδεισος νοητός,
ἅγιοι, γνωρίζεται ἡμῖν
οὗτος ὁ οἶκος μυστικὴν
εὐωδίαν ἀεὶ προφέρων
τὴν ἔνθεον χάριν,
ἣν ὑμῖν Ἰησοῦς ἐχαρίσατο,
κατευωδιάζων
ἡμῶν τὰς διανοίας.

Εἰς νυμφῶνα τὸν νοητόν,
ἅγιοι, ὑπάρχοντες ἀεὶ
ἐπιφοιτήσεσιν ὑμῶν
ἐπισκέπτεσθε τοὺς νοσοῦντας
πολλῇ συμπαθείᾳ
καὶ τὰ τούτων νοσήματα παύετε
εἰς δόξαν καὶ αἶνον
τοῦ πάντων εὐεργέτου.

θεοτ. 379-386 Ἐξ αἱμάτων σου ἱερῶν
.... = N 201-208

ᾠδὴ θ'. *Ἐποίησε κράτος*
ἐν βραχίονι αὐτοῦ

Ὡς μέγιστος οὗτος
ὁ πανάγιος ναός,
Ἀνάργυροι, πρὸς ὃν ἐπιφοιτῶντες
μεγάλα καὶ φοβερὰ

360 ἰατροὶ θαυματουργοὶ Ἀνάργυροι Q 361 κατὰ χρέος Q 364 γνωρίζετε Q 368 ἡμῖν Q 369 καὶ εὐωδιάζων Pa

heirm. θ' EE 106, n. 149, Andreae 387-458 e primis litteris troporum odes θ' haec acrostichis patet: ΩΔΗ ΙΩΣΗΦ

ἐκτελεῖτε ἀληθῶς
σημεῖα καὶ τέρατα, σοφοί·
διὸ μεγαλοφώνως
συνελθόντες σήμερον
ὑμᾶς εὐφημοῦμεν.

Δοξάσωμεν πάντες
Ἰησοῦν τὸν ἀγαθὸν
καὶ εὔσπλαγχνον, τὸν πᾶσι παρασχόντα
θαυματουργοὺς ἰατροὺς
τοὺς θεράποντας αὐτοῦ,
δι' ὧν καθαιρόμεθα παθῶν
καὶ πειρασμῶν παντοίων
ἐναπολυτρούμεθα
καὶ ποικίλων νόσων.

Ἠνέῳκται πᾶσιν
ἰατρεῖον ἐπὶ γῆς
ὁ ἅγιος τῶν Ἀναργύρων οἶκος
τῇ προσφοιτήσει αὐτῶν
ἀποπαύων πυρετούς,
πνευμάτων λυτρούμενος δεινῶν
τοὺς καταπονουμένους
καὶ παντοίαν ἴασιν
χορηγῶν ἀνθρώποις.

414-422 Ἰδοὺ δή, ὡς ψάλλει,
f. 12 .... = N 209-217

423-431 Ὡραῖον ὡς ζεῦγος
.... = N 218-226

432-440 Στησώμεθα πάντες
.... = N 227-235

441-449 Ἡ γῆ ἑορτάζει
.... = N 236-244

θεοτ. 450-458 Φανεῖσα, παρθένε,
.... = N 245-253

391 ἐκτελεῖται Q 409 ἀποπαύων] ἀπελαύνων Q 423 Στησόμεθα N

1 NOV. *CANON* 1 (3)

IN SANCTOS ANARGYROS COSMAM ET DAMIANUM

Paris. gr. 13 = Q, ff. 123r-v

Ὁ κανών, οὗ ἡ ἀκροστιχὶς ἐν τῇ θ' οὕτως: ᾠδὴ Ἰωσήφ.

Ἦχος δ'.

ᾠδὴ α'. *Τῷ ὁδηγήσαντι πάλαι*
....

1-8 Τοὺς ἐκ Θεοῦ δεδομένους
.... = N 1-8

9-16 Ἐκ τῶν πηγῶν τοῦ σωτῆρος
.... = N 17-24

17-24 Τοὺς τῶν ἀγγέλων πολίτας,
.... = N 9-16

Τὴν τῶν παθῶν τυραννίδα
ἀσκητικαῖς, ἅγιοι,
καταβαλόντες ἀγωγαῖς,
χάριν ἐξ ὕψους ἐλάβετε
πάθη ἴᾶσθαι ἀνίατα
παύειν τε
τὰς ἀσθενείας τῶν βροτῶν,
θεομακάριστοι.

---

tit. Εἰς τὸν ὄρθρον κανὼν τῆς ὀκτωήχου εἷς καὶ τῶν ἁγίων εἷς ς', οὗ ἡ ἀκροστιχὶς ...
heirm. α' EE 106, n. 149, Andreae; heirm. integrum praebet cd.

33-40 Οἶκος δειχθέντες τοῦ θείου
.... = Pa 41-48

θεοτ. 41-48 Σὲ τοῦ Θεοῦ τὸ χωρίον
.... = N 33-40

ᾠδὴ γ'. *Ὁ στερεῶν βροντὴν καὶ κτίζων πνεῦμα*

49-54 Δυὰς σεπτὴ τῶν θείων Ἀναργύρων
.... = N 41-46

Ἀγγελικαῖς χορείαις συνημμένοι
καὶ παρεστῶτες, ἅγιοι,
θρόνῳ τῆς δόξης, πανευκλεῶς
ἐπισκέπτεσθε τοὺς κάτω
ἐν συμπαθείᾳ πάντοτε
δεινῶν ἐξαιρούμενοι.

Τῶν ἰαμάτων θείαις ἐπομβρίαις
τὸν καύσωνα δροσίζετε
τῶν παθημάτων καὶ τὸν φλογμὸν
καταπαύετε τῶν νόσων
ῥῶσιν ἡμῖν ἀνάργυρον
δωρούμενοι, ἅγιοι.

67-72 Μεγαλωσύνην δῶμεν τῷ Κυρίῳ
.... = N 53-58

73-78 Τριαδικῶς τὴν θείαν μοναρχίαν
.... = Pa 130-135

θεοτ. 79-84 Ὁ φοβερὸς ταῖς ἄνω στρατηγίαις
.... = N 59-64

---

heirm. γ' EE 104, n. 147, Andreae 73-78 signum τριαδ. in marg. delineavit scriba

Κάθισμα.

Ἦχος πλ. δ'. *Τὴν Σοφίαν καὶ Λόγον*

Οὐρανόθεν θαυμάτων τὴν δωρεὰν
....

Ἕτερα ὅμοια.

Ἰαμάτων δοτῆρες θαυματουργοὶ
....

ᾠδὴ δ'. *Εἰσακήκοα ὁ Θεός*

85-89 Ἀφθαρσίας καταστολὴν
.... = N 65-69

Δωρεὰν τὴν χάριν, σοφοί,
τῶν ἰαμάτων πεπλουτηκότες,
δωρεὰν πᾶσι παρέχετε
τὰς ἰάσεις πάντοτε
τοῖς εὐσεβῶς ὑμῖν προσπελάζουσιν.

95-99 Τοὺς προστρέχοντας εὐσεβῶς
.... = Pa 167-171

100-104 Οἱ σωτήριοι ἰατροί,
.... = Pa 157-161

105-109 Ἐκοιμήσατε τῶν παθῶν
.... = Pa 162-166

θεοτ. 110-114 Ἡ λαμπὰς τοῦ θείου φωτός,
.... = N 80-84

καθ. MR II, 7
heirm. δ' EE 107, n. 150, Andreae; heirm. integrum profert cd.

90-92 Matth. 10,8

ᾠδὴ ε'. *Ἀνάτειλόν μοι, Κύριε,*

115-121 Ἀνατολῆς ὁρμώμενοι
.... = N 85-91

122-128 Οἱ νόσοις χειμαζόμενοι
.... = N 92-98

129-135 Δοξάζομέν σε, Κύριε,
.... = N 99-105

136-142 Χορεύει κτίσις ἅπασα,
.... = Pa 205-211

143-149 Τριάδα τὴν ὑπέρθεον
.... = Pa 212-218

θεοτ. 150-156 Ἀνάτειλόν μοι, δέσποινα,
.... = N 106-112

ᾠδὴ ς'. *Ζάλη με λογισμῶν καταλαβοῦσα*

f. 123v 157-163 ‖ Βρύοντες
.... = N 113-119

Ἄνθρακες
ἐκ πυρὸς προσαναφθέντες
τοῦ θείου, ἐφλέξατε
τὴν ὕλην τῆς ἁμαρτίας·
διὰ τοῦτο τοὺς καύσει τῶν παθῶν
ἀεὶ συνεχομένους
τῇ ἐπισκέψει δροσίζετε.

heirm. ε' EE 106, n. 149, Andreae; heirm. integrum praebet cd.
133-139 signum τριαδ. in marg. delineavit scriba
heirm. ς' EE 107, n. 150, Andreae

Ἡ θεία
καὶ πανέορτος ἡμέρα
τῶν ἁγίων, Κύριε,
ἐνδόξων Ἀναργύρων
προσκαλεῖται ἀρύσασθαι ἡμᾶς
σωτήριον ὑγείαν
καὶ τῶν παθῶν ἀποκάθαρσιν.

178-184 Ὡς δύο
.... = Pa 247-253

185-191 Στήσαντες
.... = Pa 254-260

θεοτ. 192-198 Σῶσόν με,
.... = N 134-140

Κοντάκιον ἰδιόμελον.

Ἦχος β'.

Οἱ τὴν χάριν λαβόντες τῶν ἰαμάτων
....

Ὁ οἶκος.

Πάσης συνέσεως καὶ σοφίας
....

ᾠδὴ ζ'. *Τῇ εἰκόνι τῇ χρυσῇ*

199-207 Ὁ λαὸς ὁ τοῦ Θεοῦ
.... = N 141-149

Κοντάκ. et οἰκ. MR II, 10 post οἰκ. versiculos et synaxarium breve profert cd.
heirm. ζ' EE 107, n. 150, Andreae; heirm. integer eminet

208-216 Τίς προσέδραμεν ὑμῶν
.... = N 159-167

Οἱ τὰ πάθη τῆς σαρκὸς
καταβαλόντες ἀσκήσει
καὶ ἐγκρατείᾳ καὶ μετριότητι
καὶ ἰαμάτων λαβόντες χάριν,
ἰατρεύσατε ἡμῶν
τὰς ἀσθενείας τὰς πολλάς,
Ἀνάργυροι ἔνδοξοι,
φωταγωγοὶ τῶν πιστῶν
καὶ ἰατῆρες τῶν παθῶν.

226-234 Πηρωθέντας ὀφθαλμούς,
.... = Pa 304-312

235-243 Ὡραιώθη ὁ ναὸς
.... = Pa 313-321

θεοτ. 244-252 Προστασία τῶν πιστῶν,
.... = N 168-176

ᾠδὴ η'. *Γῆ καὶ πάντα τὰ ἐν αὐτῇ*

253-260 Γῆν οἰκοῦντες ἐν οὐρανοῖς
.... = N 177-184

261-268 Εἰς νυμφῶνα τὸν νοητόν,
.... = N 371-378

Λαμπρυνθέντες ὥσπερ χρυσός,
ἅγιοι, ἰδέαις τῶν καλῶν,
χάριν ἐλάβετε σαφῶς
ἀναργύρως πάντας ἰᾶσθαι
τοὺς ἐν ἀσθενείαις
καὶ ποικίλοις ὑπάρχοντας πάθεσιν·
ὅθεν συνελθόντες
ὑμᾶς ἀνευφημοῦμεν.

---

heirm. η' EE 107, n. 150, Andreae

277-284 Τῆς ἀμπέλου τῆς νοητῆς

.... = Pa 355-362

285-292 Ὡς παράδεισος νοητός,

.... = Pa 363-370

θεοτ. 293-300 Ἐξ αἱμάτων σου ἱερῶν

.... = N 201-208

ᾠδὴ θ'. *Ἐποίησε κράτος*

301-309 Ὡς μέγιστος οὗτος

.... = Pa 387-395

310-318 Δοξάσωμεν πάντες

.... = Pa 396-404

319-327 Ἠνέῳκται πᾶσιν

.... = Pa 405-413

328-336 Ἰδοὺ δή, ὡς ψάλλει,

.... = N 209-217

337-345 Ὡραῖον ὡς ζεῦγος

.... = N 218-226

346-354 Στησώμεθα πάντες

.... = N 227-235

355-363 Ἡ γῆ ἑορτάζει

.... = N 236-244

θεοτ. 364-372 Φανεῖσα, παρθένε,

.... = N 245-253

---

heirm. θ' EE 106, n. 149, Andreae

IN SANCTOS ANARGYROS COSMAM ET DAMIANUM

Crypt. Δ.α. XIII = Cc, ff. 94ᵛ-98ᵛ

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Ἐγκωμίων μέλισμα τοῖς Ἀναργύροις.

Ἦχος πλ. α'.

ᾠδὴ α'. *Ἵππον καὶ ἀναβάτην*

Εὔηχον ἐγκωμίων
κροτοῦντες μέλισμα
θεοφθόγγου ἐκ λύρας
τοῦ θείου πάντες πνεύματος
τοὺς θείους δοξάσωμεν
Ἀναργύρους
ᾄδοντες ἐν αἰνέσει τὰς θεουργίας αὐτῶν.

Γνώμῃ θεοφιλίας
ἀπαρνησάμενοι
περικόσμιον πᾶσαν
καὶ δόξαν καὶ ἀπόλαυσιν,
Ἀνάργυροι ἅγιοι,
συγκροτεῖτε
πᾶσαν τὴν ἐκκλησίαν Χριστοῦ δοξάζειν ὑμᾶς.

Κλῆρον υἱοθεσίας
τῆς κατὰ χάριν Θεοῦ

---

tit. Ἕτερος κανὼν τῶν ἁγίων Ἀναργύρων φέρων...
heirm. α' EE 131, n. 182, Joannis 3 θεοφθόγγους 7 ἄδοντας 16 καταχάριν

---

15 Eph. 1,5-6

ἐν Χριστῷ πλουτισθέντες,
Ἀνάργυροι πανεύφημοι,
τὴν χάριν ὀμβρίζετε
τῶν θαυμάτων
πᾶσιν ὡς ἐκ πατρῴων πηγῶν κατάλληλον.

Ὤφθητε διὰ θείας
Κυρίου χάριτος
ἀναργύρῳ προθέσει,
τὰ θεῖα, ὑπερόλβιοι,
ἰάσεων ἄφθονον
χορηγίαν,
ἅγιοι, πᾶσιν ἄνωθεν ὑπατεύοντες.

f. 95 θεοτ. || Νέμοις τὰ ὑπὲρ φύσιν
ὡς ὑπὲρ φύσιν Θεὸν
ἀπειράνδρως τεκοῦσα
τοῖς χρῄζουσιν ἑκάστοτε·
ἐν σοὶ γὰρ λυτρούμεθα
καὶ κινδύνων
πάντων καὶ νοσημάτων, ἁγία δέσποινα.

ᾠδὴ β'. *Ἴδετε, ἴδετε*
ὅτι ἐγώ εἰμι Θεός,
ὁ σὰρξ .....

Μόνιμον ἵδρυσιν
τῶν ἀκενώτων θησαυρῶν
ἡ θεία
ἐκκλησία σου, Χριστέ, κληρωσαμένη
τοὺς ἁγίους σου ἐν σοὶ
διὰ τῶν δωρεῶν σου
πλουτεῖ τὰς χάριτας τῶν ἰάσεων.

« Ἴδετε, ἴδετε
ὅτι ἐγώ εἰμι Θεὸς

---

21 πατρῶον 22 διαθείας 29, 30 ὑπερφύσιν
heirm. β' EE 137, n. 192, Andreae; σάρκα EE 137

ὁ θείων
ἰαμάτων δαψιλεύσας ἀενάως
τοῖς ἁγίοις δωρεὰς
καὶ δι' αὐτῶν τοῖς νοσοῦσι
νέμων τὰς χάριτας τῇ εὐσπλαγχνίᾳ μου ».

Ὦ ζεῦγος ἅγιον,
ἅρμα τοῦ Λόγου καὶ Χριστοῦ!
ἁγίαν
διανύσαντες ἐν βίῳ πολιτείαν,
ἁγιάζετε ψυχὰς
ἐν αὐτῇ καὶ ἴᾶσθε
ἀποσοβοῦντες πάθη σωμάτων δεινῶν.

θεοτ. Φῶς ἡ κυήσασα
τῆς ἀπαθείας καὶ ζωῆς
τὸν ζόφον
τῶν παθῶν μου διασκέδασον, παρθένε,
καὶ ἀνάστησον τῆς νῦν
συνεχούσης με νόσου
ταῖς ἱκεσίαις σου, μητροπάρθενε.

ᾠδὴ γ'. *Ὁ πήξας*
ἐπ' οὐδενὸς ...

f. 95v || Νοσοῦσιν
ὀδυνηρῶς τὴν φύσιν ἑκάστοτε
καὶ τὸν ζόφον, Λόγε,
τῶν παθημάτων οἰκτρῶς
πάσχουσιν οἰκτείρας ὡς Θεός,
οἷα φωστῆρας ἄλλους
δύο μεγίστους ἰαμάτων σου
ἔλαμψας ἡμῖν τοὺς ἁγίους σου.

Μεγίστων
τῶν ἀμοιβῶν τῆς θείας στοργῆς ὑμῶν

---

45 ὁ θεῖον 53 διανοίσαντες
heirm. γ' EE 131, n. 182, Joannis 65 ἑκάστω τε

πρὸς Χριστὸν πλουσίως
ἐπαπολαύοντες
κρῆναι εὐφυῶς τὰς δωρεὰς
ἡμῖν τῶν ἰαμάτων
ἀεὶ ὠράθητε πηγάζοντες,
ἅγιοι, προνοίᾳ καὶ δόξῃ αὐτοῦ.

Ἐπαίνων
ὑπεραρθέντες, θείων ἰάσεων
παρωθεῖτε ὅρος
θείοις ὑψώμασιν
ἐν φιλοτιμίᾳ τῆς ψυχῆς
φιλίας ἀναχθέντες
καὶ ἐγκωμίων ὑπεραίρεσθε,
ἅγιοι καὶ θεῖοι Ἀνάργυροι.

θεοτ. « Ἐν θλίψει
τῆς ἀρρωστίας μου κατακείμενος
καὶ στενοχωρίᾳ
τῆς ἀπογνώσεως,
δέσποινα πανάχραντε ἁγνή,
πρὸς εὐρωστίας πλάτος
ἀνακληθήσομαι πρεσβείαις σου »,
κράζει σοι, παρθένε, ὁ δοῦλός σου.

Κάθισμα.

Ἦχος πλ. δ'. *Τὴν σοφίαν τοῦ Λόγου*

Ἐκ πηγῶν τῆς ἀβύσσου τοῦ Ἰησοῦ
τῶν θαυμάτων τὰ ῥεῖθρα θεοπρεπῶς
ἀντλήσαντες, ἅγιοι,
μυστικαῖς ἐπομβρίαις
τῶν παθῶν τὰς ζοφώδεις
νεφέλας ἐλαύνετε
καὶ νοσοῦσιν ἀνθρώποις

heirm. καθ. MR I, 68   6 ἐλαύνεται

ἰάσεις πλατύνετε·
ὅθεν οἱ τυχόντες
ῥωστικῆς θυμηδίας
ὑμῶν τὰ παράδοξα
ἐκπληττόμενοι κράζομεν·
« θεοφόροι Ἀνάργυροι,
πρεσβεύσατε ⟨Χριστῷ τῷ Θεῷ
τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι
τοῖς ἑορτάζουσι πόθῳ
τὴν ἁγίαν μνήμην ὑμῶν⟩ ».

⟨Ἕτερον κάθισμα, ὅμοιον⟩.

Οὐρανόθεν θαυμάτων τὴν δωρεὰν
....

f. 96 || ᾠδὴ δ'. *Τὴν θείαν ἐννοήσας σου κένωσιν*

Λαμπτῆρας καὶ φωστῆρας πυρσεύοντας
δύο μεγίστους ἐν Χριστῷ
τῶν ἰαμάτων τὰς χάριτας
πάντες ἐν ᾄσμασι θείοις
τοὺς θείους Ἀναργύρους αἰνέσωμεν.

Ἰάσεων ἀκένωτον ἄβυσσον
πάντα τὸν κόσμον θεϊκῶς
πληρώσαντας θεραπείαις αὐτῶν
διαφυῶς ἐπαντλοῦντες
τοὺς θείους Ἀναργύρους αἰνέσωμεν.

Συνέχει ἀποροῦσαν ἡ ἄβυσσος
χύσις τῆς χάριτος ὑμῶν
τῶν ἰαμάτων, Ἀνάργυροι,
πᾶσαν ἀνθρώπινον φρένα
πρὸς αἶνον ἀτονοῦσαν τῆς δόξης ὑμῶν.

8 πλατύνεται   14 post πρεσβεύσατε orat. detruncatur in cd.; similium καθισμάτων auctoritate eam supplevi   Ἕτερον καθ. MR II, 7
heirm. δ' EE 131, n. 182, Joannis   103 πληρώσαντες   106 ἀποροῦσα

θεοτ. Εἰς θάνατον μὴ δώσῃς ὑπνῶσαί με
βεβαρημένον νυσταγμῷ
τῆς ἀσθενείας, πανάμωμε,
ἀλλ' ἀκοιμήτῳ πρεσβείᾳ
ἀνάστησον καὶ σῶσόν με δέομαι.

f. 96v ᾠδὴ ε'. *Ὁ ἀναβαλλόμενος*
φῶς ὡς ἱμάτιον

Μόνιμον προχέοντες
ἀεὶ τὴν χάριν ὑμῶν
τῶν ἰαμάτων
τοῖς προσιοῦσιν
ἀναργύρως, ἅγιοι,
ὑπόχρεων πάντα
τὸν κόσμον ἐκληρώσασθε.

Ἅγιοι Ἀνάργυροι,
ἁγίας χάριτος
μαζοὶ ὀφθέντες,
ὡς γάλα θεῖον
ἰαμάτων χάριτας
πηγάζετε πᾶσι
στοργῇ τῆς εὐσπλαγχνίας Χριστοῦ.

Τίς ἐκδιηγήσεται
τὰς πανουργίας ὑμῶν,
ἃς διαφόρως
καὶ πολυτρόπως
τοῖς αἰτοῦσι νέμετε
ἰῶντες τοὺς πάντας,
Ἀνάργυροι μακάριοι;

---

heirm. ε' EE 131, n. 182, Joannis 116 Μόνιμον scripsi: Νόμιμον cd.; nam litteram M acrostichis petit 121 ὑπόχρεον 123-129 cfr. canon. IV (1), 62-65 127 χάριτος 128 πηγάζεται 135 ἰῶντες τοὺς π. pro ἰώμενοι πάντας; cfr. canon. III, 172

---

111 Ps. 12,3

θεοτ. Ὕδωρ τῆς ἀφέσεως,
ἡ συλλαβοῦσα Θεόν,
ἐπίσταξόν μοι
τοῦ σοῦ ἐλέους
ῥανίδα σβεννύουσα
τῆς ἐμῆς, παρθένε,
κακώσεως τὸν καύσωνα.

ᾠδὴ ς'. *Μαινομένην κλύδωνι*

Οἱ κρουνοὶ τῆς χάριτος,
οἱ τὰς θείας
πᾶσι δωρεὰς
διφυῶς παρέχοντες, αἰνείσθωσαν
ἐν Κυρίῳ,
οἱ θεῖοι πᾶσιν Ἀνάργυροι.

f. 97 ‖ Ἰαμάτων, ἅγιοι,
ἐπομβρίαις
πᾶσαν τοῦ Χριστοῦ
δωρεὰν ἀρδεύοντες ῥωννύετε
ἐκκλησίαν
ἀνευφημοῦσαν τοὺς ἄθλους ὑμῶν.

Συγκραθέντες χάριτι
τῷ Κυρίῳ
ἴαμα παθῶν
κατὰ πάσης νόσου προσφερόμενον
ἀντιδόται
τοῖς πᾶσιν ὤφθητε, ἅγιοι.

θεοτ. Ἡ θερμὴ βοήθεια,
ἡ ἐλπίς μου
καὶ καταφυγή,
παναγία δέσποινα, ἐπίσκεψαι
καὶ τῆς νόσου
ταύτης συντόμως με λύτρωσαι.

---

heirm. ς' EE 131, n. 182, Joannis 153 ῥωννύεται 155 ἀνευφημοῦσα 156 Σὺν κραθέντες

Κοντάκιον.

Ἦχος β'. *Τῷ Θεῷ ἀπὸ μήτρας*

Οἱ τὴν χάριν λαβόντες

....

Ὁ οἶκος. *Τράνωσόν μου τὴν γλῶτταν, σωτήρ μου,*

Πάσης συνέσεως καὶ σοφίας

....

f. 97v ᾠδὴ ζ'. *Ὁ ὑπερυψούμενος*

Ἄπειρος καὶ ἄρρητος
⟨ἡ⟩ ῥοπὴ τοῦ ἐλέους σου
διὰ τῶν ἁγίων σου
ἰάσεις πηγάζουσα,
Χριστέ, τοῖς μελῳδοῦσιν·
« ὁ Θεὸς εὐλογητὸς εἶ ».

Νέμοντες τὰς χάριτας,
θεοφόροι Ἀνάργυροι,
τοῖς πᾶσιν ὑπόχρεων
τὸν κόσμον ἐκτήσασθε
ἐνθέως μελῳδοῦντες·
« ὁ Θεὸς εὐλογητὸς εἶ ».

Ἄδομεν καὶ ψάλλομεν
εὐφροσύνην ἰάσεων
ὑμῶν εὐτυχήσαντες,
Ἀνάργυροι ἅγιοι,
ἐνθέως μελῳδοῦντες·
« ὁ Θεὸς εὐλογητὸς εἶ ».

Κοντάκ. et οἴκ. MR II, 10
heirm. ζ' EE 131, n. 182, Joannis 169 ἡ addidi 176 ὑπόχρεον 180 Ἄδωμεν

θεοτ. Σῶσόν με, πανάμωμε
ἁγνή, καὶ σωθήσομαι·
ἴασαι τὰ πάθη μου,
τὰ κύματα πράυνον
τῶν πολλῶν ἀλγηδόνων
πρεσβειῶν σου τῇ γαλήνῃ.

f. 98 || ᾠδὴ η'. *Σοὶ τῷ παντουργῷ*

Ῥεῖθρα ζωηρὰ
ἐξ ἀενάου δόξης
ὀμβρίσατε, ἅγιοι,
τοῖς πίστει ψάλλουσι·
« πάντα τὰ ἔργα
τὸν Κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

Γνώμῃ θεϊκῇ
θαυματουργοῦντες, θεῖοι
Ἀνάργυροι, βλύσατε
ῥῶσιν τοῖς ψάλλουσι·
« πάντα τὰ ἔργα
τὸν Κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

Ὑπεροχικῶς,
οἷα Θεοῦ ἐν πᾶσι
θεράποντες, νείματε
ῥῶσιν τοῖς ψάλλουσι·
« πάντα τὰ ἔργα
τὸν Κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

---

heirm. η' EE 131, n. 182, Joannis 193 ἐξαεννάου 197, 205, 213, 221 post ἔργα orat. varie intermittit cd.

θεοτ.

Ὤφθης ζωηρὰ
πηγὴ τῶν ἰαμάτων
ῥωννύουσα, δέσποινα,
τοὺς πίστει ψάλλοντας·
« πάντα τὰ ἔργα
τὸν Κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

ᾠδὴ θ΄. *Ἠσαΐα, χόρευε*

Ῥαντισμῷ τὴν ἴασιν
τῶν θαυμάτων νέμοντες ἀεί,
Ἀνάργυροι σοφοί,
πᾶσι τῶν παθῶν
ἀγγέλοις εὐφραίνεσθε
καὶ ἀνθρώποις εὐχαριστιῶν
δόξαν προσάγετε
τὸν σωτῆρα μεγαλύνοντες.

Ὀφθαλμοὶ ἐν χάριτι
ὁδηγοῦντες ὤφθητε πιστοὺς
f. 98v || ἐκ ζόφου τῶν παθῶν
καὶ τῶν ὀδυνῶν
πρὸς φῶς τῶν ἰάσεων
καὶ πρὸς ζωὴν θείαν ἐν Χριστῷ,
θεῖοι Ἀνάργυροι,
τὸν σωτῆρα μεγαλύνοντες.

Ἰατροὶ παγκόσμιοι
καὶ φωστῆρες τῶν ἐκκλησιῶν
δοθέντες ἐκ Θεοῦ
πᾶσι συμπαθῶς,
Ἀνάργυροι ἅγιοι,
ἐκ χαλεπῶν νόσων καὶ παθῶν
πάντας ἰάσασθε
τὸν σωτῆρα μεγαλύνοντες.

---

heirm. θ΄ EE 131, n. 182, Joannis 230 προσάγεται

Σὺν ἀποστόλοις, ἅγιοι,
καὶ ὁσίοις πᾶσιν ἐν Χριστῷ
χορεύοντες φαιδρῶς
καὶ τῶν θεϊκῶν
καλῶν ἀπολαύοντες,
κοινωνικὴν καὶ τοῖς ὑμνηταῖς
χάριν προΐλασθε
τὸν σωτῆρα μεγαλύνοντες.

θεοτ.

Ἡ τὸν θεῖον ἄνθρακα
συλλαβοῦσα, δέσποινα ἁγνή,
καὶ τοῦτον σωματικῶς
τέξασα ἐν γῇ,
κρουνοῖς τοῦ ἐλέους σου
τῶν παθῶν μου τὴν πυρκαϊὰν
ὅλην κατάσβεσον
καὶ θανάτου με ἐξάρπασον.

---

256 Is. 6,6

1 NOV. *CANON* III

IN SANCTOS ANARGYROS COSMAM ET DAMIANUM

Synaxarium, 185-188: Κοσμᾶ καὶ Δαμιανοῦ τῶν υἱῶν Θεοδότης. Οὗτοι οἱ ἅγιοι ἀνάργυροι Κοσμᾶς καὶ Δαμιανὸς ὑπῆρχον υἱοὶ γυναικὸς ὀνόματι Θεοδότης, διδαχθέντες παρὰ μὲν αὐτῆς τὰ ἱερὰ γράμματα, παρὰ δὲ τοῦ ἁγίου Πνεύματος τὴν ἰατρικὴν ἐπιστήμην. ... Ἐθεράπευσαν δὲ καὶ γυναῖκά τινα ὀνόματι Παλλαδίαν. ..... καὶ τοῦ λαοῦ ἀθυμοῦντος καὶ διαλογιζομένου, ποῦ ἄρα θάψουσιν αὐτόν, ἐξαίφνης δραμοῦσα κάμηλος, ἥτις κεκλασμένη ὑπῆρχε καὶ ἰάθη παρ' αὐτῶν, ἐβόησεν ἀνθρωπίνῃ φωνῇ..... Ἐτάφησαν οὖν ἐν τῷ τόπῳ Φερεμᾶν, πολλὰς ἰάσεις ἐπιτελοῦντες.

Crypt. Δ.α. XIII = Cc, ff. 99-103v

Ὁ κανών.

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Ἁρματηλάτην Φαραὼ ἐβύθισε*

Ἀφθονωτάτην δυσωπῶ τοῦ πνεύματος
χάριν μοι δίδου, σωτήρ,
τὰ τῆς ψυχῆς πάθη
ἰατρεύων, δέσποτα,
καὶ λύων τὴν βραδύτητα
τῆς ἀπόρου μου γλώττης,
τῶν Ἀναργύρων ᾄδειν τὰ θαύματα
καὶ σὺν τῷ Πατρὶ ὑμνεῖν σε καὶ Πνεύματι.

Βεβιωκότες τῷ Θεῷ ἁγνότατα
σπαργάνων ἐκ μητρικῶν,

---

tit. Ἕτερος κανὼν τῶν ἁγίων Ἀναργύρων φέρων ἀκροστιχίδα ἀλφάβητον μέχρι τῆς ἕκτης ἀπὸ δὲ τῆς ἕκτης μέχρι τῆς ἐνάτης, ωψχφ, ἀναφέρουσαν τὰ θαύματα αὐτῶν
heirm. α' EE 219, n. 314, Joannis   9 Βεβιοκῶς τε

τὴν παρ' αὐτοῦ χάριν
δωρεὰν εἰλήφατε
τοῦ θεραπεύειν ἅπασαν
νόσον καὶ μαλακίαν
ἀνθρώπων ἅμα σὺν κτήνεσι
τὸν δημιουργὸν ἀνυμνοῦντες Θεόν.

Γονυπετοῦσα ἀκλινῶς προσέδραμε
πίστει κλινήρης ὑμῖν,
ὡς Ἰησοῦ πάλαι
ἡ αἱμόρρους ἄνθρωπος,
ἡ Παλλαδία, ἅγιοι,
καί, τυχοῦσα κρειττόνων,
ᾠδὴν Κυρίῳ ἀνέμελπε,
τὴν καὶ θαυμαστὸς ἐν ἁγίοις αὐτοῦ.

Δεδοξασμένος ἀληθῶς εἶ, Κύριε,
ταῖς τῶν ἁγίων βουλαῖς
θαυματουργεῖς αὖθις
δι' αὐτῶν ἐξαίσια,
f. 99v ἀνθρώποις δὲ καὶ ‖ κτήνεσι
τὰς ἰάσεις παρέχων
καθὼς κηρύττει ἡ κάμηλος
γλώσσῃ λογικῇ ὁμιλήσασα.

θεοτ. * Λόγον Θεοῦ σωματωθέντα τέτοκας
τὸν πρὶν ἀσώματον
θεανδρικῶς κόσμῳ
συναναστρεφόμενον

---

14 νόσων   24 τὸν   28 ἐξέσια   32 λογική   33-40 θεοτ. MR II, 112

17-24 Deubner, 88-89:... ἐγένετο δὲ ἐν τοῖς καιροῖς ἐκείνοις γυνή τις κλινήρης, ὀνόματι Παλλαδία ... δραμοῦσα πίστει ἐδεήθη αὐτῶν... οἱ δὲ ἅγιοι ... προθύμως δραμόντες τὴν θεραπείαν πεποιήκασιν ... αἶνον ἔδωκεν τῷ Θεῷ τῷ χαρισαμένῳ αὐτοῖς τὸν στέφανον τῶν ἰαμάτων ...

31-32 Deubner, 90-91: ... καὶ ἐπιμελησάμενος αὐτὴν καὶ ὑγιῆ ποιήσας ἀπέλυσεν ... ἡ κάμηλος δρομαίως ἐλήλυθεν, βοῶσα λογικῇ φωνῇ καὶ λέγουσα ...

13-14 Matth. 4,23; 9,35; 10,1   15,29 Ps. 35,7   19-20 Matth. 9,20

ὑπερφυῶς, πανάμωμε,
θεοτόκε παρθένε·
διό σε πάντες γεραίρομεν
τὴν μετὰ Θεὸν προστασίαν ἡμῶν.

ᾠδὴ β'. *Ἴδετε, ἴδετε*
ὅτι ἐγώ εἰμι ὁ Θεὸς ὑμῶν
ὁ πρὸ τῶν αἰώνων

Ἕρψας ὁ δείλαιος
ὄφις εἰσέδυ μὲν διὰ στόματος
ἐν τοῖς τοῦ ἀγροίκου
λεληθότως ἐν στέρνοις
ὡς καὶ τῆς ἁπάσης δεσποτεύων κακίας λοιπόν,
ἐλαύνεται δὲ δεικνύων
τῶν ἁγίων Ἀναργύρων τὰς δυνάμεις λαοῖς.

Ζέων τῷ πνεύματι
Μάλχος ἀπέθετο τῷ σηκῷ ὑμῶν
ἐν ἀγαλλιάσει
τὴν ὁμόζυγον αὐτοῦ,
ὡς καλοῖς προστάταις ξενιτεύων ἐν χώρᾳ μακρᾷ.
καὶ ταύτην βλάψαι ἐχθρὸς θελήσας
καταπέπτωκε πρηνὴς τῇ δυνάμει ὑμῶν.

---

heirm. β' EE 226, n. 323, Germani 42 εἰς ἔδυ μὲν διαστόματος 44 λελυθότος 52 μακρὰ

41-47 Deubner, 91-93: ... ἀγροῖκός τις ἐκ τῶν τόπων ἐκείνων... ὕπνῳ δὲ βαθεῖ κατενεχθείς, διηνοιγμένου τοῦ στόματος αὐτοῦ, ὄφις ἕρψας εἰσῆλθεν εἰς τὴν κοιλίαν αὐτοῦ ... ἐλαυνομένου δὲ τοῦ ὄφεως ὑπὸ τῶν ἁγίων προέκυψεν ἐξελθεῖν ἐκ τοῦ στόματος αὐτοῦ... ἑώρα δὲ πᾶς ὁ λαὸς τὰ θαύματα τὰ γινόμενα ὑπὸ τῶν ἁγίων...

48-54 Deubner, 93-96: εἶπεν ὁ Μάλχος τῇ ἑαυτοῦ γυναικί· « ἰδοὺ ἐγὼ μέλλω ἀπιέναι ἐπὶ ὁδὸν μακρὰν καὶ παρατίθημί σε τοῖς ἁγίοις Κοσμᾷ καὶ Δαμιανῷ... ». γνοὺς δὲ ὁ διάβολος... ἐσχημάτισεν ἑαυτὸν ἐν νεανίσκῳ τινὶ καὶ ἐλθὼν παρέστη τῇ γυναικὶ καὶ εἶπεν αὐτῇ· « ἰδοὺ ὁ ἀνήρ σου ἀπέστειλέν με ἐκ τῆσδε τῆς πόλεως ἀπαγαγεῖν σε πρὸς αὐτὸν » ... βοώσης δὲ αὐτῆς ταῦτα ἰδοὺ ἐφάνησαν οἱ ἅγιοι... ὁ δὲ ἀρχέκακος διάβολος ἰδὼν ἔδραμεν ἐπὶ τὸν κρημνὸν καὶ ῥίψας ἑαυτὸν διεσκορπίσθη πάντα τὰ ὀστᾶ αὐτοῦ...

---

48 Act. 18,25; Rom. 12,11 52 Luc. 15,13; 19,12

Ἡ χάρις τοῦ πνεύματος
ἡ ἐνσκηνώσασα ταῖς ψυχαῖς ὑμῶν
τὸν τῇ ἀπογνώσει
ἐμπεσόντα χαλεπῶς
καὶ τῇ δεινοτάτῃ ἀσθενείᾳ ἐχόμενον
ἀπήλλαξεν οὖν δεικνῦσα
τὴν αὐτῆς ἐν ταῖς ψυχαῖς ὑμῶν οἴκησιν.

Θάμβους πεπλήσμεθα
ἐνωτιζόμενοι τὸ τοῦ θαύματος,
πῶς διὰ χοιρέων
τὴν Ἑβραίαν θαυμαστῶς
τοῦ καρκίνου πάθους ὁραθέντες ἐρρύσασθε
καὶ θείῳ ποιμνίῳ ταύτην
τοῦ τῶν ὅλων ποιητοῦ ἠριθμήσατε.

θεοτ. * Ἡ μόνη κυήσασα
τὸν ἄναρχον Λόγον, πάναγνε,
ἐκ σοῦ σαρκωθέντα
καὶ μὴ τραπέντα ὅπερ ἦν,
μείνασα παρθένος μετὰ τόκον, ἀνύμφευτε,
ἱκέτευε ὑπὲρ πάντων ἡμῶν
τοῦ λυτρωθῆναι ἐκ φθορᾶς τὴν ζωὴν ἡμῶν.

---

58 ἐμπεσῶτα 61 αὐτῆς scripsi: αὐτὴν cd. 64 διαχοιρέων 69-75 θεοτ. TR, 258

55-61 Deubner, 98-101: Περὶ τοῦ ὑδεριῶντος. Ἀνήρ τις γηραλέος πάνυ ... ὑδεριάσας ... μηδεμιᾶς ἐπιστασίας αὐτῷ ὑπὸ τῶν ἁγίων γενομένης ... ἀπειπὼν τῆς οἰκείας ζωῆς ὥρμησεν ἐπὶ τὸν ἴδιον οἶκον ἀπελθεῖν, σκληρά τινα λέγων κατὰ τῶν ἁγίων... τὴν τοιαύτην αὐτοῦ ἀθυμίαν κατέστειλαν προστάξαντες αὐτῷ βαλεῖν... καὶ τελείως ἰαθῆναι ...

62-68 Deubner, 101-104: Περὶ τῆς τὸν καρκίνον ἐχούσης Ἑβραίας. ...γυνή τις τῷ ἔθνει Ἑβραία ... ἐγκρύφιον πάθος ἔχουσα ... οἱ δὲ ...γνόντες τὰ τοῦ ἕλκους... προστάττουσιν γὰρ ταύτην ... κρέα χοιρέων μεταλαβεῖν ... τὴν ἀνάγκην τοῦ πάθους, καρκίνος γὰρ ἦν ὁ ἐνοχλῶν αὐτὴν ἔσωθεν ... ἡ τοῦ Θεοῦ δύναμις διὰ τῆς τῶν ἁγίων Κοσμᾶ καὶ Δαμιανοῦ προσευχῆς φθάσασα αὐτὸ τὸ πάθος τοῦ καρκίνου τῆς γυναικὸς εἰς τὸ κρέας μεταπηδῆσαι ἐποίησεν καὶ τὴν ἀσθενοῦσαν πάσης τῆς νόσου ἠλευθέρωσεν... ...καὶ τὴν ἰδίαν εὑροῦσα ἴασιν προθύμως ἐπὶ τὴν σωτηριώδη τῶν χριστιανῶν ἔδραμεν πίστιν, καὶ ἀξιωθεῖσα τοῦ σωτηριώδους λουτροῦ τῆς παλιγγενεσίας θυγάτηρ τῆς κολυμβήθρας ἀνεδείχθη...

f. 100 || ᾠδὴ γ΄. *Ὁ στερεώσας κατ᾽ ἀρχὰς*

Ἰατρευθεὶς διὰ τριχῶν
τῆς νόσου τῆς δυσουρίας,
τὴν ὑμῶν ἀνακηρύττει τοῖς πᾶσιν
ἐπισκίασιν, Κοσμᾶ,
Δαμιανέ, τοῖς θαύμασι,
τῷ δὲ Θεῷ ἀπαύστως
αἶνον προσάγει ὁ ἄνθρωπος.

Κατακαμπτόμενον ποτὲ
τὸν νέον τῇ παραλύσει
τῶν χειρῶν τῇ ἐπιθήσει ἴασθε
καὶ τῷ γεννήτορι αὐτοῦ,
ὥσπερ τῷ παραλύτῳ Χριστὸς
τὸν κράββατον· « ῥωσθέντα
αἴρων, ὦ ἄνερ, καὶ ἄπιθι ».

---

heirm. γ΄ EE 219, n. 314, Joannis 76 διατριχῶν

76-82 Deubner, 104-107: Περὶ τοῦ τὴν δυσουρίαν ἔχοντος. ... περιφανής τις τοῦ παλατίου ἀνήρ, ὑπὸ δυσουρίας ποτὲ ὀχλούμενος, τὴν ἔνδοξον τῶν ἁγίων ταύτην σκηνὴν κατέλαβεν... ...συνέβη ... πρόβατον ... προσενεχθῆναι, ᾧτινι ... Κοσμᾶ τὴν προσηγορίαν ἐπιτεθήκασιν... τοῦ τὴν δυσουρίαν ἔχοντος ... φανέντες γὰρ ἐν νυκτὶ λέγουσιν αὐτῷ· « εἰ θέλεις ὑγιᾶναι, ἐκ τοῦ ἐφήβου Κοσμᾶ ὀλίγας τρίχας λαβών, ταύτας καύσας καὶ βαλὼν ἐν ὕδατι πίε εὔκρατον καὶ ἰαθήσῃ... ». ποιήσας κατὰ τὴν τῶν ἐνδόξων ἁγίων κέλευσιν ἔπιεν τὸ εὔκρατον καὶ παρευθὺ ... ἐθεραπεύθη ... δοξάζων τὸν Θεὸν καὶ εὐχαριστῶν τοῖς εὐαρέστοις αὐτοῦ ἁγίοις ...

83-89 Deubner, 107-108: Περὶ τοῦ παρέτου νεωτέρου. Ἕτερος γοῦν ἀνὴρ παραγίνεται ἐν τῇ ... τῶν ἁγίων ταύτῃ σκηνῇ, νέαν ἄγων πάνυ τὴν ἡλικίαν, ὅστις ... πάρετος γέγονεν ... οἱ δὲ ἅγιοι καὶ τὴν μαρανθεῖσαν τοῦ νέου ἡλικίαν... καὶ τὰ δάκρυα τοῦ πατρὸς προσδεξάμενοι ... ἐπιθέντες ἐπ᾽ αὐτὸν τὰς χεῖρας ἀοράτως τοῦτον ἰάσαντο ... καὶ περιπατοῦντα τῷ πατρὶ δεδώκασιν, εἰρηκότες αὐτῷ κατὰ τὴν φωνὴν τοῦ Κυρίου ἀντὶ τοῦ κραββάτου· « ἆρον τὸν υἱόν σου περιπατοῦντα καὶ ἄπελθε »...

87-89 Marc. 2,11; Joh. 5,8

Λαμπρῷ τεμένει προσρυείς,
ὅτι ἀπόστημα ἔχων,
ὡς ψυχῶν εἰς ἰατρεῖον, τυγχάνει
τῆς ἰάσεως ὑμνῶν
Χριστὸν ἀκαταπαύστῳ φωνῇ
τὸν ἐν ἁγίοις μόνον
ἁγίως ἀναπαυόμενον.

Μὴ οὖν τὰ βλάσφημα λαλεῖν
καὶ θύματα διεσθίειν
ἐν νηστείαις ἡμερῶν τὸν τὸ αἷμα
ἀναπτύοντα ποτὲ
ἄνδρα διακελεύσαντες,
τῆς συνεχούσης τοῦτον
νόσου ἐλύσατε, ἅγιοι.

θεοτ. * Ὁ συναΐδιος Πατρὶ
καὶ σύνθρονος Θεὸς Λόγος
ἀναπλάσαι βουληθεὶς τὸν γενάρχην
καθ᾽ ὑπόστασιν αὐτὸν
ἐκ σοῦ, ἁγνή, ἀνέλαβεν,
ἁγιωτέραν πάντων
σέ, θεομῆτορ, εὑράμενος.

---

90 τεμένι πρὸς ῥυεῖς 91 ἀπόστεμμα 92 εἰς ἰατρεῖον: cfr. infra vv. 186-188 93 ὑμνῶν] ὑμῶν 98 διαισθίειν 99 ἐν ν. ἡμ. pro ἐν ἡμέραις νηστειῶν 104-110 θεοτ. MR II, 113 105 σύνθρονος] πνεύματι MR 108 συνέλαβεν MR 110 θεομήτωρ

90-96 Deubner, 108-111: Περὶ τοῦ ἔσωθεν ἔχοντος ἀπόστημα... ἐν τῇ θαυμαστῇ αὐτῶν ταύτῃ σκηνῇ, ... ἐν ᾗ παραγενόμενος ἕτερος ἀνήρ, ἔχων ἔνδον τῆς κοιλίας ἀπόστημα, προσήδρευεν τοῖς ἐνδόξοις ... ἰατροῖς ... καὶ πάσης αὐτὸν τῆς θανατικῆς νόσου ἀπήλλαξαν, ὥστε καὶ τοῦτον θεραπευθέντα τελείως δοξάζειν τὸν Θεὸν εὐχαριστεῖν τε καὶ τοῖς ἁγίοις αὐτοῦ Κοσμᾷ καὶ Δαμιανῷ ἐπὶ τῷ θαύματι τῷ γενομένῳ εἰς αὐτόν.

97-103 Deubner, 110-111: Περὶ τοῦ τὰ ἔμπυα ἀναφέροντος. ... τοῦ δὲ πάθους χρονίζοντος καὶ τοῦ ἀσθενοῦντος... διὰ τῆς γλώσσης βλασφημίας προφέροντος ... φαίνονται ἐν νυκτί, οὐ τῷ ἀπεγνωσμένῳ, ἀλλὰ ἑτέρῳ τινί, λέγοντες· « εἰπὲ τῷ τὸ αἷμα ἀναπτύοντι παύσασθαι μὲν τοῦ λοιποῦ καὶ ἐν τοιούτῳ γήρει τῶν ἀσέμνων μᾶλλον δὲ ἀθεμίτων λόγων, παύσασθαι δὲ καὶ τοῦ μεταλαμβάνειν πετεινοῦ μάλιστα ἐν τοιούτῳ καιρῷ » (τοῦτο γὰρ ἔλαχεν ποιεῖν ὁ ἀσθενῶν, ὄρνεις ἐν τῇ ἁγίᾳ τεσσαρακοστῇ ἐν τῷ οἴκῳ τῶν ἁγίων μεταλαμβάνων) ... ἀκούσας τοίνυν ὁ ἀσθενῶν ταῦτα καὶ ἀποσχόμενος τῆς ... βλασφημίας καὶ τοῦ ἐν τοιούτῳ τῶν νηστειῶν καιρῷ ἐσθίειν θυτόν, ... ὑγιὴς γέγονεν.

f. 100v ᾠδὴ δʹ. *Σύ μου, Χριστέ,*
Κύριος, σύ μου καὶ δύναμις

Νῦν τὴν κωφὴν
ἄγω εἰς μέσον καὶ ἄλαλον
τοῦ λαλῆσαι
σοῦ τὰς δυναστείας, Χριστέ,
τῷ σὺν Πατρὶ καὶ ἰσοσθενεῖ
Πνεύματι ἁγίῳ
τῇ γλώττῃ ταύτης ὑμνεῖσθαι Θεοῦ
Κοσμᾶ Δαμιανοῦ τε
τῶν σεπτῶν Ἀναργύρων
τῇ ἐκ σοῦ σκηνωσάσῃ χάριτι, Κύριε.

Ξενοφανῶς
ὤφθητε τῇ κρατουμένῃ πόνοις
τοῖς μητρῴοις·
λάσαρ μετὰ γλήχωνος,
θαυματουργοί, ταύτην τοῦ πιεῖν
πείσαντες, τὴν ῥῶσιν,
Ἀνάργυροι, ἐδωρήσασθε
Χριστὸν τὸν εὐεργέτην

---

heirm. δʹ EE 219, n. 314, Joannis 115 ἰσοσθενῆ 124 λάσαρ μετὰ γλήχωνος scripsi secundum vitam: λύσαντες καὶ χλίχωνι cd. 125 θαυματουργεῖ 126 θείσαντες

111-120 DEUBNER, 111-112: Περὶ τῆς κωφῆς καὶ βωβῆς... ...καταλαμβάνει τὸν πάνσεπτον οἶκον αὐτῶν γυνή τις ... κωφὴ καὶ ἄλαλος ὑπάρχουσα... τοῦ λυχνικοῦ γὰρ ἐν τῷ οἴκῳ αὐτῶν ἐπιτελουμένου καὶ τοῦ τρισαγίου κατὰ τὸ σύνηθες λεγομένου, ἐξαίφνης ἡ κωφὴ ἤκουσεν τοῦ ψαλλομένου καὶ ἡ ἄλαλος μετὰ τῶν ψαλλόντων κράξασα ἔψαλλεν μὲν σὺν αὐτοῖς τὸ τρισάγιον ... καταλείψασα πρὸς ὀλίγον τὸ ψάλλειν τὴν πρὸς τὸν Θεὸν καὶ τοὺς ἁγίους ἐποιεῖτο εὐχαριστίαν, κράζουσα καὶ βοῶσα καὶ ἐξαγγέλλουσα πᾶσιν τὰ μεγαλεῖα τοῦ Θεοῦ καὶ τὰ χαρίσματα τῶν ἁγίων αὐτοῦ Κοσμᾶ καὶ Δαμιανοῦ.

121-130 DEUBNER, 112-113: Περὶ τῆς τὴν μήτραν πασχούσης... ... ἑτέρα γυνὴ παραγίνεται ... πόνοις καὶ ἀλγηδόσιν ἀφορήτοις ὑπὸ τῶν ἔσωθεν βαλλομένη, ἥτις μᾶλλον ὑπὸ τῆς μήτρας ὀχλουμένη ἀνένδοτον τὴν ὀδύνην εἶχεν... φανέντες αὐτῇ ἐν ὀπτασίᾳ κατὰ τὸ σύνηθες αὐτοῖς προστάττουσιν αὐτὴν λάσαρ μετὰ γλήχωνος μίξασαν πιεῖν ... εἶτα τούτου ... γενομένου τοῦ πάθους τελείως ἠλλοτριώθη ... ἀλλ' ὡς ἂν καὶ ἐντεῦθεν δειχθῇ ἡ ἀνυπέρβλητος αὐτῶν χάρις καὶ τὸ ἀκατάληπτον τοῦ δοθέντος αὐτοῖς ὑπὸ τοῦ Χριστοῦ χαρίσματος...

σὺν Πατρὶ τῷ ἀνάρχῳ
καὶ τῷ Πνεύματι ὕμνοις δοξάζοντες.

Ὄλβον Χριστοῦ
καταπλουτήσαντες, ἔνδοξοι,
τοῦ κληθῆναι
Κάστωρ ἀπεσείσασθε
καὶ Πολυδεύκης, ὡς ἀληθῶς
δοῦλοι τοῦ ὑψίστου,
τὸν ἕλληνα ἰασάμενοι
τοῦ σώματος τῆς νόσου
καὶ πικρᾶς ἀπιστίας
f. 101 ‖ τῇ δυνάμει Χριστοῦ παντοκράτορος.

Ποίοις ᾠδῶν
στέμμασιν ἐγκωμιάσωμεν
τῆς πανσόφου
δυάδος τὰ θαύματα!
ἐν τῇ τριπλῇ †φύσαντες† ποτὲ
κράσει τῆς κεδρέας

---

133 κλιθῆναι 135 πολυδαῦκις 142 στέμμασιν: fort. scribendum στόμασιν 143 τῆς] τοῦ 145 fort. scribendum φήσαντες

131-140 DEUBNER, 113-117: Περὶ τοῦ πεμφθέντος ὑπὸ τῶν Ἑλλήνων Ἕλληνος ... οἱ Ἕλληνες γνόντες τὰ χαρίσματα τῶν ἰαμάτων ... ἐκάλουν τοὺς ἐνδόξους τούτους.. Κοσμᾶν καὶ Δαμιανὸν κατὰ τὸ τῆς δυσσεβοῦς αὐτῶν θρησκείας μύσος Κάστορα καὶ Πολυδεύκην... ...ἡμεῖς γὰρ οὐκ ἐσμὲν Κάστωρ καὶ Πολυδεύκης, ἀλλὰ δοῦλοι Χριστοῦ τοῦ ἀθανάτου βασιλέως ὑπάρχομεν καὶ Κοσμᾶς καὶ Δαμιανὸς τὴν προσηγορίαν κεκλήμεθα. ... ἐπιθέντες ἐπ' αὐτὸν τὰς... χεῖρας τῆς νόσου αὐτὸν ἀπήλλαξαν ... προσελθὼν γὰρ τῷ λουτρῷ τῆς ἀφθαρσίας ... τῆς ἁγίας αὐτοῦ ποίμνης πρόβατον ἐκλεκτὸν ἀνεδείχθη...

141-144 DEUBNER, 121: ... Ποία οὖν γλῶσσα ἢ ποία ἀνθρωπίνη σοφία ἐπαρκέσει διηγήσασθαι τὰ τούτων τῶν Ἀναργύρων καὶ θαυμαστῶν ἰατρῶν κατορθώματα...

141-150 DEUBNER, 122-128: Περὶ τοῦ τὴν κεδραίαν πιόντος ... συνέβη τινὰ ἄνδρα φιλητὴν ὑπάρχοντα τῆς θέας τοῦ ἱπποδρομίου ἀπόστημα περὶ τὸ μέρος τοῦ στήθους ἔχειν... καὶ εὐθὺς ἐπιστάντες αὐτῷ τῇ ἐπιούσῃ νυκτὶ κελεύουσιν μίαν κρᾶσιν κεδραίας πιεῖν καὶ τῆς νόσου ἀπαλλαγῆναι. τοῦ δὲ δυσχεραίνοντος καὶ μηδὲ ἀκοῦσαι ἀνεχομένου, πάλιν φανέντες αὐτῷ... καὶ προσθέντες τῇ μιᾷ κράσει τῆς κεδραίας ἑτέραν μίαν πιεῖν αὐτὸν προσέταττον. ὡς δὲ ὁ ἀσθενῶν ἐδυσφόρει... ἐκ τρίτου ἐπιστάντες αὐτῷ προστεθήκασιν ταῖς δύο κράσεσιν τῆς κεδραίας ἄλλην μίαν καὶ τρεῖς πιεῖν αὐτὸν κράσεις κελεύουσιν... ...ἔπιεν καὶ παρευθὺ τὸ ὂν κατὰ τοῦ στήθους αὐτοῦ ἀπόστημα ... διερράγη ... λυτρούμενοι δ' αὐτὸν τοῦ λοιποῦ καὶ τῆς ἀπατηλῆς καὶ ἐπιβλαβοῦς τοῦ ἱπποδρόμου θέας...

φανέντες κατακειμένῳ,
ἰάσασθε τὸν ἄνδρα
καὶ τῆς ἀντιλογίας
καὶ τῆς θέας τῶν ἵππων καὶ ἀποστήματος.

θεοτ. * Ὅλον ἐν σοὶ
ἀνακαινίζει τὸν ἄνθρωπον
ὅλως ὅλῳ,
πάναγνε, ἑνούμενος
ὁ πατρικοὺς κόλπους μὴ λιπὼν
καὶ τὴν σὴν γαστέρα
οἰκῆσαι καταδεξάμενος,
ὁ πλούτῳ εὐσπλαγχνίας
ἑκουσίως πτωχεύσας
καὶ πλουτίσας τὸν κόσμον θεότητι.

ᾠδὴ ε΄. *Ἵνα τί με ἀπώσω*
ἀπὸ τοῦ προσώπου σου

Ῥητορεύουσα γλῶσσα
λέγειν οὐκ ἰσχύει ἀβύσσους τῶν σῶν κριμάτων, Χριστέ,
πῶς τὴν Μάρθαν ἔτι
ῥωννυμένην δεικνύεις τοῖς θαύμασι
τῶν πανοιδίμων
καὶ ἐκφυγεῖν τοῦ τὴν Χριστῖναν
συμφερόντως μαστίζοντος δαίμονος.

---

150 ἀποστήματος] ἀποστάσεως   151-160 θεοτ. MR II, 115   160 πλουτήσας

heirm. ε΄ EE 219, n. 314, Joannis   162 ἰσχύι

161-167 Deubner, 128-132: Περὶ Μάρθας, ὅπου τὸ ἀκάθαρτον πνεῦμα... Γυνὴ γάρ τις ὀνόματι Μάρθα... τὴν ἀκμὴν τῆς ἡλικίας αὐτῆς ἐν ἀταξίᾳ τοῦ σώματος ἐξ ἀγνοίας διανύσασα... ταύτην συνέβη καταλαβοῦσαν τὴν βασιλίδα ταύτην καὶ φιλόχριστον πόλιν ἀσθενείᾳ τινὶ ἐκ τοῦ κρανίου περιπεσεῖν ... παρήγγειλαν δὲ Χριστίναν τὴν πάσχουσαν μηκέτι εἰσαγαγεῖν εἰς τὴν κορτίναν αὐτῆς, μηδὲ τοῦ λοιποῦ ὁραθῆναι αὐτῇ· « τὸ γὰρ ἐνοικοῦν ἐν αὐτῇ ἀκάθαρτον πνεῦμα ἐρασθέν σου τὴν κατά σου ἐπιβουλὴν ἐργάζεται... ». τῆς κεφαλῆς αὐτῆς τὴν ὀδύνην ἀφείλαντο ... τοῦ ἀκαθάρτου πνεύματος κράζοντος ... ἡ Χριστίνα ἔμφρων γενομένη κλαίουσα ἐδέετο...

f. 101v ‖ Σωτηρίαν δωροῦνται
πίστει Κωνσταντίνῳ φανέντες οἱ ἅγιοι
τῷ γυναίῳ τούτου
τὸ ἀπόστημα ταύτης Ἀνάργυροι,
ἐξιῶντες σοφοί,
τῇ κηρωτῇ καὶ τῷ δακτύλῳ
καὶ ἀπόντες συνόντες τοῖς εἰκονίσμασιν.

Τῷ λουτρῷ προσφυγόντι
πρεσβυτέρῳ παρέστης, ὡς περιχύτης, Κοσμᾶ,
καὶ τῆς νόσου τοῦτον
τῶν χειρῶν τῇ ἁφῇ σου διέσωσας,
τὸν σωτῆρα πάντων
τὸν τοῖς λῃσταῖς περιπεσόντα
ἰασάμενον οἴκτῳ μιμούμενος.

Ὑμνῳδὸς πιστοτάτη
τῶν φρικτῶν θαυμάτων ἰάσεως δείκνυται

---

171 ἀπόστεμμα   172 ἐξιῶντες pro ἐξιώμενοι: ἐξιόντες cd.; cfr. canon. II, 135   176 ὡς περιχύτης scripsi secundum vitam: ὥσπερ ἐχίτης cd.   180 τὸν] τῶν

168-174 Deubner, 132-134: Περὶ τῆς γυναικὸς Κωνσταντίνου τοῦ ἐν Λαοδικείᾳ ... ὅστις ἐν ἑκάστῃ αὐτοῦ ξενιτείᾳ κατὰ πίστιν ἐπεφέρετο τὸ ἐκτύπωμα τῶν ἁγίων ἐν εἰκόνι πρὸς ἀσφάλειαν ἰδίαν... ἡ συναφθεῖσα τούτῳ πρὸς γάμον γυνὴ ἠσθένησεν, ἐν τῇ σιαγόνι αὐτῆς τῇ ἐξ εὐωνύμων ἀπόστημα ἐκβαλοῦσα ... ... καὶ τοῦ ἑνὸς ἐξ αὐτῶν βαλόντος τὸν δάκτυλον εἰς τὸ στόμα αὐτῆς ἄπειρον αἷμα σεσηπὸς ἐκ τῆς γνάθου αὐτῆς ἐξῆλθε... λέγουσιν τῇ γυναικί· ἔχεις κατὰ τὸ προσκεφάλαιόν σου μέρος τῆς κηρωτῆς ... τὰ τῶν ἁγίων ἐν εἰκόνι ἐκτυπώματα ... ἔδειξε τῇ γυναικί· ἡ δὲ θεασαμένη ... ἔγνω ὅτι ὄντως σὺν αὐτοῖς ἐκεῖσε διῆγον οἱ ἅγιοι κατὰ τὴν αὐτῶν φωνήν.

175-181 Deubner, 134-137: Περὶ τοῦ πρεσβυτέρου τοῦ παρέτου... ἠβουλήθη ἐπὶ λουτρὸν ἐλθεῖν ... εἷς τοίνυν τῶν δύο θεραπόντων τοῦ Χριστοῦ ἐν σχήματι περιχύτου φανεὶς προετρέπετο τὸν ἀσθενοῦντα ἀναστῆναι καὶ εἰσελθεῖν εἰς τὸν ἐσώτερον οἶκον... ὁ ἅγιος τὰς ἰδίας χεῖρας προβαλλόμενος καὶ ταύτας ἐπιδοὺς εἰς βακτηρίαν ... ταῦτα δὲ ἔπραττεν ... μιμούμενος καὶ ἐν τούτῳ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν μὴ ἐπαισχυνθέντα οἴνῳ καὶ ἐλαίῳ καταδῆσαι τὰ τραύματα τοῦ εἰς τοὺς λῃστὰς περιπεπτωκότος ἀνθρώπου.

182-188 Deubner, 137-138. Περὶ τῆς γυναικὸς τῆς ἐχούσης τοὺς στρόφους. ... καὶ φθάσασα τὸν τόπον, ἐν ᾧ ἐν τῷ τοίχῳ ἦσαν γεγραμμένοι οἱ πάνσοφοι οὗτοι ἅγιοι τῇ πίστει αὐτῆς ἀντὶ βακτηρίας χρησαμένη καὶ ἀνορθώσασα ἑαυτήν, τοῖς ὄνυξίν τε αὐτῆς τῶν χειρῶν καταξέσασα τοῦ χρίσματος καὶ βαλοῦσα ἐν ὕδατι, ἔπιεν εὔκρατον καὶ παρευθὺ ὑγιὴς γέγονεν... ... ἥτις μετὰ τὸ ὑγιᾶναι ἦλθεν ἐν τῷ μεγάλῳ τούτῳ οἴκῳ, εὐχαριστοῦσα τῷ δεσπότῃ Χριστῷ ... καὶ διηγήσατο πᾶσιν τὴν διὰ τῶν ἁγίων προσγενομένην θεραπείαν.

179-181 Luc. 10,30-37

ἡ ῥωσθεῖσα στρόφων
ἀποξέσει πιστῶς οἰκονόμημα·
ὅθεν ἀδιστάκτως
πρὸς εὐκλεῆ ναὸν προστρέχει
ὡς ψυχῶν ἰατρεῖον, ἀοίδιμοι.

θεοτ. * Ἀνεκφράστῳ, παρθένε,
τρόπῳ κατοικήσας σε ἄνθρωπος γίνεται
ὁ πρὸ τῶν αἰώνων
ἐκ πατρὸς ἀναλάμψας τὸν ἄνθρωπον,
ἐκ φθορᾶς λυτροῦται
καὶ πρὸς ζωὴν καὶ ἀφθαρσίαν
ἐπανήγαγε μόνος ὡς εὔσπλαγχνος.

ᾠδὴ ς′. *Ἱλάσθητί μοι, σῶτερ,*

Φανότατα ἐν χερσὶν
ἐδείξατε τὰ θαυμάσια·
γύναιον γὰρ ἐκ μιᾶς
δισσῶς ἐξιάσασθε
f. 102 τὴν κλῆ||σιν ἡμίκρανον
καὶ θατέρου ἄνδρα
ἐσοχάδων, ὑπερθαύμαστοι.

Χαρίσματα ἐκ Θεοῦ
λαβόντες τῶν ἰαμάτων, σεπτοί,
ῥυσθῆναί με τῶν δεινῶν

---

184 στρόφον 189-195 θεοτ. MR II, 115 190 κατοικήσας σε] ἐνοικήσας σοι MR 192 τὸν δ' ἄνθρ. MR 195 ἐπανάγει ὡς μόνος φιλάνθρωπος MR
heirm. ς′ EE 220, n. 315, Joannis

196-202 DEUBNER, 138-141. Περὶ τῶν τριῶν θαυμάτων... Τινὸς γὰρ περιφανοῦς ἐν τῷ παλατίῳ καὶ πιστοῦ ἀνδρὸς ἔσω κατὰ τὸ δακτύλιον εἰς τὸ βάθος τραῦμα ἐσχηκότος... τὴν σκηνὴν ταύτην τῶν ἁγίων καταλαβόντος, εἰκότως καὶ ἡ τούτου ὁμόζυγος... τούτῳ ἠκολούθησεν, λαβοῦσα μεθ' ἑαυτῆς καὶ τὴν οἰκείαν ἀδελφὴν... ἡ τῆς συμβίου τούτου ἀδελφὴ ἐν μιᾷ ἡμέρᾳ... λέγει αὐτῷ ὡς ὀδύνης αὐτῇ προσγενομένης κατὰ τοῦ λαιμοῦ καὶ τὰ παρίσθμια δῆθεν αἰτιωμένης... τῇ αὐτῇ ἡμέρᾳ περιπίπτει τῷ αὐτῷ πάθει, ὅπερ ἔτυχεν καὶ ἡ ταύτης ἀδελφὴ αἰτιασαμένη... παρευθὺ ηὕρετο τῆς πίστεως αὐτῆς ὑγιὴς τοὺς καρπούς...

αὐτὸν ἱκετεύσατε
καὶ ῥῶσιν δωρήσασθε
σὺν τοῖς περιοῦσι
καὶ ἐν πίστει δεομένοις ὑμῖν.

Ψυχῶν ὑπερασπισταί,
τὸν Ἀρκαδίου ἰάσασθε,
Ἀνάργυροι, δὲ υἱὸν
αἱμάτων τῆς ῥύσεως,
Χριστὸν ἐκμιμούμενοι,
τὸν ἀφῇ κρασπέδου
τὴν αἱμόρρουν ἰασάμενον.

Ὡς παῖδα τῆς συνεχοῦς
ἰάσασθε ὑδριάσεως,
οὕτω καὶ νῦν πρὸς Θεὸν
τῷ κόσμῳ αἰτήσασθε
εἰρήνην δωρήσασθαι
καὶ τῷ θεοστέπτῳ
βασιλεῖ τὰ νικητήρια.

ᾠδὴ ζ′. *Θεοῦ συγκατάβασιν*

Ὠράθητε, ἔνδοξοι,
σοφοὶ ἀκέστορες βροτησίων παθῶν·

---

216 ἰασάμενος 217-223 hoc τροπ. ut θεοτ. in marg. signatum est 218 ὑδριάσεως (pro ὑδεριάσεως) cd. 221 δωρήσασθε
heirm. ζ′ EE 219, n. 314, Joannis

210-216 DEUBNER, 151-153: ... τινὸς γὰρ πιστοῦ ἀνδρὸς υἱὸς ὑπάρχων ... αἱμάτων ... φορὰν διὰ τοῦ στόματος ἔφερεν ... ὁ εἷς ἐξ αὐτῶν τῇ παλάμῃ τῆς χειρὸς βύσας τὸ στόμα τοῦ πάσχοντος παραχρῆμα τὴν τῶν αἱμάτων πορείαν ἐχαλίνωσεν...
217-223 DEUBNER, 149-151: Περί τινος γυναικὸς ὑδεριώσης. Γυνή τις ὑδέρου πάθει κατεχομένη τὴν θαυμαστὴν τήνδε τῶν ἁγίων κατειλήφει σκηνὴν ... ... ῥώννυσι δ' αὐτίκα καὶ πάντα μέλη τῇ γυναικὶ καὶ πάθους ἀνωτέραν παντὸς ἀπεργάζεται.
224-231 DEUBNER, 155-157: Περὶ τοῦ στομαχικοῦ. ... ἐκ παιδόθεν ἀσθένειά τις συνεῖχεν αὐτὸν περὶ τὸν στόμαχον ... ὁ δὲ ἔνδοξος τοῦ Χριστοῦ θεράπων ... δέδωκεν αὐτῷ... εἰπών· «λάβε τοῦτο καὶ ἐπίθες τῷ τόπῳ τῷ πάσχοντι καὶ ἀπαλλάττῃ τοῦ πάθους...». ὁ δὲ λαβὼν καὶ ποιήσας τὸ προσταχθὲν παρευθὺς ἀπηλλάγη τῆς νόσου.

215-216 Matth. 9,20

διὰ τοῦτο λυτροῦσθε
τῆς τοῦ στομάχου χαλεπωτάτης πληγῆς
καὶ ἀσιγήτως
κραυγάζειν διδάσκετε·
« εὐλογητὸς ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

Ψυχὰς ἰατρεύσατε
τῶν προστρεχόντων ἐν τῷ τεμένει ὑμῶν,
ὡς ἰάσασθε πάλαι
f. 102v νοσοῦντα λίθοις || ἐν τοῖς διδύμοις δεινῶς
καὶ ἀβλεψίας
δυνάμει καὶ χάριτι
τοῦ λυτρωτοῦ καὶ Θεοῦ,
σοφοὶ ἀκέστορες.

Χριστοῦ τοῦ παντάνακτος
τοῦ σαρκωθέντος οἴκτῳ μερόπων φυτλῶν
τῶν ἐμῶν ὀφλημάτων
σὺν τοῖς αἰτοῦσι λύσιν δωρήσασθε ⟨παθῶν⟩
καὶ νοσημάτων,
Ἀνάργυροι πάνσοφοι,
ὡς τῶν ψυχῶν ἰατροὶ
καὶ τῶν σωμάτων ἡμῶν.

Φωτὶ ἐλλαμπόμενοι
καὶ προορῶντες τὰ γενησόμενα

---

226 λυτροῦσθαι   229 διδάξαντες   231 post Θεὸς orat. detruncatur   234 ἰάσασθ(αι)   243 παθῶν addidi; cfr. canon. I (1), 21-23

232-239 Deubner, 157-160: ...τέλος δὲ ἐνσκήψας ἐχώρησεν κατὰ ἀναγκαίων τοῦ σώματος τόπων καὶ τοῖς λεγομένοις διδύμοις ἐμπλακεὶς εἰς ἀντιτυπίαν λίθου τὸ πολὺ τούτων μετεποίησεν... ... συμπαθῶς οἱ ἅγιοι τὴν θεραπείαν προσφέροντες ... ἅπαν τὸ ὑγρὸν ἐκκριθῆναι εὐδόκησαν... καὶ ἡ τῶν ὀφθαλμῶν ἀσθένεια ... ἐπιτιθεμένης γὰρ τοῖς ὀφθαλμοῖς αὐτοῦ τῆς κηρωτῆς ... διεδίδετο τὸ δάκρυον... τηλαυγῶς διαβλέψαι.

248-255 Deubner, 162-164: Περὶ τοῦ παρέτου καὶ τῆς ἀλάλου γυναικός. ... ὤφθησαν οἱ ἄνθρωποι τοῦ Χριστοῦ τῷ παρέτῳ λέγοντες· « εἰ θέλεις ὑγιὴς γενέσθαι, κοιμήθητι μετὰ τῆς πλησίον σου ἀνακειμένης ἀλάλου γυναικὸς ... ἔρχεται πλησίον τῆς ἀφώνου γυναικός, ἠρέμα καὶ κατ' ὀλίγον ἕρπων. ὡς δὲ ἐπελάβετο τῆς κλίνης, ᾔσθετο τὸ γύναιον, καὶ τὸν ὕπνον μετὰ τῆς ἀφωνίας ῥῖψαν ἐκάλει τε καὶ ἀνεκάλει σὺν μεγάλῃ φωνῇ τοὺς παρόντας τὸν ἐπελθόντα κακοῦργον ἀνελεῖν. ὁ δὲ δρασμῷ χρήσασθαι βουληθεὶς ... ἥλλατο τοῖς ποσὶν ... μετὰ ταῦτα πρὸς ἔννομον γάμου κοινωνίαν συνήφθησαν...

τὸν παρέσει νοσοῦντα
σὺν τῇ ἀλάλῳ κόρῃ ἰάσασθε
καὶ συναφείᾳ
ἐννόμῳ συζεύξατε,
ὡς τῶν βροτῶν ἰατροί,
θεῖοι Ἀνάργυροι.

θεοτ. * Ἰδοὺ νῦν πεπλήρωται
Δαβὶδ τοῦ θείου ἡ θεία πρόρρησις·
λιτανεύουσι νῦν γὰρ
τῷ σῷ προσώπῳ, θεογεννῆτορ ἁγνή,
οἱ κεκτημένοι
τὸν πλοῦτον τῆς χάριτος,
νῦν εὐλογοῦντες Θεὸν
τὸν σαρκωθέντα ἐκ σοῦ.

f. 103 ᾠδὴ η'. *Ἑπταπλασίως κάμινον*

Ὑπεράγαν τῆς φύσεως
θαυμαστοὶ ἀνεδείχθητε
ἄνδρα τῆς πηρώσεως τομῶς ῥυσάμενοι
καὶ αὖθις τὸ γύναιον
συκοφαντίας τῆς μοιχικῆς,
δόσεως τοῦ γάλακτος βοώσης τῷ κτίστῃ·
« οἱ παῖδες εὐλογεῖτε,

---

250 παραίσει   251 τῇ] τῷ   256-263 θεοτ. MR II, 118   259 θεογεννήτωρ   258 νῦν γὰρ] ὄντως MR   262-263 καὶ εὐλογοῦσι Θεόν, | τὸν τῶν πατέρων ἡμῶν MR

heirm. η' EE 219, n. 314, Joannis   269 δόσεως] δώσεις τῆς   270-273, 280-283, 291-293,300-303 post εὐλογεῖτε orat. detruncat cd.

264-273 Deubner, 164-166: Περὶ τῆς φανερώσεως τῆς σώφρονος γυναικός ... γυνή τις τῷ ἰδίῳ ἀνδρὶ... εἰς ζηλοτυπίας πρόφασιν ἔπεσεν... καὶ δὴ συνέβη τινὰ πάσχοντα τοὺς ὀφθαλμούς... ἰδεῖν κατ' ὄναρ ἕνα τῶν ἁγίων λέγοντα αὐτῷ· « εἰ θέλεις τὸ φῶς τηλαυγῶς ἰδεῖν... λαβὼν γάλα γυναικὸς σώφρονος περίχρισον τοὺς ὀφθαλμούς σου » ... ᾔτει δι' αὐτῆς τοῦτο τῷ ἀνδρὶ παρασχεθῆναι. ἡ δὲ προθύμως τὸ προσταχθὲν ποιήσασα δέδωκεν τῷ ἰδίῳ ἀνδρί, αὐτὸς δὲ πάλιν δέδωκεν τῷ πάσχοντι, καὶ ἐγχρισάμενος τοὺς ὀφθαλμοὺς τῷ γάλακτι τῆς γυναικός... ἔδρακεν ὁ ἀσθενῶν τηλαυγῶς...

258-263 Ps. 44,12

ἱερεῖς ἀνυμνεῖτε,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

Τῶν γηγενῶν ἡ ἔννοια
ἀπορεῖ ἐξαγγέλλουσα
τὰς ὑμῶν θεόθεν ἐκδοθείσας χάριτας·
ἴασθε ἐκ νόσου γὰρ
τοῦ ἐκ μασθοῦ τὸ γύναιον
καὶ ὁ κληρικὸς τῆς ἀπιστίας ἐβόα·
« οἱ παῖδες εὐλογεῖτε,
ἱερεῖς ἀνυμνεῖτε,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

Σωτηριώδη, ἅγιοι,
τὴν συνθήκην δεδώκατε
τῷ ἀπὸ τοῦ ἵππου καταχθέντι, τότε μὲν
τὸν πόδα συντρίψαντι,
τῷ ⟨δ'⟩ ἰατρῷ κελεύσαντες
τῷδε τῷ φαρμάκῳ ἰατρεῦσαι καὶ πίστει
σὺν τούτῳ ἀνακράζειν·
« ἱερεῖς εὐλογεῖτε,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

277 ἴασθαι 279 κληρικὸς pro κλινηρὸς scripsi secundum vitam 285 συνθήκην pro σὴν θήκην scripsi secundum vitae sensum 286 τῷ] τὸ 288 δ' addidi

274-283 DEUBNER, 166-167: Ἕτερος δέ τις ἐν τοῖς πρώτοις τῶν κληρικῶν μιᾶς αἱρέσεως καταλεγόμενος... ἠβουλήθη τὴν παννυχίδα ... ἐν τῷ καθηγιασμένῳ τῶν θεραπόντων τοῦ Χριστοῦ οἴκῳ ποιήσασθαι. καὶ δὴ... ὁρᾷ διὰ τῆς νυκτὸς τοὺς ἁγίους λέγοντας αὐτῷ· « εἰπὲ τῇ πλησίον σου κοιμωμένῃ γυναικί, τῇ τὸν μαστὸν πασχούσῃ, ἀπολελύσθαι αὐτὴν τῆς ἀσθενείας. ... ἀπῆλθε σέβων μὲν ἔκτοτε τοὺς θεραπευτὰς τοῦ Χριστοῦ ... σπεύδων ... τῆς τοῦ Χριστοῦ ὀρθοδόξου ποίμνης πρόβατον γενέσθαι...

284-293 DEUBNER, 168-170: Περὶ τοῦ τὸν πόδα κλασθέντος. Ἀνήρ τις πιστότατος καὶ τῶν ἁγίων τοῦ Χριστοῦ θεραπόντων δοῦλος ἵππῳ φερόμενος καὶ προϊὼν ἀθρόως ἐπὶ ἐδάφους ἠνέχθη, καὶ συνετρίβη ὁ ποῦς αὐτοῦ ἀπὸ τοῦ γόνατος ἕως κάτω... παρῄνουν δὲ αὐτὸν μὴ ἀθυμεῖν, ταχεῖαν ὑποσχόμενοι τὴν θεραπείαν ἐπάξειν... ἰδίοις ποσὶν ἐλθεῖν οἴκαδε δοξάζοντα καὶ αἰνοῦντα τὸν Θεόν.

Ῥωμαλέως φρονήσασα
ἡ τὸν κόρδυλον ἔχουσα
ἄνθρωπος ὑμῶν ἐν τῷ ναῷ προσέδραμε
τὴν τέχνην παρώσασα
τῶν ἰατρῶν καὶ εἴληφε
ῥῶσιν ἀοράτως τῇ τομῇ μελῳδοῦσα·
« οἱ παῖδες εὐλογεῖτε,
ἱερεῖς ἀνυμνεῖτε,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

θεοτ. * Εὐλογημένη δέσποινα,
τῆς ψυχῆς μου τὰ τραύματα
καὶ τῆς ἁμαρτίας τὰς οὐλὰς ἐξάλειψον,
Θεὸν ἡ κυήσασα
τὸν ἐπὶ πάντων, κόρη ἁγνή,
ἐκ παρθενικῆς ἀπειρογάμου νηδύος,
ὃν παῖδες εὐλογοῦσιν,
ἱερεῖς ἀνυμνοῦσι,
λαὸς ὑπερυψοῦσιν
εἰς πάντας τοὺς αἰῶνας.

f. 103v || ᾠδὴ θ'. *Ἀπειρογάμων τὸ κλέος*

Πῶς ἀοράτως ἰάθη
†οὗ ὑπὲρ† μασθοῦ ἐνώσει τὸ γύναιον

304-313 θεοτ. MR II, 119
heirm. θ' EE 223, n. 319, Joannis; heirm. integrum praebet cd., metro vero tropariorum aegre aptatur

294-303 DEUBNER, 171-172: ...γυνὴ δέ τις ἐξ ἐπηρείας κακοῦ δαίμονος ἕλκος τι δεινὸν καὶ λίθου δίκην ἀπεσκληκὸς κατὰ τοῦ μασθοῦ φύσασα... ἀποδειλιάσασα ἡ γυνὴ τὸ πρᾶγμα... ἔφησεν· « εἰ ἄρα ἐπὶ χειρουργίαν ἐπικίνδυνον προτρέπεσθέ με, βέλτιον, προσφυγεῖν τοῖς ἁγίοις τοῦ Χριστοῦ Κοσμᾷ καὶ Δαμιανῷ » ... καὶ παραγενόμενος εὑρίσκει τὴν γυναῖκα χειρουργηθεῖσαν. θεωρήσας οὖν τὰ σημεῖα καὶ ἐπιγνούς, ὅτι τῶν δοξάντων αὐτῷ καθ' ὕπνον τὸ ἔργον τῆς χειρουργίας ἐστὶν... καὶ τελείως ἀποκατέστη ὁ μασθὸς ὑγιὴς τῆς γυναικός.

314-315 DEUBNER, 172-173: ἑτέρα πάλιν γυνὴ... τὸν μασθὸν ἤλγησεν ἀποπαγέντος τοῦ γάλακτος ἐν αὐτῷ... ... καρτεροῦσα δὲ ... ηὔξησε τὸ νόσημα ὑψωθέντος τοῦ μασθοῦ... ... ἐπέθηκε τὴν κηρωτὴν τῶν ἁγίων καὶ ἐπιμείνασα ταύτῃ ἀποκατέστησε τὸν μασθὸν ὥσπερ τὸν ἄλλον.

ξένως σύριγγος ἄλλος
νύμφης ἁγνῆς μεσιτείᾳ λέγειν ἐκπλήττομαι.

Μόνην χειρῶν τὴν ὑγείαν
λίαν χωλῷ ἀρκεῖν, ὡς εἰρήκατε,
κάκιστον ἄλλου πορνείαν
ἰατρεύετε φρικτῷ σὺν ἀποστήματι.

Θάμβους ἐμπέπλησται Βίκτωρ
ἧς ἰατροὶ φαγέδαιναν λέγουσι
ζωοπυρούμενος νόσου
Ἑσπερίου τῇ κουρᾷ, ὦ παναοίδιμοι.

Δόξα τῷ μόνῳ διδόντι
γνῶναι αὐτοῦ σοφίαν καὶ σύνεσιν

---

316 ξένος 319 χωλῶν 321 ἀποστέμματι 323 ἧς] οἷς φαγέδαιναν] φυγάδαινα 324 ζωοπυρούμενον 325 Ἑσπερίου cd.; nomen vero in vita Ἕσπερος invenitur κούρα

316-318 Deubner, 173-176: Περὶ τοῦ τὴν σύριγγα ἔχοντος. ἕτερός τις ἀνὴρ ἐπιεικὴς σφόδρα, σύριγγα ἐσχηκὼς ἐν τῇ κοτύλῃ... θεωρεῖ διὰ νυκτὸς ἐρχομένους πρὸς αὐτὸν ... Κοσμᾶν καὶ Δαμιανὸν μέσον ἔχοντας τὴν κεχαριτωμένην παρθένον καὶ λέγουσαν αὐτοῖς... « ... βοηθήσατε αὐτῷ διὰ τάχους... ».

318-319 Deubner, 176-177: ... τινὸς πτωχοῦ ἀδυνάτου τοῖς ποσὶν καὶ μὴ δυναμένου τὸ σύνολον βαδίσαι μήτε ταῖς ἰδίαις χερσὶ χρήσασθαι... οἱ ἅγιοι τὰς μὲν χεῖρας τελείως ἰάσαντο, τοῖς δὲ ποσὶν τὸ τελείως βαίνειν οὐκ ἐχαρίσαντο... οἱ δὲ εἶπον... ἀρκεῖ αὐτῷ ἡ μετὰ τῆς ῥάβδου τῶν ποδῶν ἐπίβασις...

320-321 Deubner, 177-178: ... ἕτερος δέ τις ἀνὴρ... ἀπόστημα κατὰ τὴν γνάθον ἐνέγκας... « εἰ θέλεις ἀπαλλαγῆναι τῆς νόσου, ἀπόταξαι τῇδε τῇ γυναικὶ καὶ μὴ ἔστωσάν σοι πρὸς αὐτὴν συνθῆκαι ἔρωτος ἀτόπου καὶ ὑγιὴς γενήσει...» ... καὶ τὴν ὑγείαν τὴν ἑαυτοῦ προτιμοτέραν τῆς γυναικὸς ποιησάμενος ἐσπούδασεν τὸ προσταχθὲν αὐτῷ παρὰ τῶν ἁγίων ποιῆσαι.

322-325 Deubner, 184-185: Περὶ Βίκτορος σχολαστικοῦ καὶ Ἑσπέρου παραλύτου. Ἀνήρ τις σχολαστικὸς νόσῳ συσχεθεὶς ἀνηκέστῳ, ἣν φαγέδαιναν οἱ τῶν ἰατρῶν παῖδες ὀνομάζουσιν ... ἕτερος ἀνὴρ κατακείμενος ... ἡ δὲ νόσος ἦν ἡ ἐπιλεγομένη πάρεσις... ἀπεκρίθησαν αὐτῷ· « κάτελθε ἐν τῷ οἴκῳ ἡμῶν καὶ ἐπιζήτησον πλησίον τῆς σοροῦ τῶν ἁγίων λειψάνων ἄνδρα τινὰ κατακείμενον πάρετον· τοῦτον παρακάλεσον, ἵνα κείρῃ σου τὸ γένειον, καὶ παραχρῆμα ἰᾶταί σε ὁ Χριστός. ... ἐπιλαβόμενος τῶν ἐργαλείων παρειμέναις χερσὶν ... ἤρξατο κουρεύειν αὐτόν... εἶτα ἐπιμένων ἀνέστη ὀρθός. καὶ τότε συνέντες ἀμφότεροι τὴν χάριν ... πῶς ἑκάτερον διὰ θατέρου περιώδευσαν ἤρξαντο φωνῇ μεγάλῃ ἀνυμνεῖν...

βροτῶν τε νόσους ἰᾶσθαι
Ἀναργύροις Κοσμᾷ καὶ Δαμιανῷ τοῖς σεπτοῖς.

θεοτ. Φωτογεννήτωρ ὑπάρχεις
Χριστὸν ἡμῖν τεκοῦσα τὸν Κύριον·
ψαλμοῖς καὶ ὕμνοις ᾄδοντες
ὡς μητέρα τοῦ κτίστου σὲ μεγαλύνομεν.

---

329 ἀναργύρων Κοσμᾶ κ. Δαμιανοῦ τ. σ. 333 μεγαλύνωμεν

1 NOV. *CANON* IV (1)

IN SANCTOS ANARGYROS COSMAM ET DAMIANUM

Codices qui diversis traditionibus eundem praebent canonem:
Vat. gr. 1850 = Ve, ff. 35-37v
(Paris. gr. 259 = Pa, ff. 14 sqq. partim)

Ὁ κανών.

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Τῷ ἐκτινάξαντι ἐν θαλάσσῃ*

Τῷ ἀναδείξαντι ἐν τῷ κόσμῳ
τοὺς Ἀναργύρους ἰατροὺς
πάντων θεραπεύοντας τὰ πάθη τῇ χάριτι
ᾄσωμεν τῷ Χριστῷ
ὅτι δεδόξασται εἰς τοὺς αἰῶνας.

Ἐκ τῶν τοῦ πνεύματος χαρισμάτων
τῶν ἰαμάτων τὴν πηγὴν
βρύοντες οἱ ἅγιοι τὰς νόσους καθαίρουσι
πᾶσι τοῖς τοῦ Χριστοῦ
εὐεργεσίας ἀεὶ μεταδιδόντες.

θεοτ. Τὸν ἀπερίγραπτον Θεὸν Λόγον
κυοφορήσασα, ἁγνή,
ἔτεκες διπλοῦν τὸν ἀδιαίρετον ἕνα Θεὸν
καὶ ἔμεινας ὅπερ ἦς
μετὰ τὸν τόκον, παρθένε θεοτόκε.

---

tit.: rubrica silet, sed in marg. cd. Pa nomen hymnographi Γερμ(ανοῦ) scriptum est
heirm. α' EE 229, n. 328, Germani 5 post ὅτι orat. detruncat Ve 6 Ἐκ] Ἡ Ve 7 τοὺς τῶν θαυμάτων ποταμοὺς Pa 9-10 ὑμνήσωμεν οὖν πιστοὶ / τὸν δεδωκότα αὐτοῖς τὴν ἐξουσίαν **Pa**; post haec fere omnia troparia differunt in Pa

ᾠδὴ γ'. *Στερέωσον ἡμῶν*

Κόσμος νοητὸς
Χριστοῦ τῆς ἐκκλησίας
ὤφθη ἡ δυὰς
τῶν θείων Ἀναργύρων
ὑπὲρ χρυσίον καὶ λίθον τίμιον χάριν
τῶν ἰαμάτων ἀπολάμπουσα.

Ξίφει μυστικῷ
ἀρρήτῳ χειρουργίᾳ
τέμνετε, σοφοί,
τὰ πάθη τῶν σωμάτων
καὶ ταῖς ψυχαῖς εὐρωστίαν εὐχαριστίας
τῆς πρὸς τὸν Κύριον πηγάζετε.

Ἴασαι ἡμᾶς,
Χριστέ, ἐξ ἁμαρτίας
f. 35v ψυχ⟨ῶν τε⟩ || ὁμοῦ
καὶ σωμάτων νοσούντων
ταῖς τῶν σοφῶν Ἀναργύρων σου ἱκεσίαις,
ὅπως ὑμνοῦμέν σου τὴν δύναμιν.

ᾠδὴ δ'. *Μυστικῶς ὁ προφήτης προορῶν*

Μαθητευθέντες τῷ νόμῳ τοῦ Θεοῦ
ἐμυήθητε τέχνην οὐράνιον
τοῦ ἰατρεύειν τὰ πάθη
τῶν ἐν ἀσθενείαις, Ἀνάργυροι.

---

heirm. γ' EE 229, n. 328, Germani: idem est ac heirm., qui in eodem EE 224, n. 321, Joanni tribuitur 20 λίθον ex λίθιον correctum 24 τέμνεται 27 πηγάζεται 28 Ἰάσαι 30 ψυχῶν τε supplevi 33 ὑμνοῦμεν indicativum non raro pro modo conjunctivo in cdd. italicis invenies
heirm. δ' EE 226, n. 323, Germani

---

20 Ps. 18,11; Prov. 8,19

Ἐπαξίως ὑμνεῖσθε ἐπὶ γῆς
ἰατροὶ τῶν νοσούντων, Ἀνάργυροι,
ὅτι καὶ μετὰ τὸ τέλος
πάντας τῶν παθῶν ἀπαλλάττετε.

θεοτ. Χαῖρε τῆς θείας δόξης κιβωτέ,
χαῖρε ἅρμα καὶ πύρινε θρόνε,
χαῖρε κατάσκιον ὄρος,
ὅθεν ἀπετμήθη ὁ λίθος Χριστός.

f. 36 ᾠδὴ ε'. *Ὁ ἐκ νυκτὸς ἀγνοίας*

Ἐν κροσσωτοῖς θαυμάτων
κεχρυσωμένοι τῷ πνεύματι, πάνσοφοι,
ὤφθητε κοσμηθέντες
πεποικιλμένοις τοῖς κατορθώμασιν.

Ἀειφανεῖς ἀστέρας
τοὺς Ἀναργύρους ἀνέδειξας, Κύριε,
λάμποντας ἐν τῷ κόσμῳ
χάριν ἰαμάτων ἀέναον.

θεοτ. Τὴν ἐν γαστρὶ τὸν Λόγον
λοχευσαμένην ἀφράστως καὶ μείνασα⟨ν⟩
μετὰ τόκον παρθένον
ὕμνοις ἀσιγήτοις δοξάσωμεν.

ᾠδὴ ς'. *Χιτῶνά μοι παράσχου φωτεινὸν*

Τοὺς νόσῳ χειμαζομένους τῷ βυθῷ,
Ἀνάργυροι ἔνδοξοι,
ταῖς αὔραις τοῦ πνεύματος
εἰς λιμένα ἰαμάτων ἐμβιβάζετε.

38-41 trop. praebet atque Pa 38 ὑμνεῖσθαι Ve 40 τὸ om. Pa
heirm. ε' EE 226, n. 323, Germani 48 κοσμισθέντες 49 πεποικιλμένοις: et πεποικιλμένοι probandum. 50 Ἀειφανῆς 55 μείνασα
heirm. ς' EE 224, n. 321, Joannis 61 ἐμβιβάζεται

---

42 Ps. 131,8 43 Dan. 7,9 44 Hab. 3,3 45 Dan. 2,45
46-49 Ps. 44,14

Μαζοὶ τῆς ἐκκλησίας μυστικῶς
ἐδείχθητε, ἅγιοι,
οὐ γάλα προχέοντες,
ἀλλὰ χάριν ἰαμάτων ἀναβλύζοντες.

θεοτ. * Ἡ μόνη διὰ λόγου ἐν γαστρὶ
τὸν Λόγον κυήσασα
ῥῦσαι, δεόμεθα,
τῶν παγίδων τοῦ ἐχθροῦ τὰς ψυχὰς ἡμῶν.

f. 36ᵛ || Τὸ κοντάκιον.
Ἦχος β'.

Οἱ τὴν χάριν λαβόντες
....

Ὁ οἶκος.

Πάσης συνέσεως καὶ σοφίας
....

ᾠδὴ ζ'. *Ὁ δι' ἀγγέλου παῖδας*

Τῆς οὐρανίου δόξης
ἐρασταὶ γεγονότες
καὶ τῶν ἀγγέλων σύσκηνοι
καὶ τῶν παθῶν διῶκται,
νῦν τῶν χειμάρρων τῆς τρυφῆς ἀπολαύετε.

Ὡς τῷ Θεῷ τῶν ὅλων
μυστικῶς παρεστῶτες,
ἱερουργοὶ τῆς πίστεως

62-65 cfr. canon. II, 123-129 66-69 θεοτ. MR I,183 γαστρὶ] σαρκὶ MR κοντάκ. et οἶκ. MR II, 10
heirm. ζ' EE 229, n. 329, Andreae 70-79 trop. praebet et Pa 72 καὶ] οἱ Pa 74 χειμάρρουν τ. τ. ἀπολαύεται Ve v. 77 rasura deletus et denuo scriptus

---

74 Ps. 35,9

καὶ τῶν παθῶν διῶκται,
ὑπὲρ τοῦ κόσμου ἐκτενῶς ἱκετεύσατε.

θεοτ. Τὸ ἐκ τῆς ῥίζης ἄνθος
Ἰεσσαὶ καὶ τῆς ῥάβδου
τοῦ Ἀαρὼν βλαστήσασα,
ἄχραντε θεοτόκε,
τὴν νεκρωθεῖσαν ἐξανέστησας φύσιν ἡμῶν.

f. 37 ᾠδὴ η΄. *Τὸν ἐν ὄρει*
ἁγίῳ δοξασθέντα

Τὸν δωρησάμενον
τὴν χάριν τοῖς ἁγίοις
θεραπεύειν
τὰ πάθη τῶν νοσούντων
καὶ τῶν ψυχῶν ἰᾶσθαι τὰς ἀρρωστίας
Κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

Τὸν τοῖς ὅπλοις
τῆς ἄνω δυναστείας
ὡς πολεμίους
τῶν νόσων τοὺς ἁγίους
νικητικαῖς ὁπλίσαντα τεραστίαις
Κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

θεοτ. Τὴν παρθένον
ὑμνήσωμεν Μαρίαν,
ὡς τὸν κτίστην
τῆς κτίσεως τεκοῦσα⟨ν⟩
καὶ παρθενίας σήμαντρα φυλάξασα⟨ν⟩

---

heirm. η΄ ΕΕ 226, n. 323, Germani 90, 98 post Κύριον orat. varie detruncatur in cd. 104 τεκοῦσα 105 φυλάξασα

80-81 Is. 11,1 81-82 Num. 17,23

σῶα μετὰ τόκον
τὴν εὐλογημένην
καὶ κεχαριτωμένην.

ᾠδὴ θ΄. *Τὸν προδηλωθέντα*

Τὴν σοφὴν δυάδα
ὑμνήσωμεν τῶν ἁγίων
τῆς Τριάδος ἔχουσαν
τὴν ἀθάνατον χάριν
καὶ μετὰ θάνατον ἰωμένην τὰ πάθη
τῶν ψυχῶν ὁμοῦ καὶ τῶν σωμάτων ἡμῶν.

Ἐν τῷ στερεώματι,
Χριστέ, τῆς ἐκκλησίας
τοὺς φωστῆρας ἔπηξας
τοὺς μεγάλους τοὺς δύο
πνευματικῶς τοὺς σοφοὺς Ἀναργύρους
κόσμον καταλάμποντας τοῖς θαύμασιν.

Τίς μὴ μακαρίσῃ
ὑμῶν τὴν ἄσπιλον μνήμην,
τίς μὴ ἀνυμνήσῃ
καὶ τὸν ἐξαίρετον βίον,
f. 37v τίς τὰ ῥεῖθρα θεορρύτων ‖ θαυμάτων
ἐξαντλῆσαι δύναται, Ἀνάργυροι;

θεοτ. Ὦ ἐκ σῶν λαγόνων
ἁγνῶν τεκοῦσα ἀφράστως
τὸν ἐκ τοῦ ἀνάρχου Πατρὸς
ὑπερούσιον Λόγον,
παρθενομῆτορ καὶ ἐν μητράσι παρθένε,
σῶζε τὰς ψυχὰς τῶν ἀνυμνούντων σε.

---

heirm. θ΄ ΕΕ 226, n. 324, Germani 109-120 trop. praebet atque Pa 110 ὑμνήσωμεν] τιμήσωμεν Pa 115 Ἐν] Ὃν Pa 121 μακαρίσει 123 ἀνυμνήσει

117-118 Gen. 1,16

1 *NOV.* *CANON* IV (2)

IN SANCTOS ANARGYROS COSMAM ET DAMIANUM

Paris. gr. 259 = Pa, ff. 14-16

Ὁ κανών.

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Τῷ ἐκτινάξαντι ἐν θαλάσσῃ*

Τῷ ἀναδείξαντι ἐν τῷ κόσμῳ
.... = Ve 1-4
καὶ τῶν ἁγίων τιμήσωμεν τὴν μνήμην.

Ἐκ τῶν τοῦ πνεύματος χαρισμάτων
τοὺς τῶν θαυμάτων ποταμοὺς
βρύοντες οἱ ἅγιοι τὰς νόσους καθαίρουσιν·
ὑμνήσωμεν οὖν, πιστοί,
τὸν δεδωκότα αὐτοῖς τὴν ἐξουσίαν.

Τὴν ὑπερθαύμαστον πολιτείαν
καὶ τὴν ἐνάρετον ζωὴν
τίς τῶν Ἀναργύρων κατ' ἀξίαν ὑμνήσει βροτῶν;
μεγάλως γὰρ ἐπὶ γῆς
πολιτευσάμενοι θαυματουργοῦσιν.

Τὰ παραγγέλματα τοῦ δεσπότου
καὶ τὰ διδάγματα αὐτοῦ,
ἅγιοι Ἀνάργυροι, νομίμως φυλάξαντες

---

tit. Ἕτερος κανὼν τῶν ἁγίων Ἀναργύρων et in marg. scriptum est nomen hymnographi Γερμ(ανοῦ)
heirm. α' EE 229, n. 328, Germani 5 versus omnine differt in Ve
13 τίς scripsi: τῆς cd.

ἐλάβετε παρ' αὐτοῦ
καὶ μετὰ τέλος τὴν χάριν τῶν θαυμάτων.

θεοτ. Χαῖρε χωρίον τοῦ ἀχωρήτου,
χαῖρε ὁ ἔμψυχος ναός,
χαῖρε τῶν πιστῶν τὸ καταφύγιον, ἄχραντε,
χαῖρε μόνη ἁγνή,
χαῖρε τοῦ κόσμου παντὸς ἡ σωτηρία.

ᾠδὴ β'. *Πρόσεχε,*
οὐρανέ, καὶ λαλήσω

Τιμήσωμεν
τοὺς λαμπτῆρας τῆς θείας
φωτοδοσίας, πιστοί,
ἰαμάτων ἀκτῖνας
f. 14v ἀπαύστως ἡμῖν ‖ προχέοντας.

Ἅπαντες
καθαρᾷ τῇ καρδίᾳ
πίστει προσέλθωμεν
τῷ ναῷ τῶν ἁγίων
καὶ λάβωμεν τὰ ἰάματα.

Ἔδραμον
τοῦ φωτὸς αἱ ἀκτῖνες
ἐκ τῶν θαυμάτων ὑμῶν
εἰς τὸν ἅπαντα κόσμον,
Ἀνάργυροι μεγαλώνυμοι.

θεοτ. * Ἄχραντε
θεοτόκε παρθένε,
μόνη πανύμνητε,
τὸν υἱόν σου δυσώπει
σωθῆναι τοὺς ἀνυμνοῦντάς σε.

---

21 ἀχωρίτου cd.
heirm. β' EE 226, n. 324, Germani 41-45 θεοτ. Anth. I, υξζ'; AHG I, 75; cfr. etiam in hoc vol. canon. X, 46-50

ᾠδὴ γʹ. *Ὁ στερεώσας λόγῳ τοὺς οὐρανοὺς*

Ὁ μυστικὰς ἀκτῖνας τοῖς ἐπὶ γῆς
ἀναδείξας, Κύριε, τοὺς ἁγίους σου
φωταγωγοῦντας τὸν κόσμον,
δεῖξον εἰς ἡμᾶς τὰ ἐλέη σου.

Ἐκ καθαρᾶς καρδίας σοὶ τῷ Θεῷ
ἐπὶ γῆς οἱ ἅγιοι εὐηρέστησαν·
διὸ καὶ μετὰ θάνατον
ἰατροὶ παθῶν ἀνεδείχθησαν.

Ἐκ τῶν πηγῶν ὑδρεύοντες τοῦ Θεοῦ
οἱ σοφοὶ Ἀνάργυροι τὴν ἀκένωτον
τοῦ θείου πνεύματος χάριν
μένουσιν ἀεὶ ἀδαπάνητοι.

Ἡ τοῦ Θεοῦ ἀνέκλειπτος δωρεὰ
κενουμένη μᾶλλον ὑπερεκχέεται·
τοιαῦτα γὰρ τοῖς ἁγίοις
δίδωσι Χριστὸς τὰ χαρίσματα.

θεοτ. * Ὡς οὐρανὸν καὶ θρόνον σε τοῦ Θεοῦ
ἀνυμνοῦμεν πάντες, θεογεννῆτορ ἁγνή,
ὅτι ἐκ σοῦ ἐπέφανεν
ὁ παμβασιλεὺς Ἰησοῦς ὁ Χριστός.

ᾠδὴ δʹ. *Μυστικῶς ὁ προφήτης προορῶν*

66-69 Ἐπαξίως ὑμνεῖσθε ἐπὶ γῆς
.... = Ve 38-41

Τὰ ἐν κόσμῳ λιπόντες ὡς φθαρτά,
τῆς Σιὼν κληρονόμοι γεγόνατε
καὶ τῆς Χριστοῦ βασιλείας
ἄξιοι πολῖται, Ἀνάργυροι.

---

heirm. γʹ EE 226, n. 324, Germani MR I, 29; AHG I, 77 50 καθαρᾶς cd. 62-65 θεοτ. 63 θεοκυῆτορ MR 64 ἐπεφάνη MR AHG 65 Ἰ. Χ. ἡ ἀλήθεια MR AHG
heirm. δʹ EE 226, n. 323, Germani

Θησαυροὺς ἰαμάτων ἐπὶ γῆς
τοὺς ἁγίους ἀνέδειξας, Κύριε,
ἐξ ὧν οἱ πάντες ἀντλοῦμεν
f. 15 ‖ ῥῶσιν ψυχικὴν ἀρυόμενοι.

Δωρεὰν εἰληφότες ἐκ Θεοῦ,
δωρεὰν τοῖς αἰτοῦσι παρέχετε
τῶν ἰαμάτων τὴν χάριν,
ὦ θεραπευταὶ τῶν ψυχῶν ἡμῶν.

(τριαδ.) Χερουβικῶς δοξάσωμεν, πιστοί,
ἐν τριάδι μονάδα θεότητος,
ἕνα Θεὸν προσκυνοῦντες
σὺν Πατρί, Υἱῷ καὶ τῷ Πνεύματι.

θεοτ. * Χαῖρε παρθένε, πύλη νοητή,
δι᾽ ἧς ὁ ὕψιστος Λόγος εἰσελθὼν
σεσαρκωμένος προῆλθεν
ἄφθορον φυλάξας τὴν μήτραν σου.

ᾠδὴ εʹ. *Ὁ ἐκ νυκτὸς ἀγνοίας*

Τῶν ἀρετῶν τοὺς στύλους,
ὡς τῆς σοφίας τὸν οἶκον βαστάζοντας,
πάντες τοὺς Ἀναργύρους
θείοις ἐγκωμίοις ὑμνήσωμεν.

Χάριν Θεοῦ λαβόντες
ὡς καθαιρέται τῆς πλάνης οἱ ἅγιοι
πάσας τῶν ἀσθενούντων
τὰς νόσους μυστικῶς θεραπεύουσιν.

Ὡς ψυχικῶν μωλώπων
καὶ σαρκικῶν ἀλγηδόνων ἰάματα
βρύοντες, Ἀνάργυροι,
ῥύσασθε ἡμᾶς τῶν παθῶν ἡμῶν.

86-89 θεοτ. cfr. BMC 149 et AHG VII, 181 in nonnullis differentes verbis
heirm. εʹ EE 226, n. 323, Germani

(τριαδ.) Τὴν συμφυῆ τριάδα
τὴν ἐν μονάδι οὐσίας δοξάσωμεν
σὺν Υἱῷ τὸν Πατέρα
καὶ τὸ Πνεῦμα πάντες τὸ ἅγιον.

θεοτ. Τῶν Χερουβὶμ φανεῖσα
τιμιωτέρα, παρθένε πανύμνητε,
πρέσβευε τῷ υἱῷ σου
σῶσαι τὰς ψυχὰς τῶν ὑμνούντων σε.

ᾠδὴ ς'. *Ὡς τὸν προφήτην ἐρρύσω*

Ὡς ἐκ πηγῆς ἀενάου
τῶν θαυμάτων τὴν χάριν προχέοντες
καὶ νόσους ἐλαύνοντες,
ἅγιοι Ἀνάργυροι,
ἱκετεύσατε
ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δοκιμασθέντες ἐν κόσμῳ
ὡς χρυσὸς ἐν καμίνῳ οἱ ἅγιοι
γενναίως ἀντέστησαν
ἐχθροῦ τοῖς παλαίσμασι
καὶ ἀπέλαβον
τὸν τῆς νίκης στέφανον.

f. 15v || Ὁμονοοῦντες ἀλλήλοις
πρακτικαῖς θεωρίαις ἀνήχθητε
καὶ γῆν καταλείψαντες
τὴν ἄνω μητρόπολιν
ἠρετίσασθε,
ἅγιοι Ἀνάργυροι.

(τριαδ). Τὴν τρισυπόστατον φύσιν
ἐν τριάδι προσώπων κηρύττοντες
Πατέρα δοξάσωμεν,
Υἱὸν προσκυνήσωμεν

106-109 θεοτ. cfr. AHG VII, 182, 243; cfr. etiam in hoc vol. canon. X, 132-135
106, 134 Χαιρουβὶμ cd.
heirm. ς' EE 226, n. 323, Germani

καὶ τὸ ἅγιον
Πνεῦμα ἀνυμνήσωμεν.

θεοτ. Τῶν Χερουβὶμ ὑπερτέρα
καὶ τῆς κτίσεως πάσης ὑμνοῦμέν σε
τὴν μόνην ἐν μήτρᾳ σου
δεξαμένην Κύριον
καὶ ἀνοίξασαν
πύλας παραδείσου ἡμῖν.

ᾠδὴ ζ'. *Ὁ δι' ἀγγέλου παῖδας*

Τῆς οὐρανίου δόξης
.... = Ve 70-74

Ἡ τῶν ἁγίων θήκη
λογικὸν ἰατρεῖον
ἐπὶ τῆς γῆς γενόμενον
ῥεῖθρα τῶν ἰαμάτων
ἐκ τῶν πηγῶν τοῦ σωτηρίου προχέει ἡμῖν.

Ὡς τῷ Θεῷ τῶν ὅλων
.... = Ve 75-79

θεοτ. Ὁ ἐκ παρθένου μήτρας
σαρκωθεὶς ἀσυγχύτως
καὶ μετὰ τόκον Κύριος
ταύτην παρθένον δείξας,
εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

ᾠδὴ η'. *Τὸν ἐκ πατρὸς πρὸ αἰώνων*

Ὡς ὑπουργοὶ τῆς Χριστοῦ φιλανθρωπίας
καὶ κοινωνοὶ τῆς ἐκείνου βασιλείας
αὐτῷ παρεστῶτες

---

heirm. ζ' EE 228, n. 326, Andreae
heirm. η' EE 226, n. 324, Germani vel 229, n. 329, Andreae

πρεσβεύσατε ἀπαύστως
ὑπὲρ τῆς οἰκουμένης.

Κατὰ πνευμάτων λαβόντες ἀκαθάρτων
τὴν ἐξουσίαν, θεράποντες Κυρίου,
τοὺς ἐνοχλουμένους
ἰᾶσθε τῇ δυνάμει
Χριστοῦ τοῦ φιλανθρώπου.

Ὡς μιμηταὶ τῶν τοῦ Κυρίου παθημάτων
καὶ ἰατροὶ νοσερῶν ἀρρωστημάτων
τοὺς ἐν ἀσθενείαις
πυκναῖς κατακειμένους
ἰᾶσθε εἰς αἰῶνας.

f. 16 θεοτ || Πύλη Θεοῦ ἀνεδείχθης, θεοτόκε,
δι' ἧς αὐτὸς σαρκωθεὶς μόνος διῆλθεν,
Ἰεζεκιὴλ δὲ
τὸ θαῦμα προμηνύει
τῆς σῆς κυοφορίας.

ᾠδὴ θ'. *Τὸν προδηλωθέντα*

Τὸ τῆς οἰκουμένης
ἠνέῳκται ἰατρεῖον,
ἡ σορὸς ὑμῶν, ἅγιοι
Ἀνάργυροι Κυρίου,
ᾗ προστρέχοντες οἱ πιστοὶ εὐχαρίστως
πάντες τὰς ἰάσεις κομιζόμεθα.

186-191 Τὴν σοφὴν δυάδα
.... = Ve 109-114

192-197 Ἐν τῷ στερεώματι,
.... = Ve 115-120

Ὄντως κατ' ἀξίαν
τιμᾶσθε καὶ μετὰ τέλος·

168 τὴν δυνάμι cd. 181 ἀνέωκται cd. 184 ἡ cd.
heirm. θ' EE 226, n. 324, Germani

ὄντως κατ' ἀξίαν
τὴν πρὸς Θεὸν παρρησίαν
ἐκληρώσασθε, θεραπευταὶ τοῦ Κυρίου·
ὅθεν ἱκετεύσατε σωθῆναι ἡμᾶς.

θεοτ. * Σὺ εἶ, θεοτόκε,
τὰ ὅπλα ἡμῶν καὶ τεῖχος,
σὺ εἶ ἡ ἀντίληψις
τῶν εἰς σὲ προστρεχόντων,
σὲ καὶ νῦν εἰς πρεσβείαν κινοῦμεν,
ἵνα λυτρωθῶμεν τῶν ἐχθρῶν ἡμῶν.

204-209 θεοτ. MR II, 270; cfr. etiam in hoc vol. canon. X, 281-286, XIII, 191-196

CANON V

IN SANCTUM CAESARIUM

Synaxarium, 115-118: Ἰουλιανοῦ πρεσβυτέρου καὶ Καισαρείου διακόνου. Κλαυδίου βασιλεύοντος ἐν Ῥώμῃ ..... ὁ μακάριος Καισάρειος ἀπὸ τῆς Ἄφρων χώρας ἐλθὼν ἐν πόλει Ῥώμης λεγομένῃ Τερακηνῇ, ὡς εἶδε τὰς μυσαρὰς θυσίας καὶ κατέπτυσε συμπατήσας ταύτας, κρατηθεὶς ἐν τρισὶν ἡμέραις ἄσιτος τῇ φυλακῇ παρεδόθη τῷ ἀνθυπάτῳ· δεσμευθεὶς δὲ τὰς χεῖρας ὄπισθεν, εἵλκετο..... μέχρι τοῦ ναοῦ τοῦ Ἀπόλλωνος. Καὶ ὡς ἤδη πρὸς τὸν ναὸν ἀφίκοντο, τοῦ ἁγίου προσευξαμένου, πέπτωκεν εὐθέως ἐκ θεμελίων ὁ ναός, συμπεριλαβὼν ἔνδον τόν τε ἀρχιερέα καὶ ἄλλους πολλούς. Ὅπερ ἰδὼν Λεόντιος ὁ ὑπατικὸς προσέπεσε τῷ ἁγίῳ· καὶ πιστεύσας εἰς τὸν Χριστόν, ἐβαπτίσθη αὐτὸς ἐνώπιον πάντων· καὶ ἐλθὼν ὁ πρεσβύτερος Ἰουλιανὸς μετέδωκεν αὐτῷ τῶν ἀχράντων μυστηρίων. Καὶ τοῦ ὑπατικοῦ εὐθέως εἰς χεῖρας Θεοῦ τὴν ψυχὴν ἀναθεμένου ἐξ αἰτήσεως διὰ τῆς τοῦ ἁγίου προσευχῆς, θεασάμενος Λοξώριος ὁ ἄρχων τὸ γεγονὸς ἐκράτησεν Ἰουλιανὸν τὸν πρεσβύτερον καὶ Καισάρειον τὸν διάκονον καὶ προσέταξε βληθῆναι αὐτοὺς εἰς σάκκους καὶ ῥιφῆναι ἐν τῇ θαλάσσῃ. Οἱ δὲ ἅγιοι εἶπον πρὸς αὐτόν· « Ἡμεῖς μέν, Λοξώριε, ῥιπτόμεθα ἐν τῇ θαλάσσῃ, σὺ δὲ ὑπὸ δεινοῦ ὄφεως τυφθεὶς κακῷ θανάτῳ τὴν ψυχὴν ἀπορρήξεις »· ὃ καὶ γέγονε. Μετὰ γὰρ δύο ἡμέρας περιπλακεὶς αὐτῷ ἐν τῷ αἰγιαλῷ τῆς θαλάσσης περιπατοῦντι δεινότατος ὄφις καὶ πάντα τὰ τούτου μέλη τύψας, ἄπνουν καὶ νεκρὸν σχεδὸν εἰργάσατο· ἐξογκωσθεὶς γὰρ ἔκειτο τοῖς ὁρῶσι θέαμα μέγα. Τὰ δὲ σώματα τῶν ἁγίων ἐξελθόντα ἀπὸ τῆς θαλάσσης, ὑπὸ Κυρίου κυβερνώμενα, Εὐσέβιός τις πρεσβύτερος καὶ Φῆλιξ, δι᾽ ὀπτασίας ἀποσταλέντες, ὑπεδέξαντο ταῦτα καὶ διήρχοντο ὅπου ὁ δύστηνος ἔκειτο· οὓς καὶ θεασάμενος ἐταλάνιζεν ἑαυτόν. Ἀλλ᾽ ὁ υἱὸς τοῦ βαπτισθέντος Λεοντίου τοῦ ὑπατικοῦ, μετὰ τὸ κατατεθῆναι τὰ λείψανα τῶν ἁγίων πλησίον τῆς πόλεως, ἀπέτεμε καὶ τὰς τούτων κεφαλὰς ῥίψας αὐτοὺς ἐν τῷ ποταμῷ. Κούαρτος δὲ πρεσβύτερος ἐκ τοῦ κάστρου Καπούης, ὑπὸ θείου ἀγγέλου ὁδηγηθεὶς ἀπελθὼν ἔλαβε καὶ τὰ τούτων ἅγια λείψανα, Εὐσεβίου φημὶ καὶ Φήλικος, καὶ κατέθετο ταῦτα ἐν ἐπισήμῳ τόπῳ, εἰς δόξαν Πατρός, Υἱοῦ καὶ ἁγίου Πνεύματος.

Vat. gr. 2 = V, ff. 80v-83v
Mess. gr. 135 = N, ff. 4-8v

Ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε·

Θύματα Χρυσάνθου δὲ ἀρχιμανδρίτου, ἀμήν.

Ἦχος πλ. δ′.

ᾠδὴ α′. *Ἁρματηλάτην Φαραὼ ἐβύθισε*

Θυμηρεστάτως τε τὸν νοῦν καθάραντες
καὶ τὰς αἰσθήσεις καλῶς
οἱ μελῳδοὶ πάντες
καὶ πιστὴ ὁμήγυρις,
τὸν τοῦ Κυρίου μάρτυρα
καὶ διάκονον θεῖον
ᾠδαῖς ᾀσμάτων ὑμνήσωμεν
νῦν εὐσεβοτρόπως Καισάριον.

f. 81 ‖ Ὑπὲρ τοῦ πόθου τοῦ Χριστοῦ πατρίδα μὲν
ἀποσεισάμενος γὰρ
ἐκ νεαρᾶς ὄντως
ἡλικίας, ἔσπευσας
εὐαρεστῆσαι βέλτιστα,
ὦ Καισάριε μάκαρ,
Ἀφρῶν τὴν χώραν κατέλιπες
καὶ πρὸς Τερρακίνην ἐλήλυθας.

Μετ᾽ εὐσεβείας νῦν πιστῶς ὑμνήσωμεν
εὐαρεστοῦντες Θεῷ
τὸν ἱερὸν λίαν
ἀθλητὴν Καισάριον·
πρεσβεύει γὰρ πρὸς Κύριον
ὑπὲρ τῶν ἐκτελούντων
αὐτοῦ τὴν μνήμην πανάριστα
λύσιν τῶν δεινῶν τοῦ δωρήσασθαι.

Ἀστροφεγγὴς ἀναφανεὶς Καισάριος
τὴν τῶν δαιμόνων ἀχλὺν

---

tit. Κανὼν τοῦ ἁγίου ἱερομάρτυρος Καισαρίου· λέγεται εἰς τὸ μεσονύκτιον manu recentiore in marg. N

heirm. α′ EE 219, n. 314, Joannis 9-16 trop. om. N 15 κατέλειπες 16 hic et ubique Τερρακήνη(ς, ν) cdd. 25 Ἀστροφεγγεῖς cdd.

εἰδωλικὴν πλάνην
Τερρακίνης ἔπαυσε
καὶ διαυγάζει πέρατα
ταῖς θαυμάτων ἀκτῖσιν·
αὐτοῦ τὴν μνήμην ἀοίδιμον
νῦν εὐσεβοφρόνως ὑμνήσωμεν.

θεοτ. * Δεδοξασμένα περὶ σοῦ λελάληται
ἐν γενεαῖς γενεῶν,
ἡ τὸν Θεὸν Λόγον
ἐν γαστρὶ χωρήσασα,
ἁγνὴ δὲ διαμείνασα,
θεοτόκε παρθένε·
διό σε πάντες γεραίρομεν
τὴν μετὰ Θεὸν προστασίαν ἡμῶν.

ᾠδὴ γʹ. *Ὁ στερεώσας κατ᾽ ἀρχὰς*
τοὺς οὐρανοὺς ἐν συνέσει

Τῆς ἀσεβείας ὁλικῶς
οἱ Τερρακίνης κρατοῦντες
καὶ σπονδὰς ἐπιθυόντων ξοάνοις
ἐν τῇ πρώτῃ καλανδῶν
ἐπιφανείς, Καισάριε,
πάντας τῷ θείῳ λόγῳ
εὐσεβοφρόνως ὡδήγησας.

Ἀνακηρύττων δὲ τρανῶς
τὸν λόγον τῆς ἀληθείας,

---

30 ἀκτίσει V 31 ἀοίδιμοι V ἀείδημοι N 33-40 θεοτ. MR I, 27-28; AHG I, 282 33 λελάληνται MR 34 δεδοξασμένη ἁγνὴ AHG 36 χωρέσασα V 38 παρθένε] Μαρία MR 39 γεραίρωμεν N heirm. γʹ EE 219, n. 314, Joannis; heirm. integrum praebet N 44 τῇ om. N 45 ἐπιφανεῖς N

41-47 AA.SS. Nov. I (1887), 108: Καταλαβούσης δὲ τῆς ἡμέρας τῶν καλανδῶν ἰανουαρίων, ἐγένετο συνδρομὴ παντὸς τοῦ λαοῦ τῶν πολιτῶν... τοῦ ἐπιθῦσαι πρῶτον θυσίαν... καὶ οὕτως θυσίαις ἐκόσμησεν τὸν ναὸν τοῦ Ἀπόλλωνος...

---

33 Ps. 86,3 49 Eph. 1,13; II Tim. 2,15

ὦ Καισάριε, ὡς μύστης τῆς ἄνω
βασιλείας οὐρανῶν
πεπλανημένοις ἔλεγες
ὅτι « ἀδίκως ἄγαν
νέους συνήθως κρημνίζετε ».

Χριστομιμήτως, ἀδελφοί,
ἰχνηλατοῦντες συνέσει
καὶ φρενῶν τὰ αἰσθητήρια πάντα
χαλινοῦντες μὲν καλῶς
Λουκιανοῦ ἐκφεύξωμεν
τὰς ἀθεμίτους πράξεις
καὶ τοὺς ἁγίους ζηλώσωμεν.

Ῥήμασι θείοις σου, κλεινὲ
ἱερομάρτυς Κυρίου,
ὁ ναὸς ὁ τοῦ Ἀπόλλωνος πίπτει
καὶ Φιρμῖνος δυσσεβὴς
ἔνδον αὐτοῦ διώλεσται·
ὅθεν ἐν ὕμνοις πάντες
χρεωστικῶς σε γεραίρομεν.

θεοτ. * Τῶν Χερουβὶμ καὶ Σεραφὶμ
ἐδείχθης ὑψηλοτέρα,
θεοτόκε· σὺ γὰρ μόνη ἐδέξω
τὸν ἀχώρητον Θεὸν
f. 81v || ἐν σῇ γαστρί, πανάμωμε·
διὸ πιστοί σε πάντες
ὕμνοις, ἁγνή, μακαρίζομεν.

---

53 in marg. cd. V scriptum 54 κρημνίζετε] κρομνίζεται primum in V scriptum post in κρυμνίζεται sup. lin. correctum κρυμνήζεται N 55-61 trop. om. N 59 ἐκφεύξομεν V 66 διώλισται cdd. 69-75 θεοτ. MR III, 281; AHG I, 283 72 ἀχώρητον om. N 73 πανάμωμε] ἀμόλυντε MR AHG 74 πίστει σε N 75 μακαρίζωμεν V post θεοτ. in marg. cd. V ζή(τει) τὸ κάθ(ισμα) scriptum est

---

62-68 AA.SS., 110: Ἐλθὼν οὖν πλησίον τοῦ ναοῦ ὁ μακάριος... προσηύξατο λέγων... καὶ ταῦτα εἰπών, ἄφνω συνέπεσεν ὁ ναὸς τοῦ Ἀπόλλωνος καὶ ἀνεῖλεν Φιρμῖνον τὸν ἀρχιερέα μετὰ πλήθους λαοῦ...

ᾠδὴ δ'. *Σύ μου ἰσχύς,*
Κύριε, σύ μου καὶ δύναμις

Ὑπεριδὼν
θέαμα λίαν ἐκπλήξεως
τοῦ ναοῦ γὰρ
πτῶσιν ὁ Λουξούριος
καὶ ἀσεβῆ θνήξαντα λοιπὸν
Φιρμῖνον τὸν θύτην,
ὡς μάγον σε ἀποφαίνεται·
διὸ σῇ καταδίκῃ,
ὦ Καισάριε μάκαρ,
ὑπὸ ὄφεως δίκης δικάζεται.

Σὺ καρτερῶν
σφόδρα, Καισάριε ἔνδοξε,
ἐν εἱρκτῇ τε
ἅμα καὶ ἐν θλίψεσιν
ἐνιαυτὸν τέλειον βληθεὶς
καὶ ἕτερον μῆνα
σιτίοις ἄγαν τηκόμενος,
σαρκὶ δὲ γυμνητεύων,
τῷ σωτῆρι κραυγάζων·
« τῇ δυνάμει σου δόξα, φιλάνθρωπε ».

Ἄγγελος γὰρ
ὄντως Κυρίου ἐφρούρει σε,
ἐν παντὶ δὲ
τόπῳ σε ἐφύλαττε
καὶ ταῖς θριξίν, ἅγιε, ταῖς σαῖς

---

heirm. δ' EE 219, n. 314, Joannis 1 ἰσχύς] Χριστὸς N Χριστὲ EE 82 ἀποφήνεται cdd. 83 σὴ καταδίκη cdd. 85 δίκης fort. scribendum δίκην 89 ἐν om. N 94 κραυγάζων: secundum cdd. periodus sententia prima caret 95 post δυνάμει orat. detruncatur in cdd. 96-115 trop. om. N

96-102 AA.SS., 112: Ἐκβληθέντος δὲ τοῦ μακαρίου Καισαρίου ἐκ τῆς φυλακῆς, ἦν καταταχεὶς τῷ σώματι πάνυ, ἡ δὲ κόμη τῆς κεφαλῆς αὐτοῦ ἦν αὐξηθεῖσα, ὥστε σκέπεσθαι αὐτὸν ὑπὸ τῶν αὐτοῦ τριχῶν. Ἦν γὰρ γυμνὸς τῷ σώματι. Τοιγαροῦν ἄγγελος Κυρίου τοῦτον ἡμέρας καὶ νυκτὸς ἐφύλαττεν...

τιμίας σου κάρας
τὴν σάρκα ἐγκαλυπτόμενος,
σοφέ, μαρτύρων κλέος,
ἱερέων σεμνότης,
ὑμνῳδῶν σου μεγίστη ἀντίληψις.

Νουθεσιῶν,
ἅγιε, σὺ οὐκ ἠμέλησας
πάντας στέργων,
πάντας προσκαλούμενος
ἐν ἀγορᾷ στῖφος δημοτῶν
δεσμοῖς σε συρόντων
ἀφῆναι ὥραν σε εὔξασθαι·
διὸ καὶ φῶς ἀστράπτει
ἐπὶ σὲ τοῦ Κυρίου,
θαυμαστῶσαί σε θέλων τοῖς ἔθνεσιν.

Θαῦμα ἰδὼν
ὑπατικὸς ὁ Λεόντιος
φῶς ἀστράψαν,
μάκαρ, τὸ αὐγάσαν σε,
τὴν διπλοΐδα τὴν ἑαυτοῦ
εὐθὺς ἐπιρρίπτει
καὶ πόθῳ σπεύδει σκεπάζων σε,
διὸ καὶ ἀνεβόα·
« βάπτισόν με τὸν πίστει
προσφυγόντα σοι, μάκαρ Καισάριε ».

---

115 θαυμαστώσεσαι θέλων: nominat. absol. pro θέλοντος 121 ἐπιρρίπτει: fort. ἀπορρίπτει 122 σκεπάζων: malim σκεπάσων 125 προσφυγώτα

106-115 AA.SS., 113: Εἶπεν πρὸς τοὺς στρατιώτας τοὺς τῇ ἁλύσει δέσμιον αὐτὸν κατέχοντας· « Μικρόν, παρακαλῶ ὑμᾶς, ἀνάσχεσθέ μου, ὅπως εὐχαριστήσω τῷ Κυρίῳ μου...». Ἐν αὐτῇ δὲ τῇ ὥρᾳ ἐγένετο φῶς μέγα λάμψαν ὡς ἀστραπή, ὃ καὶ ὑπεράσπισεν τὸν μακάριον...

116-125 AA.SS., 113: Ἰδὼν δὲ τοῦτο Λεόντιος... καὶ προσελθὼν τοῖς ποσὶ τοῦ ἁγίου μάρτυρος, κλαίων ἐξεδύσατο τὴν διπλοΐδα αὐτοῦ... καὶ περιέβαλεν αὐτὴν τῷ μακαρίῳ Καισαρίῳ... καὶ οὕτως ἤρξατο αἰτεῖν καὶ παρακαλεῖν αὐτὸν ἐνώπιον παντὸς τοῦ λαοῦ, ὅπως βαπτισθῇ ὑπ' αὐτοῦ... τότε λαβὼν ὕδωρ ὁ μακάριος ἐβάπτισεν αὐτούς. ...

114-115 Ps. 4,4

θεοτ. * Σὺ τῶν πιστῶν
καύχημα πέλεις, ἀνύμφευτε,
σὺ προστάτις,
σὺ καὶ καταφύγιον,
Χριστιανῶν τεῖχος καὶ λιμήν·
πρὸς γὰρ τὸν υἱόν σου
ἐντεύξεις φέρεις, πανάμωμε,
καὶ σώζεις ἐκ κινδύνων
τοὺς ἐν πίστει καὶ πόθῳ
θεοτόκον ἁγνήν σε γινώσκοντας.

ᾠδὴ ε'. *Ἵνα τί με ἀπώσω*
ἀπὸ τοῦ προσώπου σου τὸ φῶς τὸ ἄδυτον

Ὁ Λεόντιος πόθῳ
ὑπὸ σοῦ, Καισάριε, Θεοῦ διάκονε,
εὐθὺς βαπτισθεὶς γὰρ
μυστηρίων δὲ θείων μετέλαβεν,
— Ἰουλιανὸς δὲ
f. 82 μεταδιδοὺς αὐτῷ ‖ ὁ πρέσβυς, —
οὐρανίου τε δόξης ἠξίωται.

Ὑπὲρ πάντων δυσώπει,
ἀθλητὰ Καισάριε, Χριστὸν τὸν Κύριον
τῶν πιστῶς τελούντων
καὶ πανηγυριζόντων τὴν μνήμην σου,
τοῦ δοθῆναι πᾶσι
τὸν ἱλασμὸν καὶ τὴν εἰρήνην
καὶ πυρὸς αἰωνίου ῥυσθῆναι ἡμᾶς.

Δυσωπουμέν σε, μάκαρ,
ἐξαιτεῖν τὸν Κύριον ὑπὲρ τῆς ποίμνης σου
καὶ ἀρχιποιμένος

126-136 θεοτ. MR I, 293   128 versum om. N
heirm. ε' EE 219, n. 314, Joannis   141 αὐτὸν cdd.   150-156 trop. om. N

136-142 AA.SS., 113: Ἐλθὼν πρεσβύτερός τις ὀνόματι Ἰουλιανὸς μετέδωκεν αὐτοῖς τοῦ πανσέπτου καὶ τιμίου σώματός τε καὶ αἵματος τοῦ Κυρίου ἡμῶν... μετὰ δόξης παραχρῆμα ὁ Λεόντιος αὐτῇ τῇ ὥρᾳ παρέδωκεν τῷ Κυρίῳ...

τοῦ λυτρώσασθαι πάντας ἐκ θλίψεως
καὶ πταισμάτων λύσιν
τοῦ παρασχεῖν καὶ τὴν ὑγείαν
καὶ ψυχῶν σωτηρίαν δεόμεθα.

Εὐεργέτα τῶν ὅλων
δημιουργημάτων σου, Θεὲ καὶ Κύριε,
ὁ ἐκ τοῦ μὴ ὄντος
εἰς τὸ εἶναι τὰ πάντα στησάμενος,
δώρησαί μοι λόγον
πρὸς τὸ ὑμνεῖν τὸν ἀθλητήν σου
καὶ διάκονον ὄντως Καισάριον.

θεοτ. * Μητρικὴν παρρησίαν
τὴν πρὸς τὸν υἱόν σου κεκτημένη, πάναγνε,
συγγενοῦς προνοίας
τῆς ἡμῶν μὴ παρίδῃς δεόμεθα,
ὅτι σὲ καὶ μόνην
χριστιανοὶ πρὸς τὸν δεσπότην
ἱλασμὸν εὐμενῆ προβαλλόμεθα.

ᾠδὴ ϛ'. *Τὴν δέησιν ἐκχεῶ πρὸς Κύριον*

Αὐγάζει τοῦ ἀθλοφόρου ἡ μνήμη
Καισαρίου τὴν ὑφήλιον πᾶσαν
καὶ τῶν πιστῶν
τὰς καρδίας εὐφραίνει
καὶ τῶν θαυμάτων τῇ αἴγλῃ φαιδρύνεται
πανήγυριν τὴν ἱερὰν
ἐκτελούντων αὐτῷ μετὰ πίστεως.

Ῥιφῆναι κατακριθείς, Καισάριε,
ἅμα δὲ Ἰουλιανῷ τῷ μύστῃ

164-170 θεοτ. MR III, 283; AHG I, 286
heirm. ϛ' EE 219, n. 314, Joannis   177 ἐκτελοῦντες cdd.

εἰς τὸν βυθὸν
τοῦ πελάγους θαλάσσης
καὶ ἐν τῷ σάκκῳ βληθέντες ἀμφότεροι
ἐν ῥεύμασι ποντιστικοῖς
καταχθέντες εἰς γῆν γὰρ ἀνήχθητε.

Χριστὸς δὲ ὁ σθενουργὸς ἐν θαύμασι,
καὶ ὑμῖν γὰρ τῶν θαυμάτων τὴν χάριν
παρεσχηκώς,
τὰς ἰάσεις δωρεῖται
τοῖς μετὰ πίστεως πόθῳ προστρέχουσι
τοῖς ἱεροῖς ὑμῶν ναοῖς
καὶ χαρᾶς ἐμπιπλῶνται τῆς κρείττονος.

Ἱέμενος ὁ θεράπων Κυρίου
f. 82v τῶν σωμάτων τὴν || κηδείαν τελέσαι
τῶν ἱερῶν,
τῇ νυκτὶ δὲ ἐπέστη
καὶ τῇ ἰσχύι Θεοῦ κραταιούμενος
ἐσύλησεν ὁ εὐσεβὴς
καὶ τιμίως αὐτὰ κατατέθηκεν.

θεοτ. * Μὴ παύσῃ ὑπὲρ ἡμῶν πρεσβεύουσα,
παναγία θεοτόκε παρθένε,
ὅτι πιστῶν
καύχημα σὺ ὑπάρχεις

185-191 trop. om. N 196 ἰσχύει 199-205 θεοτ. MR I, 242; AHG I, 287 202 καύχημα] στήριγμα MR AHG

192-198 AA.SS., 115: ... Μετὰ τιμῆς οὖν μεγάλης καὶ ὑπηρεσίας τῆς προσηκούσης τὰ σώματα τῶν ἁγίων καὶ καλλινίκων μαρτύρων ... Συνῆγε δέ τις δοῦλος Θεοῦ ... ἅπερ καὶ ἔθαψεν νυκτὸς ἐν τόπῳ πλησίον τῆς πόλεως Τερρακίνης...

---

196 Job 36,19,22

καὶ τῇ ἐλπίδι τῇ σῇ κραταιούμεθα
καὶ πόθῳ σε καὶ τὸν ἐκ σοῦ
σαρκωθέντα ἀπαύστως δοξάζομεν.

ᾠδὴ ζ'. *Θεοῦ συγκατάβασιν*

Μαρτύρων τὰ σώματα
Θεοῦ ὁ δοῦλος κατακηδεύσας σεπτῶς,
Εὐσέβιος ὁ ἄζυξ,
ἐν προσευχῇ τε καὶ ἐν νηστείαις στερρῶς
ἐγκαρτερήσας,
νυχθημέραις πέντε γὰρ
ἐκδυσωπῶν τὸν Θεὸν
τοῦ ἑνωθῆναι αὐτοῖς.

Ἀστράψας ὁ Φῆλίξ τε
Χριστοῦ κηρύγμασι τοῦ βαπτίζειν αὐτοὺς
εἰς ὄνομα Τριάδος
τοὺς Τερρακίνης προσερχομένους αὐτῷ,

---

205 ἀπαύστως] ἀφράστως MR δοξάσομεν N; post θεοτ. in marg. cd. V ζήτ(ει) τὸ κοντ(άκιον) scriptum est; cd. N autem haec praebet:

Κοντάκιον. Πρός· *Ἐπεφάνης σήμερον* Ὡς ἀστέρα μέγαν σε / ἡ ἐκκλησία / δεξαμένη, ἔνδοξε, / ταῖς ἐκ τῶν ἄθλων σου βολαῖς / λελαμπρυσμένη κραυγάζει σοι· / « χαίροις, ὦ μάρτυς, / Καισάριε ἔνδοξε ».

Ὁ οἶκος: ⟨Πρός· *Τῇ Γαλιλαίᾳ τῶν ἐθνῶν*⟩ Ὡς πέλων μύστης τοῦ Χριστοῦ / καὶ λειτουργὸς Κυρίου, / λευῖτα θεηγόρε, / Καισάριε τρισμάκαρ, / πίστει τὴν μνήμην σου θερμῶς / μέλλοντι ὑμνῆσαι / ταῖς πρεσβείαις φωτισμὸν / καὶ γνῶσιν θείαν δίδου μοι, / ὅπως ἐν αἰνέσει ὑμνήσω σου / ⟨– – – – – – –⟩ / τὰς σεπτὰς ἀνδραγαθίας /, ἃς ἔδειξας / ἐν τῇ σῇ ἀθλήσει / βυθίσας τὸν ἐχθρὸν / ἐν βυθῷ θαλάσσης / καὶ τὸ αἷμά σου, σοφὲ / μάρτυς, φαιδρύνας / τὴν περικαλλῆ / καὶ πάνσεπτον ἐκκλησίαν, / χαίροις, ὦ μάρτυς, / Καισάριε ἔνδοξε.

heirm. ζ' EE 219, n. 314, Joannis

206-213 AA.SS., 115: Μετὰ οὖν πέντε ἡμέρας εὑρέθη ὁ αὐτὸς δοῦλος τοῦ Θεοῦ τοὔνομα Εὐσέβιος ἐν αὐτῷ τῷ τόπῳ... νηστεύων καὶ εὐχόμενος καὶ ψάλλων ἀδιαλείπτως Κυρίῳ τῷ Θεῷ ἡμῶν...

214-221 AA.SS., 115: Τοῦτο δὲ θεασάμενοι πολλοὶ συνέτρεχον τῷ μακαρίῳ Εὐσεβίῳ ἀπὸ τῆς πόλεως Τερρακίνης... πολλοὶ μὲν οὖν ἐπέστρεφον πρὸς Κύριον καὶ ἐβαπτίζοντο ὑπὸ τοῦ μακαρίου Φίλικος τοῦ πρεσβυτέρου...

τῷ θείῳ μύστῃ,
διὸ καὶ συνέψαλλον·
« εὐλογητὸς ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

Ναμάτων πηγάζετε,
σοφοί, ἰάσεις προσκαλουμένοις ὑμᾶς·
διὰ τοῦτο ἐν πίστει
ἐν τῷ τεμένει, ἀγαλλομένῳ ποδί,
νῦν εἰσιόντες
χορεύοντες ψάλλομεν·
« εὐλογητὸς ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

Δριμύττων ὁ δείλαιος
ὠμῶς Λεόντιος, Λεοντίου υἱός,
περὶ πατρὸς θανάτου
Εὐσέβιόν τε καὶ Φήλικα μὲν
ἀποτμηθῆναι
τὰς κάρας κελεύει γὰρ
ὁ ἀσεβὴς καὶ ἐχθρὸς
τῶν ἀθλητῶν τοῦ Χριστοῦ.

Ῥιφῆναι προσέταξε
Χριστοῦ μαρτύρων θείων τὰ σώματα γὰρ
ποταμίοις τοῖς ῥείθροις·
ἀλλὰ σωθέντα μέχρι θαλάσσης ἀκτῆς
ἐν τοῖ⟨ς⟩ στροβίλοις
τιμίως ἐφέροντο·
εὐλογητὸς ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

(τριαδ.) * Ἁπάντων μὲν Κύριον,
ἑνὸς δὲ μόνου μονογενοῦς Υἱοῦ
ὀρθοδόξως Πατέρα
θεολογοῦντές σε καταγγέλλομεν

222-237 trop. om. N 223 προσκαλουμένους 220, 228, 244, 260 post εὐλογητὸς varie orat. detruncant cdd. 233 φίλικαμεν 239 γὰρ om. N 241 ἀκτὶ V 246-253 τριαδ. om. N, in marg. cd. V scriptum MR V, 60

καὶ ἓν εἰδότες
σοῦ ἐκπορευόμενον
Πνεῦμα εὐθές, συμφυὲς
καὶ συναΐδιον.

θεοτ. Παρθένε πανάμωμε,
Θεὸν τεκοῦσα τὸν ἀναλλοίωτον
μετὰ τόκον, Μαρία,
αὐτὸν δυσώπει ὑπὲρ τῶν δούλων σου
διὰ τὸ σῶσαι
τοὺς πίστει κραυγάζοντας·
« εὐλογητὸς ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

ᾠδὴ η΄. *Ἑπταπλασίως κάμινον*

Ἰθυνομένων χάριτι
τοῦ τὰ πάντα τεκτήναντος,
ὁ θεοσεβείας ἱερός τε Κούαρτος,
Καπώης πρεσβύτερος,
f. 83 περισωθέντα ταῦτα || ἰδών,
τὸν δημιουργὸν καὶ λυτρωτὴν ἐδυσώπει
τὰς κάρας εὑρεθῆναι
καὶ ἐνδόξως ταφῆναι
αὐτοὺς σὺν τοῖς συμμύσταις
καὶ θείοις ἀθλοφόροις.

Τετραριθμίους μάρτυρας
ὁ Χριστὸς ἐστεφάνωσεν
ὡς ἐνιαυτοῦ δὲ τοὺς καιροὺς ἐκόσμησεν·
θαυμάτων γὰρ χάρισι

258 τὸ om. N 259 κράζοντας N
heirm. η΄ EE 219, n. 314, Joannis 263 τεκτείναντος N 264 ἀθεοσεβείας N 271 θείοις] οις N

262-271 AA.SS., 117: Καὶ ἰδοὺ πρεσβύτερός τις ὀνόματι Κούαρτος ἐκ τῆς πόλεως Καπούας... τὰ τῶν ἐνδόξων μαρτύρων σώματα ἄνευ τῶν τιμίων αὐτῶν κεφαλῶν ἐπὶ τῆς ὄχθης θεωρεῖ κείμενα. Συνῆγεν δὲ ταῦτα καὶ ἐπέθηκεν ἐπὶ ἁμάξῃ... Ἤρξατο τοίνυν ἐπιμελῶς ἐκζητεῖν τὰς τῶν ἁγίων μαρτύρων κεφαλάς...

περιφαιδρύνας τούτους σαφῶς,
ὡς δημιουργὸν καὶ σθενουργὸν τῶν ἁπάντων
οἱ παῖδες εὐλογοῦσι,
ἱερεῖς ἀνυμνοῦσι,
λαὸς ὑπερυψοῦσιν
εἰς πάντας τοὺς αἰῶνας.

Οὐ παριδὼν Καισάριος
ἐπισκόπου τὴν αἴτησιν
περὶ θυγατρίου εὐσεβοῦς τε ἄνακτος,
ὡς ὄφιν τὸν δαίμονα
περιελκύσας ταύτης εἰπών·
« τῶν ἱκεσιῶν τε καὶ εὐχῶν ἐσπλαγχνίσθην
τοῦ ὄντως ποιμνιάρχου
καὶ δακρύων τοῖς ῥείθροις·
διὸ ὑπερυψοῦτε
Χριστὸν εἰς τοὺς αἰῶνας ».

Ὑπὲρ ἡμῶν μνημόνευε,
ἱεράρχα Καισάριε,
τῶν εὐσεβοφρόνως ἐκτελούντων μνήμην σου
ῥυσθῆναι κολάσεως
καὶ αἰωνίου τότε πυρὸς
καὶ τῆς βασιλείας οὐρανῶν ἀκηράτου
ἔνδον ἀξιωθῆναι
σὺν ἀγγέλοις τε μέλψαι
Θεῷ τῷ ἐν τριάδι
ἀπεράντους αἰῶνας.

---

276 τούτου N   278, 308, 318 post εὐλο(γοῦσι - εῖτε) orat. detruncant cdd.   282-291 trop. om. N   286 εἰπών pro εἶπε: secundum cdd. periodus sententia prima caret   293 Καισάριε] καὶ σῶν N

282-291 AA.SS., 126-129: ... ἡ θυγάτηρ τοῦ βασιλέως ... ὑπὸ ἀκαθάρτου πνεύματος σπαράττεσθαι ἤρξατο... ἐν τῇ πόλει προελθούσης τῇ ἐπονομαζομένῃ Τερρακίνῃ, ἧς τινος πόλεως ὁ μακάριος Φίλιξ ἦν ἐπίσκοπος... ὁ μακαριώτατος ἐπίσκοπος εὐχὴν προσῆξε τῷ Θεῷ ... ἐν κλαυθμῷ καὶ νηστείαις ἑαυτὸν ἐκδέδωκεν, ὥστε ἐν τῇ τρίτῃ ἡμέρᾳ ἡ κόρη Θεοῦ χάριτι ἰάσεως ἔτυχεν ... ἡ κόρη ἔφη· « Καισάριον ἑαυτὸν ὀνομάζειν διεμαρτύρετο ὁ φανείς μοι· εὐθέως οὖν ἐκ τοῦ ἐμοῦ στόματος ὥσπερ ὄφιν ἐξήνεγκεν ... καὶ ποιήσας σφραγῖδα ἐν τῷ στόματί μου καὶ ἐν τοῖς ὠσίν μου ἀφανὴς ἐγένετο... ».

τριαδ. * Τρισσοφαῆ θεότητα,
ἑνιαίαν ἐκλάμπουσαν
αἴγλην ἐκ μιᾶς τρισυποστάτου φύσεως,
γεννήτορα ἄναρχον
ὁμοφυᾶ τε Λόγον Πατρὸς
καὶ συμβασιλεῦον ὁμοούσιον Πνεῦμα,
οἱ παῖδες εὐλογεῖτε,
ἱερεῖς ἀνυμνεῖτε,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

θεοτ Τὸ ἐκλεκτόν σου ποίμνιον,
ὃ εὐδόκησας, Κύριε,
ἐκ τῆς θεοτόκου σαρκωθείς, εὐλόγησον
εἰς τέλος ἀλώβητον
ἐκ πειρασμῶν ῥυσάμενος,
ἵν' ὀρθοδοξοῦντες εὐχαρίστως βοῶμεν·
« οἱ παῖδες εὐλογεῖτε,
ἱερεῖς ἀνυμνεῖτε,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

ᾠδὴ θ'. *Ἔφριξε πᾶσα ἀκοὴ*

Ἅπαντες ὕμνοις ἱεροῖς
τὴν τετράριθμον μαρτύρων ὁμήγυριν
πόθῳ αἰνέσωμεν
Καισάριόν τε σὺν τοῖς συμμάρτυσι
καὶ εὐφρανθῶμεν ἐν ᾠδαῖς
Τριάδα δοξάζοντες
τὴν ἀδιαίρετον,
τὴν δοξάσασαν αὐτοὺς ἐν τοῖς θαύμασιν.

Μάρτυρες θεῖοι ἱεροί,
τὴν οὐράνιον οἰκοῦντες μητρόπολιν
καὶ σὺν ἀγγέλοις ἀεὶ

302-311 τριαδ. MR V, 60-61, idem om. N   307 συμβασιλεύων
316 ῥυσάμενος: fort. scribendum ῥυόμενος
heirm. θ' EE 222, n. 317, Joannis

f. 83v ὑμνοῦν||τες αἶνον Θεῷ τρισάγιον,
ἐκδυσωπήσατε αὐτὸν
παρρησίαν ἔχοντες
δι' ὃν ἠθλήσατε
τοῦ λυτρώσασθαι ἡμᾶς πάσης θλίψεως.

Ἤμβλυναν πλάνην τοῦ ἐχθροῦ
καὶ κατέρραξαν αὐτὴν καὶ διώλεσαν
ὄντως οἱ ἅγιοι
Θεοῦ ἰσχύι ἐνδυναμούμενοι
καὶ κατεφώτισαν πιστῶν
καρδίας διδάγμασι
καὶ νῦν πρεσβεύουσι
καὶ λυτροῦνται ὑμνῳδοὺς ἐκ τῶν θλίψεων.

τριαδ. Νήφοντες, θεῖοι μελῳδοί,
τὴν ἀόριστον οὐσίαν δοξάσωμεν,
τὴν τρισυπόστατον,
Πατρὸς Υἱοῦ τε ἁγίου Πνεύματος·
περιορίζουσα τὸ πᾶν
καὶ πάντα συνέχουσα,
πληροῦσα σύμπαντα
ἡ θεότης, ἣν πιστοὶ μεγαλύνωμεν.

θεοτ. * Ἔντεινε καὶ κατευοδοῦ
καὶ βασίλευε, υἱὲ θεομήτορος,
Ἰσμαηλίτην ἐχθρὸν
καθυποτάσσων τὸν τυραννοῦντα ἡμᾶς
τῷ φιλοχρίστῳ βασιλεῖ
πρεσβείαις, δεόμεθα,
τῆς κυησάσης σε
ἀπειράνδρου, ὁ Θεός, ὡς φιλάνθρωπος.

---

333 Θεὸν cdd. 340 ὄντος N 341 ἰσχύει cdd. 246-253 τριαδ. om. N 352 πληροῦσα] πληρῶν τὰ V 354-361 θεοτ. MR I, 296 356 Ἰσραηλίτην MR ἐχθρὸν] λαὸν N MR 357 καθυποτάττων MR 357 τυραννοῦντα] πολεμοῦντα MR ἡμᾶς] ἡμῖν V 361 ἀπειράνδρως ὡς Θεὸς καὶ φιλάνθρωπος MR

354-355 Ps. 44,5

IN SANCTOS ACEPSIMAM, JOSEPH AC AEITHALAM MARTYRES

Synaxarium, 189-191: Ἄθλησις τῶν ἁγίων μαρτύρων Ἀκεψιμᾶ ἐπισκόπου, Ἰωσὴφ πρεσβυτέρου καὶ Ἀειθαλᾶ διακόνου. Οὗτοι ὑπῆρχον ἐπὶ Σαβωρίου τοῦ βασιλέως ἐν Περσίδι, Ῥωμαίων δὲ βασιλεύοντος Κωνσταντίνου τοῦ μεγάλου. Ἦν οὖν ὁ ἅγιος Ἀκεψιμᾶς ἐπίσκοπος Ἀνιθᾶ, ... συσχεθεὶς δὲ μετὰ τῶν σὺν αὐτῷ καὶ παραστὰς Ἀδαρχόσχαρ τῷ ἀρχιμάγῳ καὶ μὴ πεισθεὶς θῦσαι τῷ ἡλίῳ καὶ τῷ Ἄρει, μᾶλλον δὲ εἰς αὐτοὺς ἐξυβρίσας, τύπτεται ἰσχυρῶς καὶ δεσμεῖται· εἶτα ἄγεται ὁ ἅγιος Ἰωσὴφ ἐκ πόλεως ὢν Βηθλαβουθᾶ καὶ αὐτὸς ἤδη γηραιός· καὶ ἀντιστὰς τῷ ἀρχιμάγῳ, τείνεται καὶ μαστίζεται, ὡς διαιρεθῆναι τὰς σάρκας αὐτοῦ μέχρι τῶν ὀστέων· καὶ δεσμεῖται μετὰ τοῦ ἁγίου Ἀκεψιμᾶ· εἶτα ὁ ἅγιος Ἀειθαλᾶς ὁμολογήσας τὸν Χριστόν, δεσμεῖται τὰς χεῖρας ὑπὸ τὰ γόνατα καὶ κάτω ξύλῳ τεθεὶς καὶ μαστιζόμενος ἐξαρθροῦται πάσας τὰς ἁρμονίας τοῦ σώματος καὶ εἰς τὴν φυλακὴν μετὰ τῶν λοιπῶν παραπέμπεται. Μετὰ ταῦτα ὁ μὲν Ἀκεψιμᾶς ὑπὸ τριάκοντα στρατιωτῶν τυπτόμενος παρέδωκε τὴν ψυχήν. Ὁ δὲ ἅγιος Ἰωσὴφ κατὰ κεφαλῆς κρεμασθεὶς καὶ ἱκανῶς ξανθεὶς κατελεύσθη ὑπὸ τῶν λίθων χωσθείς. Ὁ δὲ ἅγιος Ἀειθαλᾶς ταθεὶς ὑπὸ τεσσάρων στρατιωτῶν καὶ τυφθεὶς κρεμᾶται καὶ αὐτός, κάτω μὲν ἔχων τὴν κεφαλὴν ἄνω δὲ τοὺς πόδας· καὶ οὕτως καὶ αὐτὸς τὸ πνεῦμα τῷ Θεῷ παρατίθησι .....

Crypt. Δ.α. III = Cd, ff. 23-26
Crypt. Δ.α. XIII = Cc, ff. 119-122v
Vat. gr. 2 = V, ff. 86-88
Mess. gr. 138 = Mb, ff. 7v-11
Paris. gr. 259 = Pa, ff. 24v-28

Ὁ κανών.

Ἦχος β'.

ᾠδὴ α'. *Τῷ τὴν ἄβατον*
κυμαινομένην θάλασσαν

f. 23v || Περιφέρων μου
τῶν λογισμῶν τὴν ἄβυσσον

---

tit. Ἕτερος κανὼν τῶν μαρτύρων Cc Εἰς τὸν ὄρθρον κανὼν Cd Ὁ κανὼν εἰς τοὺς μάρτυρας Pa; in marg. cd. V nomen hymnographi Ἁγιοπο(λίτου) scriptum est; cd. Pa autem Ἰω(άννου) μο(να)χ(οῦ) praebet
heirm. α' EE 39, n. 53, Cosmae 2 τῶν] τὸν Cd

πῶς ἂν ⟨— —́⟩ διέλθοιμι
μαρτύρων πέλαγος
καὶ τὸ βάθος τῆς αὐτῶν
εὕροιμι ἀθλήσεως
πταισμάτων ἕλκων βυθόν;
αὐτῶν πρεσβείαις, Χριστέ,
τοῦ σοῦ λιμένος τύχοιμι.

Τὸ τοῦ δόγματος
θεοστυγὲς κατέπτυσας
θείῳ Χριστοῦ προστάγματι
ἐπερειδόμενος,
τῷ ἡλίῳ δυσσεβῶς
σέβειν σε προστάττοντος
καὶ τῷ παμφάγῳ πυρί,
τοῦ Κτίστου δὲ τὴν τιμὴν
τοῖς κτίσμασιν οὐκ ἔνειμες.

Πρὸ ἀθλήσεως
ἱερωμένος, ἔνδοξε,
ἔργοις σεπτοῖς ἀσκήσεως

---

3 πῶς σὰν Cd versus duabus syllabis caret 7 βυθῶ V 8 Χριστέ] σωτήρ V 15 σέβειν] θύειν Cd προστάσσοντος (-ττοντα Pa) Mb 17 δὲ] γὰρ V Mb 21 σεπτοῖς Mb cett. cdd. om.

1-9 H. Delehaye, *Les versions grecques des Actes des martyrs persans sous Sapor II*, Patrol. Orient. II 4(1905), 478: Ἰδοὺ δὴ εἰσέρχομαι εἰς φοβερὸν τοῦ μαρτυρίου πέλαγος, εἴ γε δυνηθῶ διαπεραιωθεὶς φθάσαι εἰς τὸν τούτου λιμένα καὶ εἰς τὰ μεγάλα αὐτοῦ περιπλέω κύματα, εἴ γε καταντήσω εἰς τὸν αἰγιαλὸν αὐτοῦ. Ἐπεὶ δὲ τὸ βάθος αὐτοῦ ἄπειρον...

10-18 PG 116, 832: ... πυρί τε καὶ ἡλίῳ τὸ σέβας νέμειν ἐξεβιάζοντο...
PG 116, 833: ... βασιλικῶν δογμάτων καταφρονεῖν καὶ μὴ προσκυνεῖν ἐθέλειν τῷ τε ἡλίῳ καὶ τῷ πυρὶ... Ὁ τοῦ Χριστοῦ ἀρχιερεὺς ἀπεκρίνατο· « Πολλά μοι δοκεῖ ἡ τῶν Περσῶν ἀνοηταίνειν ἀρχή, ὅτι τοῦ κτίσαντος ἀφεμένη λατρεύειν ἔγνω τοῖς κτίσμασιν. Τίς γὰρ εὐφρονῶν τὸ τοῦ Θεοῦ σέβας τοῖς ὑπὸ Θεοῦ περιθεῖναι πεποιημένοις ἀνέξοιτο, ὥσπερ ὑμεῖς ποιεῖτε, ἀνόσια δρῶντες καὶ αὐτός γε οὗτος ὁ ὑμέτερος βασιλεύς; ».
PG 116, 837: ... μηδὲ τοῦτο οἴου θεάσασθαί ποτε ... καταλιπόντα με τὸν ποιητὴν ἡλίου καὶ τοῦ πυρὸς τοῖς ἐκείνου ποιήμασι προσκυνῆσαι...
PG 116, 853: ... οὐδεὶς μεταπείσει με τὴν τοῦ Θεοῦ τιμὴν τοῖς αὐτοῦ κτίσμασιν ἀπονεῖμαι ...

ὡλοκαυτώθης τὸν νοῦν,
τῇ ἀθλήσει δὲ σεπτὸν
ὤφθης καλλιέρημα·
διὸ καὶ ἔκραζες·
« Κυρίῳ ᾄσωμεν
ἐνδόξως γὰρ δεδόξασται ».

θεοτ. Ἀπειρόγαμε,
παρθενομῆτορ ἄχραντε,
ἡ ἐν γαστρὶ χωρήσασα
τὸν βασιλέα Χριστόν,
μὴ παρίδῃς, ἀγαθή,
τὰς τῶν οἰκετῶν σου φωνάς,
ἀλλ' ἀπειλῆς χαλεπῆς
τὸν κόσμον λύτρωσαι
καὶ σῶσον τὰς ψυχὰς ἡμῶν.

ᾠδὴ γʹ. *Ἐν πέτρᾳ με τῆς πίστεως στερεώσας*

Οἰκίας ἀντηλλάξω τῆς ἐπιγείου
τὴν ἄνω ἀχειρότευκτον κατοικίαν,
ἐν ᾗ καὶ ἀγαλλόμενος ἀναμέλπεις·
« οὐκ ἔστιν ἅγιος

---

22 -θεις Pa 25 διὸ ἐκραύαζες V 26 post ᾄσωμεν orat. varie intermittunt cdd. 29 παρθενομήτωρ Cc 29-30 εὐλογημένη δέσποινα, / ἡ τὸν Θεὸν κυήσασα V 29-31 θεογεννῆτορ δέσποινα, / ἡ τετοκυῖα Κύριον / καὶ β. Χρ. Mb 30-31 ἡ τεκοῦσα τὸν σωτῆρα / καὶ β. Χρ. Pa 33 ἱκετῶν V Mb 35-36 ῥῦσαι πρεσβείαις σου / τοὺς πίστει σε δοξάζοντας Pa
heirm. γʹ EE 38, n. 51, Cosmae 40-43 praeter Cd, post ἔστιν orat. varie intermittunt cdd.

37-38 Delehaye, op. cit., 518: Ὅτε δὲ κατεσχέθη ... καὶ διήρχετο κατέναντι τοῦ οἴκου αὐτοῦ... ἐκτείνας τὴν χεῖρα αὐτοῦ εἶπεν· « Αὕτη ἡ οἰκία οὐκ ἔστι μου οἰκία... ἀλλ' οἰκία καὶ κληρονομία μου ὁ Χριστός ἐστιν, ὅτι πλὴν αὐτοῦ ἕτερον οὐδὲν ἠγάπησα... ».
PG 116, 833: ... αὕτη ἡ οἰκία ... οὐκ ἔστιν οἰκία μου· ἐγὼ γὰρ ἤδη πρὸς τὴν ἄνω ὅσον οὔπω καὶ μετοικίζομαι...

26-27 Ex. 15, 1,21 32-33 Ps. 73,23 36 Jac. ep. 1, 21 40-43, 48-50 I Regn. 2,2

ὡς ὁ Θεὸς ἡμῶν
καὶ οὐκ ἔστι δίκαιος
πλήν σου Κύριε ».

Ἀδάμαντος ἐδείχθη σου στερροτέρα,
παμμάκαρ Ἰωσήφ, ἡ πρὸς τοὺς τυράννους
εὐσθένεια καὶ ἔνστασις καὶ ἀνδρεία·
διὸ καὶ ἔκραζες·
« σὺ εἶ Θεὸς ἡμῶν
καὶ οὐκ ἔστιν ἅγιος
πλήν σου Κύριε ».

Φυτὸν ἀειθαλὲς καὶ ζωῆς σε ξύλον
καρποὺς τῆς ἀϊδίου τρυφῆς βλαστάνον
ἐπέγνωμεν ἐν μέσῳ τοῦ παραδείσου
τῆς ἐκκλησίας Χριστοῦ,
ἐξ ὧν τρυγῶντες ἀεὶ
f. 24 ‖ τὰς ψυχὰς στηρίζομεν,
μάρτυς ἔνδοξε.

---

47 διὸ ἐκραύαζες V 48-50 versus secundum lectionem σὺ εἶ Θεὸς ἡμῶν cdd. Cd, Mb et metri rationem supplevi; post vero ἡμῶν orat. varie detruncatur in cdd.; alia cett. praebent cdd. οὐκ ἔστιν ἅγιος / ὡς ὁ Θεὸς (Cc), ... ἡμῶν Pa; οὐκ ἔστιν ἅγιος / καὶ οὐκ ἔστι V 51 φ. ἀειθαλές τε κ. ζ. (σε om. Cc) ξ. Cc Cd 52 τρυφῆς] ζωῆς V βλαστάνων Cc V 53 ἐν μέσῳ] σε μέσον Cd 55 ἐξ ὧν] ἐκ σοῦ V 56 τὰς om. Pa στηρίζωμεν Mb 57 ἔνδοξε] Ἀειθαλᾶ Mb πανεύφημε Pa

---

44 Delehaye, op. cit., 522: Ἀλλ' οἱ ὄντως γενναῖοι τοῦ Χριστοῦ ἀθληταὶ ὥσπερ στερεοὶ ἀδάμαντες...
PG 116, 840: Ὁ δὲ ἀδάμας ἀθλητὴς ἐκεῖνος καὶ τὸ φρόνημα ὑπ' οὐδενὸς ταπεινούμενος ὥσπερ ἀπόνως καὶ ἀναλγήτως πρὸς βασάνου τοιαύτην ὑπερβολὴν διακείμενος...
46 PG 116, 857: ... ἀνδρικὴν ἐπιδειξαμένην ἔνστασιν...
PG 116, 860: ... ἴσην τοῖς πρὸ αὐτοῦ... ἔνστασιν καὶ καρτερίαν ἄχρι θανάτου ἐπιδειξάμενος...
47-50 PG 116, 845-848: Ὁ δέ· « εἷς ἐστιν ὁ Θεός, ἀνεβόα, καὶ πλὴν αὐτοῦ οὐδαμῶς ἕτερος... ».
51 PG 116, 840: Ὁ δὲ τοῦ Χριστοῦ μάρτυς Ἀειθαλᾶς τὸ τῆς εὐσεβείας ὄντως ἀειθαλὲς φυτὸν καὶ οὐράνιον ἔργον...

51-53 Gen. 2,9

θεοτ. * Σὺ μόνη παρὰ πάντας τοὺς ἀπ' αἰῶνος
μεγάλων ἠξιώθης καὶ ὑπὲρ φύσιν·
Θεὸν γὰρ τὸν ἀχώρητον πάσῃ κτίσει
ἐν μήτρᾳ ἤνεγκας
καὶ ἐσωμάτωσας·
ὅθεν θεοτόκον σε
πάντες σέβομεν.

ᾠδὴ δ'. *Ὑμνῶ σε·*
ἀκοὴν γάρ, Κύριε,

« Τί μάτην
πρὸς βασάνους ἔσπευσας
ἀφειδήσας τῶν ἐπιγείων;
Ἀκεψιμᾶ, θρήσκευε
ἡλίῳ καὶ πυρὶ καὶ ζῆθι »,
ἐχθρὸς σὺν τυράννοις ἐπεφώνει σοι,
ὧν τῆς θρησκείας, μάκαρ, κατεγέλασας.

« Τῷ ζῶντι
προσανέχων κτίστῃ μου,
— ὁ ἀοίδιμος ἱεράρχης —
ὁμόδουλον ἥλιον
ἐπίσταμαι καὶ πῦρ — ἐβόα·
διὸ τῶν βασάνων σου τὰ δήγματα
ὥσπερ νηπίων βέλη μοι λελόγισται ».

58-64 θεοτ. MR VI, 179; θεοτ. om. Cc 64 πάντες] πίστει MR 64 σέβομεν] σέβωμεν Mb κηρύττωμεν Pa
heirm. δ' EE 38, n. 51, Cosmae 66 ἔσπευσας] ἄνθρωπε Cc ἔβλεψας Cd V 68 θρήσκευε] πρόσελθε V 69 καὶ] τε Cd — ἡλίω τε καὶ πῦρ καὶ ξίφει Cc 70 ἐπεφώνησοι Cc V 71 θρησκείας, μάκαρ,] ἐμβροντησίας V Mb Pa 77 δήγματα] δήματα Cd V δείματα ex correctione Mb

---

65-71 PG 116, 840:... « Ἀλλ' οὐδεὶς ἀνθρώπων εὐφρονῶν, ἔφη, θάνατον ἂν πρὸ τῆς ζωῆς ἕλοιτο καὶ ταῦτα ματαίας χάριν καὶ οὐ λεγομένης ἐνστάσεως... ».
PG 116,845: Ὁ δὲ κῆρυξ ἐβόα· « πείσθητι τῷ τοῦ βασιλέως θελήματι καὶ ζῆθι ... ».
77-78 PG 116, 840: Ἢ τοίνυν καινοτέρας (βασάνους) ἐπινόει, ἢ ταύτας ἴσθι τὸ μηδέν μοι λογιζομένας... ὥσπερ ὁ νοῦς ὁ σός, ἔλεγε, σαθρός τε καὶ ἀσθενής, οὕτω δὴ καὶ αἱ βάσανοι μορμολύκεια ψυχῶν ἀθλίων εἰσὶ καὶ ταπεινῶν...

---

78 Ps. 63,8

Θωπεῖαι
τῶν τυράννων ἴσχυσαν
οὐδαμῶς τὸ στερρόν σου κάμψαι·
πρὸς Θεὸν γὰρ ἔτεινας
καρδίας σου, παμμάκαρ, ὄμμα,
ὑφ' οὗ τὴν ψυχήν σου φωτιζόμενος
πᾶσαν εἰδώλων πλάνην ἀπετέφρωσας.

θεοτ. * Σὺ μόνη,
θεοτόκε, πέφηνας
πάσης κτίσεως ὑπερτέρα·
τὸν Κτίστην γὰρ τέτοκας
τοὺς πτώματι καταρραγέντας ἡμᾶς
ἀνορθῶσαι τὸν δυνάμενον,
θεογεννῆτορ, μόνη ἀειπάρθενε.

ᾠδὴ ε'. *Μεσίτης Θεοῦ*

Δακρύων πηγαῖς,
ἐγκρατείᾳ, προσευχῇ καὶ πίστει στερρᾷ
καὶ ἀγάπης ἄνθραξι

86-92 θεοτ. NS 28 (1933), 259; θεοτ. om. Cc 92 ἀειπάρθενε] μητροπάρθενε Mb 89-92 καὶ τοῦτον φέρεις σαῖς (ἐν Pa) ἀγκάλαις, διὸ / τοὺς τιμῶντάς σε περίσωζε, / εὐλογημένη μῆτερ (μήτηρ Pa) ἀειπάρθενε Cd Pa NS
heirm. ε' EE 39, n. 53, Cosmae 94 ἐγκρατείας Pa

79-85 PG 116, 841: ... οὐκ ἀπειλαῖς, οὐ βασάνοις, οὐ δωρεαῖς οὐδενὶ ἄλλῳ τὸ παράπαν μετατιθέμενος...
PG 116, 844: Ὁ ἅγιος Ἀκεψιμᾶς ἀπεκρίνατο... «Τοῦτο δὲ περὶ ἡμῶν μηδὲ εἰς νοῦν ἀναβήτω σοι ὡς ἢ θωπείαις ἢ ἀπειλαῖς ἢ κακῶν ἄλλων ἐπιφοραῖς μεταπείσεις ἡμᾶς... Ὁ γὰρ ἐν τοῖς προλαβοῦσι δεινοῖς χεῖρα βοηθὸν παρασχόμενος, αὐτὸς καὶ νῦν ἐπικουρῶν ἔσται... ».
PG 116, 845: ... Τὸ ὄμμα ὑψοῦ διάρας, καὶ τὴν εἰς Θεὸν ὁμολογίαν διὰ τῆς πρὸς αὐτὸν ἀνανεύσεως ἀπαράτρεπτον σώζειν βεβαιωσάμενος, ἐν αὐτῇ τῇ τῶν δεινῶν καρτερίᾳ τὴν ἀήττητον ἐκείνην ψυχὴν τῷ ἀγωνοθέτῃ Θεῷ παρέθετο...
PG 116, 848: Σὺ δὲ ... τῇ ἐμῇ πειθόμενος συμβουλῇ, τιμῶν τε μεγίστων ἀξιωθήσῃ καὶ βασιλικῶν οἵων ἐπιτεύξῃ τῶν δωρεῶν ...

---

93 Jer. 9,1

καὶ λαμπαδουχίᾳ τῆς ἀθλήσεως
τῶν παθῶν τὴν ὑλώδη
παραφυὴν ἐφλέξατε.

Στολὴν ἱερὰν
f. 24v ἀμπεχόμενοι σαφῶς ‖ λατρείας Θεοῦ,
ῥανίσιν ἀθλήσεως
καὶ τῷ πολυμόρφῳ τῶν κολάσεων
ἐποικίλατε ταύτην
ἱερωτέραν δείξαντες.

Θανάτῳ ζωὴν
τῷ προσκαίρῳ τὴν μακρὰν ἀντωνησάμενοι,
θεόπνευστοι μάρτυρες,
τῆς ἀειλαμποῦς μακαριότητος
τρανοτέρως τοῦ κάλλους
τρυφῶντες ἀπολαύετε.

θεοτ. * Δυσώπει τὸν σὸν
υἱὸν καὶ Κύριον, παρθένε ἁγνή,
αἰχμαλώτοις ἄφεσιν
τοῖς ἐξ ἐναντίας περιστάσεως
ἐπὶ σοὶ πεποιθόσιν
εἰρηνικὴν δωρήσασθαι.

---

97 τῷ ὑλώδη Pa 98 παραφυεῖν Cc 100 λατρεία Cc Mb 107 μάρτυς Cc 109 τὸ κάλλος Pa 110 ἀπολαύεται V 111-116 θεοτ. MR II, 366; θεοτ. om. Cc 112 καὶ υἱὸν Cd υἱόν τε MR 113 ἄφεσιν] λύτρωσιν Mb Pa MR 114 τοῖς] τῆς V Mb Pa MR

105-106 PG 116, 840: ... Οἷς δὲ ἀληθεῖς ἐλπίδες καὶ βέβαιοι τὴν ψυχὴν ὑποτρέφουσιν ὡς αὐτή τε ἀθάνατος εἴη καὶ... αἰωνίου μέλλοι ζωῆς κοινωνεῖν, τούτοις ἄρα καὶ ἡ παροῦσα ζωὴ χρῆμα σμικρὸν καὶ εὐκαταφρόνητον καὶ ὁ θάνατος ἥκιστα φοβερός...
PG 116, 853: ... ὁ γὰρ θάνατος οὗτος πρόξενός μοι ζωῆς γίνεται αἰωνίου ἀγαθῶν τε πολλῶν ἡμῖν καθίσταται αἴτιος...

---

113 Is. 61,1

ᾠδὴ ϛ'. *Ἐν ἀβύσσῳ πταισμάτων κυκλούμενος*

Τῶν βασάνων τὰ νέφη ὑψούμενα
λαίλαπι δεσμῶν καὶ θυέλλῃ στρεβλώσεων
ἡλιοβόλως λάμψασα
τῶν μαρτύρων ἡ πίστις διέλυσεν.

Τῇ ἐλπίδι τὴν πίστιν νευρώσαντες
ὡς τοῦ νόμου πλήρωμα ἐνστερνισάμενοι
τὸν τῆς ἀγάπης σύνδεσμον
τῇ Τριάδι συνήφθητε, μάρτυρες.

Ὡς σεπτὸν ἱερεῖον καὶ σφάγιον,
ὢ κλεινὴ μαρτύρων τριὰς παναοίδιμε,
ταῖς σαῖς πρεσβείαις μνήσθητι
τῶν ἐκ πόθου τελούντων τὴν μνήμην σου.

θεοτ. * Ἀπορία καλύπτει τὸν τόκον σου·
ξένως γὰρ παρθένος θηλάζεις τὸν ἄσπορον
καὶ γαλουχεῖς τὸν ἄυλον
καὶ ἀγκάλαις συνέχεις τὸν κτίσαντα.

Κάθισμα.

Ἦχος δ'. *Κατεπλάγη Ἰωσὴφ*

Ἱερεῖς καὶ λειτουργοὶ
τοῦ παντοκράτορος Θεοῦ
γεγονότες, ἀθληταί,

---

heirm. ϛ' EE 34, n. 46, Joannis 118 θυέλλης Cd 119 ἡλιοβόλους Pa 121 sqq. τροπ. « Τῇ ἐλπίδι » ac « Ὡς σεπτὸν » inverso ordine praebent V Mb 121 τῇ πίστει Mb 128 σου] ὑμῶν V 129-132 θεοτ. MR V, 291 θεοτ. om. Cc 129 Ἀπορεῖ κατ' ἀξίαν ὑμνήσειεν V 130 ξένος V ξένον Mb θηλάζει V παρθένε MR ἄποσον MR 131 γαλουχεῖ V 132 συνέχει V 129-132 aliud θεοτ. praebent cdd. Cd et Pa, quod inc. Ἀπειράνδρως, παρθένε, ἐκύησας MR I, 481

Κάθ. post odem ϛ' praebet Cd; in Pa vero ante canonem praemittitur; heirm. καθ. MR I, 233

122-123 Rom. 13,10; Col. 3,14

ζῶσαν θυσίαν ἑαυτοὺς
τῷ νεκρωθέντι δι' οἶκτον
προσηγάγετε·
πῦρ γὰρ καὶ ποινὰς
f. 25 ὑπηνέγ||κατε
καὶ χρόνια δεσμὰ
ἐκαρτερήσατε
καὶ ἀθανάτου δόξης, ἀξιάγαστοι,
ὡς ἀληθῶς ἠξιώθητε·
διὸ τοὺς πίστει
ὑμᾶς τιμῶντας
ῥύσασθε περιστάσεων.

Ἄλλο.

Ἦχος πλ. δ'. *Τὴν σοφίαν τοῦ Λόγου*

Ἰωσὴφ ὁ γενναῖος ἀγωνιστὴς
....

ᾠδὴ ζ'. *Εἰκόνος χρυσῆς*

Ἐξέστης Θεῷ
καὶ μετέστης τῶν ἐν γῇ, παμμάκαρ Ἀκεψιμᾶ,
καὶ τῆς ἐκεῖθεν ὅλως γέγονας
καὶ κατοικίας καὶ λήξεως·
ὅθεν κατεφρόνεις βασάνων
καὶ παρρησίᾳ ἐκραύγαζες·
« εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

---

15 περιστάσεως Pa

κάθ. ἄλλο, quod unus Cd praebet, invenies in MR II, 29

heirm. ζ' EE 39, n. 53, Cosmae 135 ὅλος Mb Pa 139, 147, 155 εἶ om. V 139, 147, 155 post εὐλογητὸς varie orat. detruncant cdd.

Αἱμάτων κρουνοῖς
συναπέρρευσαν εἰς γῆν τὰ μέλη τοῖς αἰκισμοῖς,
ἐγκαρτερῶν δὲ τούτοις ἔρωτι
τῆς ἀϊδίου μεθέξεως
οὕτω τὴν ψυχὴν ἐναπέθου
ἐν ταῖς χερσὶ τοῦ Κυρίου σου
« εὐλογητὸς εἶ — ἐκβοῶν —
ὁ τῶν πατέρων ἡμῶν ».

Τῆς ἄνω ζωῆς
τῆς ἐκεῖθεν συνταγεὶς τῶν ἀσωμάτων χορῷ
καταπολαύων, παμμακάριστε,
καὶ σὺν αὐτοῖς ἀγαλλόμενος,
αἴτησαι ἡμῖν σωτηρίαν
τοῖς ἐν τῇ μνήμῃ σου ψάλλουσιν·
« εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

θεοτ. * Σὲ βάτον Μωσῆς
ἐν τῷ ὄρει τῷ Σινᾷ πυρπολουμένην, ἁγνή,
f. 25v || προεθεώρει τὴν ἐνέγκασαν
ἀκαταφλέκτως τὴν ἄστεκτον
αἴγλην τῆς ἀρρήτου οὐσίας

---

141 κρονοῖς V 144 ἀϊδίου] αἰωνίου Mb 145-148 in hoc loco Mb propter homoioteleuton repetit versus 137-140 147 ἐκβοῶν] ὁ Θεὸς Mb 150 χορὸν Cc χορῶν Pa 151 καθαπολαύων Cc Cd 157-164 θεοτ. MR III, 19; θεοτ. om. Cc

---

141-142 PG 116, 836: ... μάστιξι τὸ ἱερὸν γῆρας εὐθὺς καταικίζεται οὕτω βαρέως, ὥστε τῷ αἵματι μὲν ἅπαν περιλιμνασθῆναι τὸ ἔδαφος, μὴ καταλειφθῆναι δὲ μηδένα τόπον τοῦ σώματος ἀπαθῆ...

PG 116, 837: Ὡς δὲ τὰς ἱερὰς ἐκείνας σάρκας οἱ τῆς ἀπωλείας υἱοὶ κατέξανον. « Εὐχαριστῶ σοι», εἶπεν ὁ ἀθλητής, εἰς οὐρανὸν ἀνατείνας τοὺς ὀφθαλμούς...

PG 116, 845: ... ἕως αἱ σάρκες ἀποσπώμεναι τῶν ὀστέων εἰς γῆν τῷ αἵματι συγκατέρρεον...

PG 116, 848: ... αἱ σάρκες δὲ ξεόμεναι αὐτῷ αἵματι κατὰ γῆς ἔρρεον...

PG 116, 852: ... ὡς ἐκ πηγῆς παρεῖχον τὰ αἵματα καταρρεῖν...

157-158 Ex. 3,2

ἑνωθείσης παχύτητι
σαρκὸς μιᾶς τῶν ἐν αὐτῇ
ἁγίων ὑποστάσεων.

ᾠδὴ η´. *Τὸν ἐν καμίνῳ τοῦ πυρὸς*

Ἱερωσύνης τὸ σεμνὸν
τῷ τοῦ αἵματος σεπτῷ καταποικίλας,
Ἰωσήφ, ἀνεπλέξω
παρὰ Χριστοῦ τοῦ Θεοῦ
χαρίτων τῇ κάρᾳ σου στέφανον
καὶ τοῖς ἀσωμάτοις
χοροῖς συνεπαγάλλει.

Καταχωννύμενος, σοφέ,
τῇ προστάξει τῶν ἐχθρῶν νιφάσι λίθων,
πρὸς τὴν πέτραν ἐρείσας
ὁμολογίας Χριστοῦ
τὸ ὄμμα ἀτίνακτος ἔμεινας,
τὴν ψυχὴν χερσὶ
παραθεὶς Θεοῦ, παμμάκαρ.

Ἀειθαλὲς ὡς ἀληθῶς
τῆς ἀμπέλου τοῦ Χριστοῦ ὑπάρχων κλῆμα
τῇ τομῇ τῶν βασάνων
ταῖς ἀκηράτοις ληνοῖς
τὸν βότρυν ψυχῆς ἐθησαύρισας
τὸ τῆς σωτηρίας
ἡμᾶς ποτίσας γλεῦκος.

---

163 τῶν] τὸν Mb

heirm. η´ EE 35, n. 47, Joannis 166 τῷ] τὸ Cc σεπτῷ] σεπτὸν Cc 167 Ἰωσὴφ ἀνεπλέξω] ἀνεπλέξω ἐνθέως Cc Cd 177-178 παραθεὶς χερσὶ / τὴν ψυχὴν Cc Pa 178 Θεοῦ] Χριστοῦ Mb παμμάκαρ] ἱερομάκαρ Cc 182 ταῖς] τοῖς Cc

---

172-178 PG 116, 857: ... τὸν δὲ ἅγιον τοσαύταις νιφάσι λίθων συνέχωσαν ὡς μόνην ὁρᾶσθαι τὴν κεφαλήν... οὗ δὴ γενομένου... τὴν τιμίαν ψυχὴν ὁ μακάριος τῷ Χριστῷ παρατίθησι.

θεοτ. * Ἐξασθενεῖ μου νῦν ὁ νοῦς
εἰς τὰ πάθη ἐμπεσὼν τῆς ἀτιμίας
ὡς ἐντεῦθεν ποικίλοις
περιπαρῆναι κακοῖς·
ἀλλὰ σύ, παρθένε, θεράπευσον
τῷ τῆς ἀπαθείας
φωτὶ περιβαλοῦσα.

ᾠδὴ θ'. *Ἡ τὸν πρὸ ἡλίου*

Κλῖμαξ ἱερέων
τῇ τάξει τῆς σεπτῆς ὁμολογίας Χριστοῦ
ἀμέμπτῳ πολιτείᾳ ἐχρηματίσας·
ἐξ ἀγώνων μαρτυρικῶν
τῆς ἄνω δόξης ἔτυχες
τοὺς χαμερπεῖς ἀνάγουσα
σαῖς ἱκεσίαις πρὸς τὰς ἄνω μονάς.

Ὁλοκαυτωθέντες
f. 26 βασάνων αἰκισμοῖς καὶ ταῖς τῶν || λίθων βολαῖς
τῆς ἀθανάτου λήξεως ἐδράξασθε,
τῇ ἀκηράτῳ δὲ τοῦ Χριστοῦ
τραπέζῃ παριστάμενοι
τὸν ἱλασμὸν αἰτήσασθε
καὶ τὴν εἰρήνην ταῖς ψυχαῖς ἡμῶν.

186-192 θεοτ. MR II, 403; θεοτ. om. Cc 187 πάθη V: βάθη cett. cdd. ἀτιμίας] ἁμαρτίας Mb 190 σὺ] σοὶ Mb 186-192 aliud θεοτ praebet cd. Pa, quod inc. Τὸν ἐν τοῖς κόλποις τοῦ πατρὸς Anth. II, σμα'
heirm. θ' EE 40, n. 54, Cosmae 194 τάξει] πράξει V Mb 195 ἀμέμπτως Cc 195 ἐχρηματίσας] λειτουργήσασα Pa 198 ἀνάγοντα V 199 σαῖς] ταῖς Cd Pa τὴν ἄνω μονὴν Pa 201 Cfr. vv. 172-178 203 τῇ ἀκ. δὲ τοῦ Χρ.] καὶ τῇ ἀκ. Χ. V Mb Pa 205 αἰτήσασθαι Pa

---

199 PG 116, 853: ... τοῦτο γάρ μοι ἔφεσις, εἶπε, ... τὸ διὰ τάχους πρὸς τὰς αἰωνίους παραπεμφθῆναι μονάς...

---

187 Rom. 1,26

Τὸ ἐν ὑποστάσει
τρισσὸν καὶ τῇ οὐσίᾳ ἑνιαῖον τρανῶς
ὁμολογίᾳ πίστεως κηρύξαντες,
τῇ τοῦ θείου φωτὸς αὐγῇ
σαφῶς κατηγλαΐσθητε
καὶ τῆς Τριάδος ὤφθητε
λάτραι καὶ μύσται, παμμακάριστοι.

θεοτ. Κλῖμαξ ἀνεδείχθης,
δι' ἧς Θεός, παρθένε, καταβέβηκεν
ἐπὶ τῆς γῆς δι' ἄκραν ἀγαθότητα
καὶ τοὺς πάλαι θανατωθέντας
δόλῳ ἀνεζώωσε·
διό σε θεομήτορα
γνώμῃ καὶ γλώσσῃ καταγγέλλομεν.

214-220 θεοτ. om. Cc 215 δι' ἧς παρθένε Κύριος ἐλήλυθεν V 218 δόλῳ] λόγω Mb 220 γλώττη V

3 NOV. *CANON* VII

IN SANCTOS ACEPSIMAM, JOSEPH AC AEITHALAM MARTYRES

Crypt. Δ.α. XIX = Cu, ff. 3v-5
Mess. gr. 52 = M, ff. 40-41
Paris. gr. 13 = Q, ff. 125v-126
Paris. gr. 259 = Pa, ff. 28-30

Ὁ κανών.

Ἦχος δ'.

ᾠδὴ α'. *Ἀνοίξω τὸ στόμα μου*

Τὸν ἥλιον ἔχοντες
δικαιοσύνης τὸν ἄδυτον,
Χριστὸν τὸν Θεὸν ἡμῶν,
καταφαιδρύνοντα
ὑμᾶς, ἅγιοι,
ἀΰλῳ φωταυγείᾳ
τὸν γνόφον μειώσατε
τῆς ἀγνωσίας μου.

Τριάδος ἰσάριθμοι
τῆς τρισηλίου ὑπάρχοντες,
πολύθεον, ἅγιοι,
πλάνην ἐλύσατε

tit. Εἰς τὸν ὄρθρον κανόνες γ', τῆς ὀκτωήχου β' καὶ τῶν ἁγίων οὗτος εἰς ς' Q Ἕτερος κανὼν τῶν ἁγίων μαρτύρων Pa; nomen hymnographi Θεοφάνους in marg. indicant cdd. Cu Q Pa
heirm. α' EE 99, n. 141, Joannis 3 Χριστοῦ τοῦ Θεοῦ Pa 4 -ναντα Cu 7 τὸν γνόφον] τὰ νέφη M Q Pa

1-2 Mal. 4,2

ὑπομείναντες
βασάνους πολυτρόπους
καὶ θάνατον ἄδικον,
θεομακάριστοι.

Βασάνων τὸ πέλαγος
ἐν ἀκυμάντῳ διήλθετε
τῇ πίστει, μακάριοι,
καὶ καθωρμίσθητε
πρὸς τὴν ἄλυπον
ζωήν, πρὸς τοὺς λιμένας
τῆς ἄνω λαμπρότητος
εἰς δόξαν ἄρρητον.

f. 4 θεοτ. * ‖ Χαρᾶς ἡμῖν πρόξενος,
ὡς δεξαμένη τὸ πλήρωμα
τῆς ὅλης θεότητος,
ὤφθης, πανάμωμε·
ὅθεν πάντες σοι
τὸ ' χαῖρε ' τοῦ ἀγγέλου
συμφώνως κραυγάζομεν,
θεοχαρίτωτε.

ᾠδὴ γ'. *Οὐκ ἐν σοφίᾳ*

Οὐκ ἐν σοφίᾳ
ἑλληνικῆς, σοφοί, ματαιότητος,
ἀλλὰ γνώσει θεϊκῇ
τὴν ἀθεΐαν ἠλέγξατε
Περσῶν στηλιτεύσαντες
τούτων τὴν ἄνοιαν.

21 ἄλυπον] ἄυλον Q 25-32 θεοτ. MR I, 545 31 -ζωμεν Cu M
heirm. γ' EE 96, n. 136, Joannis 34 ἑλληνικὴ M 36 ἐλλήγξαττε M 37 Περσῶν] προσὴν M -οντες M 38 τούτων] ὄντως M 38 ἄνοιαν] ἄγνοιαν Q

36-38 PG 116, 833: ... πολλά μοι δοκεῖ ἡ τῶν Περσῶν ἀνοηταίνειν ἀρχή... Cfr. etiam canonem VI, 10-18.

26-27 Col. 2,9 30 Luc. 1,28 33-35 Jer. 9,23-24

Ἱεραρχίας
λελαμπρυσμένος τῷ θείῳ χρίσματι
ἱερῶς, Ἀκεψιμᾶ,
τῆς μαρτυρίας τῷ αἵματι
σαυτὸν κατεφαίδρυνας,
θεομακάριστε.

Ἡ συντριβή σου
τῶν μελῶν, Ἰωσὴφ πανаοίδιμε,
τῆς ἀπάτης τὰ ὀστᾶ
τελείως, μάρτυς, συνέτριψε,
σοὶ δὲ προεξένησε
δόξαν τὴν ἄφθαρτον.

θεοτ. * Σὲ ἡ σοφία
τοῦ Θεοῦ καθαρώτατον σκήνωμα
εὑραμένη, ἐκ τῶν σῶν
ἁγνῶν αἱμάτων σεσάρκωται
καὶ μετὰ τὴν κύησιν
ἄφθορον ἔδειξεν.

ᾠδὴ δ'. *Ὁ καθήμενος ἐν δόξῃ*

Οἱ τὰ κάτω παριδόντες
καὶ πρὸς μόνα τὰ μένοντα
ἐναποσκοποῦντες
τούτων τε λαχόντες τὴν οἴκησιν,
Ἀκεψιμᾶς ὁ γενναῖος
καὶ ὁ ἔνδοξος
Ἰωσήφ τε καὶ Ἀειθαλᾶς
εὐφημείσθωσαν.

---

40 θείῳ om. Cu Q 49 σοὶ δὲ] σὺ δὲ Cu καὶ σοὶ Q προσεξ. M 50 ἄφραστον M Q Pa 51-56 θεοτ. MR I, 546 54 σεσάρκωται] σὰρξ γέγονε Q post odem γ' κάθ. praebent cdd. M Q « Ἰωσὴφ ὁ γενναῖος ἀγωνιστής » MR II, 29

heirm. δ' EE 95, n. 135, Joannis 57-60 cfr. canonem VI, 37-38 58 μένοντα] μέλλοντα M 60 τοῦτον M 63 τε καὶ] καὶ ὁ Q

51-53 Ps. 45,5

Ἡ πρὸς μόνον τὸν δεσπότην
τεταμένη σου ἔννοια
ἐν καιρῷ τῶν ἄθλων,
μάρτυς, κουφισμὸν ἐνεποίει σοι
τῶν ἀνυποίστων βασάνων,
καρτερώτατε
Ἰωσήφ, ἀθλοφόρε Χριστοῦ
ἀξιάγαστε.

Ὡς κατάκαρπον σὺ κλῆμα
τῷ σεπτῷ μαρτυρίῳ σου
τρυγηθείς, ἐκβλύζεις
οἶνον τοῖς πιστοῖς κατανύξεως,
Ἀειθαλᾶ θεοφόρε,
τὸν εὐφραίνοντα
τοὺς κραυγάζοντας· « δόξα, Χριστέ,
τῇ δυνάμει σου ».

θεοτ. * Ἡ ἁγία θεοτόκος,
ἣν οἰκῆσαι ηὐδόκησεν
ὡς εὐώδη οἶκον
Λόγος τοῦ Πατρὸς καὶ ἰσόθεος,
οὐ διεφθάρη ἁγνείαν,
οὐκ ὠδίνησε·
καὶ γὰρ τέτοκεν Ἐμμανουὴλ
τὸν θεάνθρωπον.

---

66 τεταμένη] -νης M ἔννοια] ἔνδοξε M 68 ἐνεποίει σοι] ἐνεποίησεν M ἐνεποίησιν Pa 69 ἀνυπίστων Cu 70 καρτερώτατε] -τατα M καρτερόψυχε Pa 71 Χριστοῦ] Χρ. τοῦ Θεοῦ Q 73-80 cfr. canonem VI, 179-185 73 Ὡς κατάκαρπον σὺ κλῆμα scripsi: Ὡς κ. σε κλίμα Cu Ὡς κ. ἐλαία MQ Ὥσπερ ἄμπελος θεόφρον Pa 76 οἶνον] ἔλαιον M κατανοίξεως Cu 77 θεοφόρε Cu ἀθλοφόρε cett. 79 post δόξα varie orat. detruncant cdd. 81-88 θεοτ. MR IV, 64 82 ηὐδ. Cu εὐδ. cett. 83 εὐόδοι M 84 καὶ ἰσόθεος] ὁμοούσιος MR 85 οὐ κατεφλέχθη τὴν μήτραν MR ἁγνείαν] ἁγνεία Pa

---

76-78 Ps. 59,5; 103,15

ᾠδὴ ε'. *Σύ, Κύριέ μου, φῶς*
εἰς τὸν κόσμον ἐλήλυθας

Τὸ μέγα καὶ σεπτὸν
προσκαλούμενος ὄνομα,
ποτήριον σωτηρίου
τῆς ἀθλήσεως χαίρων,
Ἀκεψιμᾶ, ἐξέπιες.

f. 4v || Ἡ ἄνω σε τρυφὴ
κεκμηκότα ταῖς μάστιξιν
ἐδέξατο καὶ χορεῖαι,
Ἰωσήφ, τῶν μαρτύρων
σὺν τούτοις ἀγαλλόμενον.

Φυτὸν ἀειθαλὲς
τῷ καρπῷ τῶν ἀγώνων σου
τὰ πέρατα διατρέφων
ἀληθῶς ἀνεδείχθης,
Ἀειθαλᾶ μακάριε.

θεοτ. * Φῶς ἄχρονον ἡμῖν
τοῦ πατρὸς τὸ ἀπαύγασμα
γεγέννηκας ὑπὸ χρόνον
ἀγαθότητος πλούτῳ
γενόμενον, πανάμωμε.

---

heirm. ε' EE 94, n. 133, Joannis 94 Ἡ om. M 98 ἀγαλλόμενοι M Pa 99-103 cfr. canonem VI, 51-57 101 διατρέφον Q 102 ἀληθῶν Pa 104-108 θεοτ. MR I, 548

90-93 Ps. 115,4 104-106 Hebr. 1,3

ᾠδὴ ϛ'. *Θύσω σοι*
μετὰ φωνῆς αἰνέσεως, Κύριε,

Τὴν κάραν,
Ἀκεψιμᾶ, τμηθείς σου τοῦ σώματος,
Χριστῷ συνῆψας ἐν πίστει
τὴν ψυχήν σου, μάρτυς, ἀδιασπάστως,
ταῖς ἐκεῖθεν
λαμπηδόσιν ἀεὶ αὐγαζόμενος.

Τοῖς λίθοις
ὡς ὁ πρώταθλος, μάρτυς, βαλλόμενος,
οὐκ ἐξηρνήσω τὴν πέτραν
τῆς ζωῆς, Χριστόν, πορθμευόμενος
πρὸς τὰ τούτου
τῶν δυνάμεων ὄντως σκηνώματα.

Ταῖς ῥάβδοις
ἀφειδῶς μαστιζόμενος ἔχαιρες,
ῥάβδον δυνάμεως ἔχων
τὸν σταυρὸν Κυρίου καὶ καύχημα,
ἀθλοφόρε
Ἀειθαλᾶ, θεόφρον πανόλβιε.

---

heirm. ϛ' EE 94, n. 133, Joannis 110 τμηθεὶς] θλασθεὶς Pa 111 ἐν] τῇ Cu 116 ὁ om. M 117 οὐκηξηρνήσω M 118 τὴν ζωὴν Pa Χριστὸν om. M πορμενος M 123 ἔχον M

109-114 PG 116, 857: ... τὸν δὲ ἅγιον τοσαύταις νιφάσι λίθων συνέχωσαν, ὡς μόνην ὁρᾶσθαι τὴν κεφαλήν, τοῦ λοιποῦ σώματος τῇ σωρείᾳ τῶν λίθων συγκεχωσμένου. Ἧν δή τις τῶν ἀσεβῶν ἀρχόντων ἔτι κινουμένην ἑωρακὼς ἑνὶ τῶν δημίων κελεύει χειροπληθῆ λίθον λαβόντι ἄνωθεν αὐτῇ ἐπαφῆναι· οὗ δὴ γενομένου καὶ τῷ τοῦ λίθου βάρει τέλεον αὐτῆς συντριβείσης τὴν τιμίαν ψυχὴν ὁ μακάριος τῷ Χριστῷ παρατίθησιν... Cfr. etiam canonem VI, 172-178.

121-126 PG 116, 837: ... κελεύει παραχρῆμα διαταθέντα ῥάβδοις ῥοῶν θαμινοῖς ὄζοις ἠκανθωμέναις αὐτὸν μαστίζεσθαι. Ὡς δὲ τὰς ... σάρκας... κατέξαινον, « εὐχαριστῶ σοι », εἶπεν ὁ ἀθλητής, εἰς οὐρανὸν ἀνατείνας τοὺς ὀφθαλμοὺς ... 856 ῥάβδοις ῥοῶν ἐξηκανθωμέναις τύπτειν προστάττει τὸν ἅγιον...

---

116 Act. 8,57-60 117-118 I Cor. 10,4 123 Ps. 109,2 124 Gal. 6,14

θεοτ. * Ἡ βάτος
προετύπου τὸ μέγα μυστήριον
τῆς ὑπὲρ νοῦν σου λοχείας,
τῷ πυρὶ διόλου σπαργανουμένη
καὶ μηδόλως
καιομένη, παρθένε πανύμνητε.

ᾠδὴ ζ'. *Ὁ διασώσας ἐν πυρὶ*

Ἐν τῷ πυρὶ τῶν αἰκισμῶν
δρόσον ἐκ Θεοῦ εἰληφότες,
τοὺς ἐναντίους τῇ φλογὶ
τῆς ὑμῶν καρτερίας ἐφλέξατε,
ἀθλοφόροι, κραυγάζοντες·
« ὁ Θεὸς ὁ τῶν πατέρων εὐλογητὸς εἶ ».

127-132 θεοτ. MR I, 548 130 σπαργανουμένη] φλογιζομένη Q
heirm. ζ' EE 101, n. 142, Cosmae 136 ἡμῶν M 137 ἀθλοφόρε κραυγάζοντα M 138, 144 post Θεὸς orat. varie intermittunt cdd.

Post odem ς' κοντ., quod inc. Τὰ θεῖα, σοφέ, ἀμέμπτως ἐμυσταγώγησας HR, 132, et οἶκ. praebent cdd. M Q; Cu autem in principio canonis eadem praebet:

Ὁ οἶκος: 1 Τίς τῶν πιστῶν / 2 δυνήσεται ὅλως / 3 ἐπαξίως ὑμνῆσαι / 4 τὸν σοφὸν ἀληθῶς / 5 Ἀκεψιμᾶν τὸν λαμπτῆρα Χριστοῦ· / 6 οὗτος γὰρ ἔσβεσε πλάνην εἰδώλων / 7 καὶ κατήσχυνε δαιμόνων τὰς ἐπινοίας / 8 τῇ κραταιᾷ δυναστείᾳ / 9 Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, / 10 Τριάδα δὲ παναγίαν / 11 εὐσεβῶς προσκυνεῖν ἐξεπαίδευσε / 12 Πατέρα, Υἱὸν καὶ Πνεῦμα ἅγιον / 13 ἐν μιᾷ τῇ θεότητι σέβεσθαι / 14 πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.

1 Τίς] τοῖς M πιστῶν] βροτῶν Cu 2 δυνήσεται] -σηται M 4 ἀληθῶς Q: ἱερὸν cett. 5 λαμπτῆρα] φωστῆρα Cu 6 γὰρ om. M 7 ἐπινοίας] ἐπηρείας M 8 δυναστείᾳ Q: τοῦ σωτῆρος δυνάμει cett. 9 Χρ. τ. Θ. ἡ.] καὶ χάριτι Cu ἡμῶν Q: cett. om. 10 δὲ] τὲ Q 11 πρὸς κινεῖν Cu 13 σέβεσθαι] σέβοντες M

Post οἶκ. synaxarium breve (et versiculos Q) praebent M Q

127-132 Ex. 3,2 133-134 Gen. 27,28; Mich. 5,6

Οἱ τοῦ πυρὸς προσκυνηταί,
τούτου κληρονόμοι δειχθέντες,
πυρσολατρεῖν τοὺς λατρευτὰς
τοῦ ἡλίου τῆς δόξης ἠνάγκαζον·
ἀλλ' αὐτοὶ ἀνεκραύγαζον·
« ὁ Θεὸς ὁ τῶν πατέρων εὐλογητὸς εἶ ».

Ἀκεψιμᾶς καὶ Ἰωσὴφ
καὶ Ἀειθαλᾶς, τῆς Τριάδος
ἡ πανσεβάσμιος τριάς,
οἱ φωστῆρες οἱ πάντα τὰ πέρατα
εὐσεβείας πυρσεύμασι
καταυγάζοντες τιμάσθωσαν εἰς αἰῶνας.

θεοτ. * Εὐλογημένος ὁ καρπὸς
τῆς εὐλογημένης γαστρός σου,
ὃν εὐλογοῦσιν οὐρανῶν
αἱ δυνάμεις βροτῶν τε συστήματα,
f. 5 ὁ ἡμᾶς || λυτρωσάμενος
τῆς κατάρας τῆς ἀρχαίας, εὐλογημένη.

ᾠδὴ η'. *Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ*

Τοῦ Λόγου ὑπάρξαντες δοχεῖα
καὶ τούτου τὰ στίγματα φορέσαντες

---

143 -τὸς -ζεν M 149-150 εὐσεβῶς καταλάμποντες / εὐφημείσθωσαν ἐν πίστει μεγαλοφώνως M 150 τιμάσθωσαν] τιμῶνται Q εἰς τοὺς αἰ. Q 151-156 θεοτ. MR I, 18-19 154 τε] τὰ M 155 ὡς ἡ. λυτρωσάμενον MR
heirm. η' EE 100, n. 141, Joannis

139-142 PG 116, 832: ... πυρί τε καὶ ἡλίῳ τὸ σέβας νέμειν ἐξεβιάζοντο...
PG 116, 836: ... Διὰ τοῦτο ὡσεὶ ἄνθος τοῦ ἀγροῦ οὕτως ξηρανθήσῃ ἵν' ὅπερ νῦν προσκυνεῖς, τοῦτο ἐκεῖ κολαζόμενος ἔργῳ μάθῃς οὐ τὸ πῦρ εἶναι θεόν, ἀλλὰ καὶ αὐτὸ ἕτερον εἰδέναι δημιουργόν, ὃς καὶ πάντων ἐστὶ τῶν ὁρωμένων Θεός...
PG 116, 837: ... « Μὴ πλανῶ, εἶπεν ὁ προσκυνητὴς τοῦ Χριστοῦ, ... καταλιπόντα με τὸν ποιητὴν ἡλίου καὶ τοῦ πυρὸς τοῖς ἐκείνου ποιήμασι προσκυνῆσαι ... ».
PG 116, 852: ... οἱ τοῦ πυρὸς λατρευταὶ...

151-152 Luc. 1,42 155-156 Gal. 3,13 158 Gal. 6,17

τυράννων ὠμότητι,
φόρτος ὥσπερ ἄψυχος
ἀλόγοις ἐπετέθητε
μεταφερόμενοι
πρὸς πεῖραν πλειοτέρων βασάνων,
μάρτυρες γενναῖοι,
Χριστὸν ὑπερυψοῦντες.

Τὴν πρόξενον δόξης αἰωνίου,
ἀοίδιμοι μάρτυρες, τερπόμενοι
τέρψιν, ἐπορεύθητε
ἥνπερ ἐποθήσατε
τοῦ μαρτυρίου, ἔνδοξοι,
ὁδόν, κραυγάζοντες·
« τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

Οὐ πῦρ οὐδὲ μάστιγες, οὐ θῆρες,
οὐ ξίφος, οὐ βόθρος οὐδὲ θάνατος
ἴσχυσε τοὺς μάρτυρας
σοῦ τῆς ἀγαπήσεως
ἀποχωρίσαι, Κύριε,
τῶν ἀγαθῶν ἡ πηγή,
ἀγάπης τὸ ἀκένωτον ῥεῖθρον,
οὓς ἀνευφημοῦντες,
Χριστέ, σὲ εὐλογοῦμεν.

θεοτ. * Οἰκεῖ ἐν γαστρί σου ὑπὲρ λόγον
ὁ λόγῳ δημιουργήσας κτίσιν ἅπασαν,
βρέφος καθορᾶται δὲ

160 ἄψυχος] ἄχυρον Cu 165 ὑπερυψοῦντες] δοξολογοῦντες Q 166 αἰωνίου] ἀϊδίου M Q Pa 167 τερπόμενοι] σκεπόμενοι M 172 post ἔργα orat. varie intermittunt cdd. 176 οὐ βόθρος, οὐ ξίφος οὐδὲ θάν. M 179 ἀποχωρῆσαι M 181 ῥεῖθρον] μῦρον Q 184-192 θεοτ. MR II, 118

159-165 PG 116, 841: ... ὥσπερ τι φορτίον...
PG 116, 845: ... Εἰς τοῦτο δὲ προῆλθον ὠμότητος οἱ μαστίζοντες ὡς ἐνδοῦναι μηδόλως, ἕως αἱ σάρκες ἀποσπώμεναι τῶν ὀστέων εἰς γῆν τῷ αἵματι συγκατέρρεον.

167-170 Ps. 118,4 175-181 Rom. 8,35-39

σοῦ ἀποτικτόμενον
ὁ πρὸ αἰώνων, ἄχραντε,
ἐκ τοῦ πατρὸς γεννηθείς,
ὃν πᾶσα εὐλογεῖ καὶ δοξάζει
κτίσις, θεοτόκε,
εἰς πάντας τοὺς αἰῶνας.

ᾠδὴ θ'. *Λίθος ἀχειρότμητος ὄρους*

Τοὺς τῆς εὐσεβείας φωστῆρας
καὶ τῆς ἀπάτης καθαιρέτας,
τὰ τοῦ νοητοῦ παραδείσου
εὐώδη ἄνθη,
σκεύη τὰ τίμια,
τῆς τοῦ Θεοῦ τερπνότητος
τοὺς θεωροὺς ἀνευφημήσωμεν.

Ἄνθρακα, ὃν πάλαι κατεῖδεν
ὁ Ἡσαΐας ἐν καρδίᾳ,
ἔνδον δεδεγμένοι καὶ τούτου
ταῖς φρυκτωρίαις
καταυγαζόμενοι,
τὴν ἀχλυώδη, μάρτυρες,
πυρσολατρείαν διεκρούσασθε.

Τῇ ζωαρχικῇ νῦν Τριάδι
λελαμπρυσμένοι παρεστῶτες
καὶ ταῖς τῶν στεφάνων καλλοναῖς
ὡραϊσμένοι,

187 ἀποτικτόμενος MR; cdd. M Q Pa hoc θεοτ. praebent:
Τὴν μόνην ἀπείρανδρον μητέρα[1], / τὴν μόνην τῶν ποιημάτων ὑπερέχουσαν, / ὄρος τὸ πανάγιον, / τράπεζαν τὴν πάγχρυσον, / τὴν θεοτόκον ᾄσμασιν / ὑμνοῦντες ψάλλομεν[2]· / « τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα / καὶ ὑπερυψοῦτε / εἰς πάντας τοὺς αἰῶνας ».
[1] παρθένον M [2] μέλψωμεν M κράζομεν Pa
heirm. θ' EE 94, n. 133, Joannis 196 ἄνθος M 197 σκεύει M

197 Rom. 9,21; II Tim. 2,21 200-201 Is. 6,6

μνείαν ποιήσασθε
τῶν ἐπὶ γῆς, μακάριοι,
μνημονευόντων ὑμῶν πάντοτε.

θεοτ.
Ἀξίως σε πάντες μητέρα
τοῦ βασιλέως καὶ Δεσπότου
πάλαι μὲν προφῆται εὐφήμουν
ἀπόστολοί τε
πιστῶς καὶ μάρτυρες
νῦν σὺν ἡμῖν δοξάζοντες
σὲ θεοτόκον μεγαλύνουσιν.

---

211 μνείαν] μνήμην Cu 213 ἡμῶν M 214-220 θεοτ. tantum Cu porrigitur, idem vero infra, ut θεοτ. odes θ' canonis XXV (1), variis lectionibus invenies; cett. autem cdd. aliud θεοτ. praebent, quod inc. Τὸν κατεγνωσμένον με σῶσον PID, ϛ' 217 τε] ται Cu

IN SANCTUM IOANNICIUM

Synaxarium, 191-193: Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωαννικίου τοῦ θαυματουργοῦ. Οὗτος ὁ μακάριος γεννᾶται τὸ τέταρτον ἔτος τῆς τοῦ Κοπρωνύμου Λέοντος τυραννίδος, χώρας μὲν φὺς τῆς Βιθυνῶν κώμης τῶν Μαρυκάτων, πλησίον Ἀπολλωνιάδος κειμένης λίμνης, πατρὸς μὲν Μυριτζίκη, μητρὸς δὲ Ἀναστασοῦς· καὶ εἰς μέτρον ἡλικίας πεφθακώς, τῷ μγ' ἔτει τῆς αὐτοῦ ἡλικίας κατὰ Βουλγάρων ἐστράτευσεν· οὓς κατακόψας καὶ τοὺς ὁμοφύλους διασώσας ἐπ' ὄψεσι τοῦ βασιλέως καὶ ἀπωσάμενος τὴν ἐκ τῆς νίκης ταμιευομένην αὐτῷ παρὰ τοῦ κρατοῦντος δόξαν τε καὶ τιμήν, καταλαμβάνει τὸ ὄρος, ἐν ᾧ θείας φωνῆς αὐτήκοος γεγονὼς τὰ τῶν ὀρέων ὑψηλότερα φθάνει. . . . Ἐκεῖθεν . . . τὸ τοῦ Τριχάλικος ὄρος καταλαμβάνει, εἶτα τὴν τῶν Αὐγάρων μονήν, εἶτα τῆς Κουνδουρίας τὰ ὄρη· καὶ μαθὼν τριάκοντα μόνους ψαλμούς, ἔψαλλε μετά τινος σμικροτάτου τροπαρίου οὕτω συντεθειμένου· « Ἡ ἐλπίς μου ὁ Θεός, καταφυγή μου ὁ Χριστός, σκέπη μου τὸ Πνεῦμα τὸ ἅγιον ». Οὗτος ὁ μακάριος πολλοὺς τόπους καὶ πόνους διαμειψάμενος καὶ μέγιστα ἐργασάμενος τεράστια καὶ περὶ τῶν μελλόντων προειπὼν καὶ πρὸς τὴν Ἀντιδίου μονὴν ἐλθὼν πλήρης τε ἡμερῶν γενόμενος, μετὰ τρίτην ἡμέραν τῆς τοῦ ἁγίου Μεθοδίου ἐν Κωνσταντινουπόλει πατριαρχείας, ἣν προεῖπεν αὐτῷ, ἀνεπαύσατο ἐν Κυρίῳ, ἐτῶν ὑπάρχων ἐνενήκοντα τεσσάρων.....

Mess. gr. 135 = N, ff. 152v (156v)-157v (161v)

Ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε·
Ἰωαννίκιον γεραίρω θείοις λόγοις· Γεωργίου.

Ἦχος δ'.

ᾠδὴ α'. *Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος*

Ἰλύος τῆς ἀθυμίας, Κύριε,
τὸ διαυγὲς τῆς ψυχῆς
ἀποκαθάρας, βλέπειν νοητῶς

---

tit. nomen hymnographi Γεωργίου e theotokiis deducitur
heirm. α' EE 94, n. 133, Joannis

σὲ τὸν ἄδυτον ἥλιον
ἀξίωσόν με, εὔσπλαγχνε,
ταῖς ἱκεσίαις τοῦ ὁσίου σου.

Ὡς φοῖνιξ ἐν μετεώροις ὄρεσι,
πάτερ, ὑψίκομος
ἀναδοθεὶς ἀρδείᾳ ἀρετῶν,
τοὺς γλυκεῖς τῶν θαυμάτων καρποὺς
ἀφθονωτέρως ἤνεγκας,
οἷς δαψιλῶς ἡμᾶς εἱστίασας.

Ἀπάρας τῶν ἀρετῶν τὴν ἔφεσιν,
Ἰωαννίκιε,
πρὸς νοητὴν τοῦ πάντων ποιητοῦ
καὶ ἀόρατον ὕψωσας
δόξαν τε καὶ τερπνότητα·
διὸ ἐδείχθης καὶ ἰσάγγελος.

f. 153 (157) || Νεφέλῃ τῶν ἀρετῶν ὀχούμενος,
Ἰωαννίκιε,
τῶν ἐπὶ γῆς ἁπάντων νοητῶς
μετετέθης τῷ πνεύματι
καὶ ἀοράτου ἔτυχες
μυσταγωγίας καὶ ἐλλάμψεως.

θεοτ. Γνωρίσαι τοῖς ἐπὶ γῆς ὁ Κύριος
τῆς ἀγαθότητος
καὶ οἰκτιρμῶν τὸν πλοῦτον βουληθείς,
διὰ σοῦ ἀνεκάλυψε
τοῦτον, ἁγνή, καὶ ἅπαντας
εἰς μετοχὴν αὐτοῦ ἐκάλεσεν.

---

10 γλυκύς 28 ἀνεκάλυψε cd.: fort. scribendum ἀπεκάλυψε

7-9 AA.SS. Nov. II, 1 (1894), 434-435: ... ὁ εὔκαρπος φοῖνιξ ... ταῖς ὑψικόμοις ἀρεταῖς...
19-24 PG 116, 60: ... καὶ τῷ σώματι μετέωρος αὐτῷ ἐθεάθη καὶ τῶν γηΐνων ἀπανιστάμενος... (cfr. AA.SS., 434).

---

7 Is. 57,5; Ez. 17,23 19 Is. 19,1; Apoc. 14,14-16

ᾠδὴ γ'. *Εὐφραίνεται ἐπὶ σοὶ*

Νεκρώσας τὰς τῆς σαρκὸς
ἐπαναστάσεις καὶ ὁρμάς, ὅσιε,
ἐν ἀπαθείᾳ ψυχῆς
τῆς ζωῆς τὸν δρόμον διήνυσας.

Ἱδρύσας ἐπὶ στερρᾶς
πέτρας τὰς βάσεις τῆς ψυχῆς, ἄσειστος
ταῖς προσβολαῖς τοῦ ἐχθροῦ
ἔμεινας, σοφὲ Ἰωαννίκιε.

f. 153ᵛ (157ᵛ) || Καθάρας τὰ νοητὰ
τῆς διανοίας σου, σοφέ, ὄμματα
δι' ἐγκρατείας πολλῆς,
θείας θεωρίας ἠξίωσαι.

θεοτ. * Ἐσχίσθη τὸ τῆς ἀρᾶς
καὶ παραβάσεως τῆς πρίν, δέσποινα,
διὰ τῆς σῆς, ἄχραντε,
θείας μεσιτείας χειρόγραφον.

ᾠδὴ δ'. *Ἐπαρθέντα σε ἰδοῦσα ἡ ἐκκλησία*

Ἰσχὺν ἄνωθεν καὶ κράτος ἐνδεδυμένος,
τὰ τῶν δαιμόνων θράση

---

heirm. γ' EE 94, n. 133, Joannis 34 διήνοισας 43-46 θεοτ. AP 18 (1953), 239 [AP = Ἀρχεῖον Πόντου]
heirm. δ' EE 94, n. 133, Joannis

31-34 AA.SS., 434: Σὺ τὸ εὐγενὲς τῆς ψυχῆς ἐν τῇ νεκρώσει τοῦ σώματος ἄσπιλον διεφύλαξας 435: ... καὶ τὰ τῆς σαρκὸς πάθη πόνοις εὐσεβείας ἀπενέκρωσας καὶ... καθυπέταξας τῷ πνεύματι...
35-36 AA.SS., 434: ... Σὺ οὐκ ἐν ψάμμῳ τὴν οἰκίαν ἔκτισας ἀλλὰ ἐπὶ στερεᾶς πέτρας τῆς εἰς Χριστὸν πίστεως ταύτην ἐθεμελίωσας, ὅθεν καὶ τῶν προσρήξεων τῶν ἀνέμων ἤτοι πνευμάτων τῆς πονηρίας ἔτι καὶ τῶν ποταμῶν τῆς κακοδοξίας ἀκράδαντος ἔμεινεν...
47-50 AA.SS., 389: ... τῇ πίστει καὶ τῇ εὐχῇ θωρακισθείς... πρὸς τὸν τῶν ἀοράτων... πόλεμον ἔξεισι...

35-36 Deut. 32,13; Is. 5,28; 50,7; 51,1 43-46 Col. 2,14 47 Is. 51,9; 52,1; Luc. 24,29

τῶν ὑπερηφάνων,
πάτερ, ἐπολέμησας
καὶ ἔστησας, ὅσιε,
κατ' αὐτῶν τῆς νίκης τὰ τρόπαια.

Ὅλος, ὅσιε, ὑψούμενος διανοίᾳ
τῶν ὁρωμένων πάντων
καὶ τοῖς ἀθεάτοις
ἀεὶ προσφυόμενος,
ἰσάγγελον ἤνυσας
βίον ἐν σαρκί, Ἰωαννίκιε.

Νέφη, ὅσιε, παρέδραμες τῆς σαρκώδους
ζωῆς καί, τῷ ἀΰλῳ
φωτὶ προσπελάσας
νοητῶς, Χριστῷ τῷ Θεῷ,
f. 154 (158) χαρίτων τὴν || ἔλλαμψιν
παρ' αὐτοῦ ἐδέξω, ἀοίδιμε.

Γεγευμένος τοῦ κρατῆρος τῆς ἀπαθείας,
ἐν ἡδονῇ, μακάριε,
τῶν παθῶν ἀπώσω
τὰ πικρὰ καὶ ἄποτα
τῇ χάριτι νάματα
τοῦ Χριστοῦ ἀεὶ δυναμούμενος.

θεοτ. * Ὡραιότατος προῆλθεν, ὡς ἐκ παστάδος,
ὁ τῆς δικαιοσύνης
ἥλιος, παρθένε,
ἐκ σοῦ καὶ ἐφώτισε
τὰ σύμπαντα, δέσποινα,
τῇ μετὰ σαρκὸς ἐπιλάμψει αὐτοῦ.

71-76 θεοτ. AP 18 (1953), 239

57-58 AA.SS., 341: ... οὕτως ἐκεῖσε διάγων ἰσαγγέλως ὁ μακαρίτης...

---

72 Mal. 4,2 (3,20)

ᾠδὴ ε'. *Σύ, Κύριέ μου, φῶς*

Ἐν πέτρᾳ νοητῇ
τῆς ἐλπίδος Χριστοῦ τοῦ Θεοῦ
ἐρείσας τῆς διανοίας,
θεοφόρε, τὰς βάσεις,
ἀσάλευτος διέμεινας.

Ῥομφαίᾳ νοητῇ
τῶν ἐχθρῶν σου τὰς φάλαγγας
κατέτρωσας τῶν δαιμόνων
καὶ νηπίων τὰ τούτων
ἡγήσω βέλη, ὅσιε.

f. 154v (158v) || Ἀνύστακτον ἀεὶ
τηρῶν, Ἰωαννίκιε,
τὸ ὄμμα τῆς διανοίας,
ἐπιβουλῶν δαιμόνων
τὰς μηχανὰς διέλυσας.

θεοτ. * Ῥομφαίαν κατ' ἐχθρῶν
κεκτημένοι σε, ἄχραντε,
τὰς φάλαγγας τῶν δαιμόνων
καὶ παθῶν τυραννίδας
τροπούμεθα τῷ κράτει σου.

ᾠδὴ ς'. *Θύσω σοι*
μετὰ φωνῆς αἰνέσεως, Κύριε,

Ἵδρυσας
ἐν ἀπαθείᾳ, πάτερ, τὸν βίον σου

---

heirm. ε' EE 94, n. 133, Joannis   79 ἔρεισας   92-96 θεοτ. AP 18 (1953), 239   94 δαιμόνων] πολεμίων AP
heirm. ς' EE 94, n. 133, Joannis

77-81 AA.SS., 385: ... ὁ ἐπὶ τὴν ἄσειστον πέτραν, ἥτις ἐστὶν ὁ Χριστός, καλῶς τοὺς πόδας τῆς διανοίας προσερείσας...
77-78 AA.SS., 434: ... ἐπὶ στερρὰν πέτραν τῆς εἰς Χριστὸν πίστεως...
87-89 AA.SS., 434: ... ὁ ἀνύστακτος ὀφθαλμός...

85-86 Ps. 63,7

καὶ τῶν παθῶν τρικυμίαις
οὐ περιετράπης, ἀλλ' ἐφυλάχθης
ἀσάλευτος
ἀνυμνῶν τὸν σωτῆρα καὶ Κύριον.

Ῥήματα
μεμυημένος γνώσεως κρείττονος
δι' ὑψηλῆς θεωρίας
καὶ ζωῆς, μακάριε, ἰσαγγέλου,
πρὸς ἄυλον
ἐπεκτείνω πορείαν τῆς χάριτος.

Ὥπλισας
f. 155 (159) κατὰ παθῶν τὸ φρόνημα, ‖ ὅσιε,
τῶν τὴν ψυχὴν πολεμούντων
καὶ ἐδέξω νίκην παρὰ Κυρίου·
διὰ τοῦτο
τῆς σαρκὸς θεραπεύεις νοσήματα.

θεοτ. * Γέγονε
διὰ σοῦ, θεοτόκε, παράδοξα·
οἱ χοϊκοὶ γὰρ εἰς ὕψος
οὐρανῶν ἀνήχθημεν καὶ ἀγγέλοις
συνήφθημεν,
ἐπὶ γῆς τοῦ δεσπότου φανέντος σαρκί.

Κάθισμα.

Ἦχος πλ. δ'. *Τὴν σοφίαν τοῦ Λόγου*

Τῶν παθῶν τῆς ἀχλύος
ἐκκαθαρθεὶς
....

99 τρικυμίας 111 χυψὴν 115-120 θεοτ. AP 18 (1953), 239 117 εἰς] πρὸς AP
Κάθ. vide post odem γ' canonis IX; κονδ. et οἶκ. in marg. scripta sunt

117-118 I Cor. 15,47-49

f. 155v (159v) Κονδάκιον.

Ἦχος β'. Πρὸς τό· *Τὰ ἄνω ζητῶν*

Ἁγνείᾳ ψυχῆς
λαμπρύνας νῦν τὸ σῶμά σου
....

Ὁ οἶκος.

Φώτισόν μου τὸν νοῦν, ἐλεῆμον,
λάμπρυνόν μου τὰς φρένας,
δίωξόν μου τὴν ἀχλὺν
καὶ ζόφον τῆς καρδίας μου,
ὅπως ἀξίως ἀνευφημήσω
Ἰωαννίκιον τὸν μέγιστον ἐν πατράσι·
σὺ γάρ, σωτήρ,
τοῖς αἰτοῦσι παρέχεις σοφίας πηγήν·
σὺ οὖν μοι δώρησαι λόγον
καὶ τὸ ἄπορον λῦσαι τῆς γλώττης μου,
πτωχὴν διάνοιαν πλούτισον
ἐκβοᾶν πρὸς τὸν ὅσιον·
⟨« δυσώπει ἀπαύστως
ὑπὲρ πάντων ἡμῶν »⟩.

ᾠδὴ ζ'. *Ἐν τῇ καμίνῳ*

Θείου πόματος
τῶν ἀρετῶν ἀφθόνως μεταλαβών,
πράξει καὶ τῇ θεωρίᾳ ὡς ἀληθῶς
ἐπευφράνθης, Ἰωαννίκιε,
ὑμνῶν ἐν πνεύματι
τῶν καλῶν τὸν δοτῆρα Χριστὸν τὸν Θεόν.

Κονδ. TRM II, ν' 1 ἐλεήμων 11 πλούτησον 13-14 cd. marg. inferiore exscisso, vv. egesti sunt; eos supplevi auctoritate cd. Patmiaci 212, f. 29v; cfr. etiam TRM II, ν'
heirm. ζ' EE 94, n. 133, Joannis

Ἐν τῇ καμίνῳ
τῶν πειρασμῶν βληθέντα, πάτερ σοφέ,
φλόγες τοῦ ἐχθροῦ οὐκ ἔφλεξαν συνεχεῖς·
τὸν Χριστὸν γὰρ εἶχες ἄνωθεν
σὲ ὑετίζοντα
καὶ ἀπαύστως τηροῦντα ἀλώβητον.

Ἰλύος πάσης
τῆς ἐμπαθοῦς καθάρας τὸ διαυγές,
πάτερ, τῆς ψυχῆς, ἀΰλου δόξης Θεοῦ
θεωρὸς ἐδείχθης, ὅσιε,
« εὐλογημένος εἶ »
ἀναμέλπων Χριστῷ τῷ Θεῷ ἡμῶν.

Οἱ τῶν δακρύων
τῶν συνεχῶν σου, πάτερ, θεῖοι κρουνοὶ
f. 156 (160) ῥεῖθρα ἰαμάτων || ἔβλυσαν τοῖς πιστοῖς
καὶ ὀδύνας καταπαύουσι
καὶ ἀποπλύνουσι
τῶν παθῶν τὰς κηλῖδας ἐν χάριτι.

θεοτ. * Ἰλύος πάσης
ἀποκαθαίρουσά με τῆς ἐμπαθοῦς,
κόσμῳ ἀπαθείας κρείττονος, ἀγαθή,
κατακόσμησον καὶ φαίδρυνον
ἐν καθαρότητι,
ἵνα πόθῳ δοξάζω σε, δέσποινα.

ᾠδὴ η'. *Χεῖρας ἐκπετάσας Δανιὴλ*

Ἴδες ἃ ἐπόθεις κατιδεῖν,
Ἰωαννίκιε,
ἐν τῇ παρούσῃ ζωῇ
καί, μεταστὰς ἐκ γῆς, ὅσιε,

145-150 θεοτ. AP 18 (1953), 239   147 κόσμου   κρείττονος] σὺ μὲ ὡς AP   149 ἐν] τῇ AP

heirm. η' EE 94, n. 133, Joannis

ἅπερ οὖς οὐχ ὑπεδέξατο
καὶ ὀφθαλμὸς τῶν γηγενῶν
οὐ κατενόησε·
διὰ τοῦτο
συναγάλλει ταῖς ἄνω δυνάμεσιν.

Συνέθλασας, πάτερ, κεφαλὰς
τῶν ἀοράτων ἐχθρῶν
ῥάβδῳ τῆς πίστεως
καὶ τῆς ἀσκήσεως· ὅθεν σε
f. 156v (160v) || ὁ Χριστὸς πᾶσιν ὑπέδειξε
τροπαιοφόρον κατ' αὐτῶν
καὶ νικητὴν κραταιὸν
καὶ θαυμάτων
ἐν τῇ ἐλλάμψει φαιδρῶς κατεκόσμησεν.

Λύεις τοὺς συνδέσμους τῶν παθῶν
καὶ τὰς ὀδύνας ἡμῶν,
Ἰωαννίκιε,
παύεις πρεσβείαις σου· ὅθεν σε
ἰατρὸν σαρκὸς καὶ πνεύματος
ἀνευφημοῦμεν ἐκτενῶς
ὑμνολογοῦντες Χριστόν·
« εὐλογεῖτε πάντα
τὰ ἔργα Κυρίου τὸν Κύριον ».

Ὄμβροις τῇ πρεσβείᾳ σου, σοφέ,
τὰ πυρπολοῦντα ἡμᾶς
πάθη κατάσβεσον
καί, ἀναψύξεως, ὅσιε,
εὐεξίαν παρεχόμενος,
ἐν εὐρωστίᾳ ἐκβοᾶν
Χριστῷ ἱκέτευε·
« εὐλογεῖτε πάντα
τὰ ἔργα Κυρίου τὸν Κύριον ».

---

155 οὖς   176, 185, 194. post ἔργα orat. varie detruncatur in cd.

155-157 I Cor. 2,9

θεοτ. * Ὁ ὢν ἐν τοῖς κόλποις τοῦ Πατρὸς
ἐκ σοῦ, πανάχραντε,
δι' ἀγαθότητα
σαρκὶ γεγέννηται, δέσποινα,
καὶ ἡμῖν τοῖς ἐπιγνοῦσιν αὐτὸν
f. 157 (161) ἀνα‖γεννήσεως στολὴν
δέδωκε κράζουσιν·
« εὐλογεῖτε πάντα
τὰ ἔργα Κυρίου τὸν Κύριον ».

ᾠδὴ θ'. *Λίθος ἀχειρότμητος ὄρους*

Γῆς ἀνταλλαξάμενος, πάτερ,
τῶν οὐρανῶν τὴν κατοικίαν
καὶ τῶν ὁρωμένων ἐν κόσμῳ
τερπνῶν τὰ κάλλη τὰ ὑπὲρ αἴσθησιν,
ἐν τούτοις ἐξεδήμησας
καὶ μεταστάς, Ἰωαννίκιε.

Οἱ τῆς καρτερίας σου πόνοι
καὶ τῆς ἀνδρείας οἱ ἀγῶνες
ἔλυσαν συνδέσμους δαιμόνων
καὶ σὲ συνῆψαν τῷ ποιητῇ καὶ Θεῷ
ἀκαταπαύστως κράζοντα·
« σὲ μεγαλύνομεν, τρισάγιε ».

Ἰδεῖν τὰ ἀμήχανα κάλλη,
Ἰωαννίκιε, τοῦ κτίστου
καταξιωθεὶς σὺν ὁσίοις
καὶ ἀθλοφόροις, τοῦτον ἱκέτευε
καὶ ἡμᾶς τῆς ἐλλάμψεως
αὐτοῦ τυχεῖν καὶ ὡραιότητος.

187-195 θεοτ. AP 18 (1953), 239 193 κράζουσιν] κραυγάζουσιν AP
heirm. θ' EE 94, n. 133, Joannis

---

204 Dan. 5,12

f. 157v (161v) ‖ Σὺ ταῖς σαρκικαῖς ἀλγηδόσιν
ὡς πυρωθείς, πάτερ, ἐν βίῳ
κοίμησον ἡμῶν τὰς ὀδύνας
τὰς τῶν σωμάτων ταῖς ἱκεσίαις σου,
ὅπως τὸν σὲ δοξάσαντα
ἀκαταπαύστως μεγαλύνωμεν.

θεοτ. Ὑπὲρ σωτηρίας ἀνθρώπων
ὁ σαρκωθεὶς ἐκ σοῦ, παρθένε,
Κύριος τῶν ὅλων καὶ κτίστης
σὲ ἰατρεῖον ἡμῖν παρέσχετο
τὰ πάθη θεραπεύουσαν
τὰ τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν.

4 NOV. *CANON IX*

IN SANCTUM IOANNICIUM

Vat. gr. 2270 = Vg, ff. 155ᵛ(158ᵛ)-156(159)
Barb. gr. 535 = B, ff. 195-198
Paris. gr. 259 = Pa, ff. 32ᵛ-34ᵛ
Patm. 196 = Πb, ff. 23-29ᵛ

Ὁ κανών· (Θεοδοσίας).

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Ὑγρὰν διοδεύσας ὡσεὶ ξηρὰν*

Ἀχλύς με καὶ ζόφος ἀνομιῶν
καὶ νὺξ ἁμαρτίας
συγκαλύπτουσιν, ἀγαθέ·
ὡς ἥλιος ὢν δικαιοσύνης
ἀνάτειλόν μοι φῶς ἀφέσεως.

f. 155 A (158) ‖ Τῷ ὄρει ἐπέβης τῶν ἀρετῶν
καὶ τῶν χαμαιζήλων
καὶ γηΐνων ἀπαλλαγεὶς
νῦν μετὰ ἀγγέλων συγχορεύεις,
Ἰωαννίκιε μακάριε.

---

tit. Κανόνες β' τῆς (ὀκτω)ήχ(ου) καὶ τοῦ ὁσίου Vg; nomen hymnographi Ἰγνατίου Pa refert in marg., sed e theotokiis deducitur nomen Θεοδοσία
heirm. α' EE 220, n. 315, Joannis 1 ἀνομιῶν] ἁμαρτιῶν Vg Πb 2 ἁμαρτίας] ἀνομίας Πb 5 φῶς ἀφ.] τὸ φῶς τῆς ἀφ. Vg B 9 νῦν μετὰ] καὶ νῦν μετ' Vg B

---

4 Mal. 4,2 (3,20) 5 Matth. 4,16

Τραφεὶς ἐν τῷ γάλακτι νοητῶς
τῷ τῆς ἐγκρατείας
καὶ αὐξήσας ταῖς ἀρεταῖς,
εἰς τέλειον μέτρον ἡλικίας
τῆς τοῦ Χριστοῦ, παμμάκαρ, ἔφθασας.

θεοτ. Θείαν σε σκηνήν τε καὶ κιβωτὸν
τοῦ Λόγου, παρθένε,
ἀνυμνοῦμεν ὑπερφυῶς·
ἐν σοὶ γὰρ ἐσκήνωσεν ἡ χάρις
καὶ τὴν τοῦ νόμου σκιὰν ἔπαυσεν.

ᾠδὴ γ'. *Σὺ εἶ τὸ στερέωμα*

Ὄμβροις τῶν δακρύων σου
τὰ τοῦ Βελίαρ βέλη κατέσβεσας,
θεοφόρε,
τὰ πεπυρωμένα
καὶ πηγάζεις ἰάματα.

Δένδρον ὤφθης ἔμψυχον
τὰ τῶν θαυμάτων ἄνθη πυκάζον
καὶ περισκέπον
ὑπὸ τὴν σκιάν σου
ἐκ φλογὸς ἁμαρτίας ἡμᾶς.

---

12 τῷ om. Vg
post v. 15 hoc troparium add. Pa Πb: Τὸν φόβον Κυρίου ὡς ἐν γαστρὶ / συλλαβὼν καὶ τέκνα / ὠδινήσας πνευματικῶς / πατὴρ ἀνεδείχθης μοναζόντων / καὶ τῶν ἐν βίῳ ὑποτύπωσις.
heirm. γ' EE 224, n. 321, Joannis 22 τὰ τοῦ om. Πb 23 θεοφόρε] πάτερ σοφὲ Πb 25 πηγάζεις πᾶσιν ἰάματα Vg B 27 τὰ τῶν om. Πb πυκάζων Vg B πυκάζοντα Πb 28 καὶ om. Πb περισκέπων Vg B Πb 30 ἡμᾶς] ἡμῶν B

14-15 AA.SS., 191-193: ...καὶ εἰς μέτρον ἡλικίας πεφθακώς, τῷ μγ' ἔτει τῆς αὐτοῦ ἡλικίας...
25 AA.SS., 285: ... χαρισμάτων καὶ ἰαμάτων... ἀξιωθεὶς καὶ πηγὴ τῆς χάριτος...

---

16 II Regn. 7,20 20 Hebr. 10,1 22-24 Eph. 6,16

Ἀβραὰμ ἐζήλωσας
τὰς ἀρετὰς ὡς ἄλλους κτησάμενος
οἰκογενεῖς,
δι' ὧν μεθοδείας
τοῦ ἐχθροῦ ᾐχμαλώτευσας.

θεοτ. Ἔσχες ἐν ἀγκάλαις σου
τὸν περιέχοντα, δέσποινα,
τοὺς οὐρανοὺς
καὶ μαζοῖς θηλάζεις
τὸν τὰ σύμπαντα τρέφοντα.

Κάθισμα.

Ἦχος πλ. δ'. *Τὴν σοφίαν τοῦ Λόγου*

Τῶν παθῶν τῆς ἀχλύος
ἐκκαθαρθεὶς
καὶ τῶν Χριστοῦ προσταγμάτων
ὡς ἀληθῶς
τὸ φῶς εἰσδεξάμενος,
ἐν ἀσκήσει διέλαμψας
καὶ νεκρωθεὶς τῷ σώματι
τῷ πνεύματι ἔζησας,
τοῦ ἐχθροῦ τὰς παγίδας
πατήσας, μακάριε·
ὅθεν καὶ τῶν ἄνω
ἀσωμάτων δυνάμεων
συμμέτοχος γέγονας
τῇ τοῦ πνεύματος χάριτι,
θεοφόρε Ἰωαννίκιε·
πρέσβευε Χριστῷ τῷ Θεῷ

---

32 ἄλλος Pa 34 μεθοδείαις Pa
heirm. καθ. MR I, 68
Κάθ. om. Πb; idem Pa in principio praebet acolouthiae 16 post πρέσβευε orat. varie detruncant cdd.

31-35 Gen. 14,14 Κάθ. 9-10 II Tim. 2,26

τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι
τοῖς ἑορτάζουσι πόθῳ
τὴν ἁγίαν μνήμην σου.

ᾠδὴ δ'. *Εἰσακήκοα, Κύριε,*
τῆς οἰκονομίας σου τὸ μυστήριον

Ὡς πτωχεύσας τῷ πνεύματι
τὴν τῆς βασιλείας δόξαν ἐπλούτησας
καὶ πρὸς πόλιν εἰσελήλυθας
τὴν τῶν πρωτοτόκων, πάτερ ὅσιε.

Τὸν πρὸς πένητας ἔλεον
ἐνδαψιλευσάμενος, παμμακάριστε,
τὴν λαμπάδα τῆς καρδίας σου
ἀκλινῶς ἀκοίμητον διετήρησας.

Τῆς σαρκὸς τὴν ἐμπάθειαν
ὡς παρερχομένην, πάτερ, διέπτυσας,
τῆς ψυχῆς δὲ τὴν εὐγένειαν
ὡς διαιωνίζουσαν κατελάμπρυνας.

θεοτ. Ὁ τοῖς πᾶσιν ἀχώρητος
ἀστενοχωρήτως ἐν σοὶ ἐσκήνωσεν·
ὅθεν πάντες ὑπερτέραν σε
οὐρανῶν ὑμνοῦμεν, ἀειπάρθενε.

---

heirm. δ' EE 225, n. 322, Cosmae 45 Τὸν π. π. ἔλεον (ἔλαιον Vg B): fort. scribendum Τὸ π. π. ἔλαιον cfr. vitam 46 παμμακάριστε] πάτερ ὅσιε Πb 48 ἀκοίμητον] ἀκύμαντον Pa 49 εὐπάθειαν Pa Πb 55 ὑπερτέραν] ὑπὲρ ἄνω Πb 56 ἀειπάρθενε] θεονύμφευτε Πb

---

41 AA.SS., 409: ... ὁ δὲ ἀληθῶς ταπεινὸς τῷ φρονήματι πατὴρ ἡμῶν Ἰωαννίκιος ...
45 AA.SS., 414: ... ἐπέτρεψέ ποτε ὁ δοῦλος τοῦ Θεοῦ ... λαβεῖν μαγαρικὸν ἐλαίου καὶ δοῦναι τοῖς πτωχοῖς ...

41-42 Matth. 5,3 43-44 Hebr. 12,22-23 53-54 Joh. 1,14

ᾠδὴ ε΄. *Ἵνα τί με ἀπώσω*

Ἐν τῷ ὄρει σκηνώσας
ὡς σεμνῷ παλατίῳ, πάτερ, ὑπαίθριος
καὶ κρυμοῖς ἀέρων
καὶ ἡλίου βολαῖς συμφλεγόμενος,
ἐξ ἐνύλου φθορᾶς
πρὸς τὰς ἐκεῖ τῆς ἀφθαρσίας
μετετέθης μονὰς καὶ σκηνώματα.

Τοῦ ἐχθροῦ τὰς ἐπάρσεις
ἐν τῇ ταπεινώσει σου, πάτερ, κατέβαλες
καὶ ὡς ἄλλον τοῦτον
Γολιὰθ κραταιῶς ἐσφενδόνισας
καὶ ἁρπάσας αὐτοῦ
τὴν μιαιφόνον πανοπλίαν
θριαμβεύεις τῆς νίκης τὰ τρόπαια.

f. 155 Aᵛ (158ᵛ) ‖ Ἡ σορὸς τῶν λειψάνων
τοῦ τιμίου σκήνους σου, πάτερ θεόπνευστε,
κιβωτὸς ἐδείχθη
ἰαμάτων ἐκβλύζουσα χάριτας,
ἣν ἀντλοῦντες πίστει

heirm. ε΄ EE 219, n. 314, Joannis   58 ὡς σεμνὸν παλάτιον Πb   59 κρυμνοῖς Vg B   61 ἐκ φθ. ἐνύλου Πb   65 κατέβαλας B Πb   70 τῆς νίκης] τοῖς ἥλοις Vg   71 Ἡ] εἰ B   72 τοῦ τιμίου σου σκ. Pa   θεόπνευστε] κατέβαλες B   73 ἐδείχθης B   74 χάριτας] χάρισμα Vg

57-58 PG 116, 45: ... ὕπαιθρον ὁμοῦ καὶ ἄσκηνον τὴν διαγωγὴν ἐποιεῖτο ...
58 AA.SS., 425: ... κέλλαν ἀνοικοδομήσαντες, ὥσπερ τι τερπνὸν παλάτιον...
59-60 AA.SS., 385: ... Ἰωαννίκιος ... κρυμοῖς τε πολλοῖς καὶ καύμασιν γενναίως ἐγκαρτερήσας...
71-77 AA.SS., 435: ... τὸ δὲ σῶμα πρόκειται πηγὴ θαυμάτων ἐναργῶς τῶν καμνόντων εἰς ἴασιν...
PG 116, 90: ... παρειμένων συσφίγξεις μελῶν, ἄνθρωποι πονηρῶν ἀπαλλαττόμενοι πνευμάτων, μόνον εἰ τῇ ἐκείνου σορῷ προσέλθοιεν...

68-69 Luc. 11,22

ὡς ἰατρεῖον παθημάτων
τῶν λυπούντων τὴν ῥῶσιν λαμβάνομεν.

θεοτ. Δωρεῶν οὐρανίων
θησαυρὸς ἀνεδείχθης, μῆτερ θεόνυμφε,
καὶ πλουτεῖς τὸν κόσμον
τῇ ἀχράντῳ καὶ μόνῃ πρεσβείᾳ σου
λυτρουμένη πάντας
ἐκ συμφορῶν καὶ συμπτωμάτων
καὶ δεινῶν ἐγκλημάτων καὶ θλίψεων.

ᾠδὴ ϛ΄. *Ἱλάσθητί μοι, σωτήρ,*

Τῇ αἴγλῃ τῶν ἐντολῶν
τὰ ὄμματα τῆς καρδίας σου
φωτίσας καὶ λαμπρυνθεὶς
φαιδρῶς τὴν διάνοιαν,
τὰ βάθη κατώπτευσας
τὰ τῆς θεωρίας
συνεργίᾳ θείου πνεύματος.

Τὸ μύρον τὸ νοητὸν
διέπνευσεν ἐν καρδίᾳ σου
καὶ ὅλον σε τοῖς πιστοῖς
εὐῶδες θυμίαμα
ἀνέδειξεν, ὅσιε,
τῶν αἱρετιζόντων
τὸ δυσῶδες διαπτύοντα.

Ἀντώνιον τὸν σοφὸν
τοῖς τρόποις ἐχαρακτήρισας,
ἐγκράτειαν δὲ τὸν νοῦν
ἐκθρέψας, ἀοίδιμε,

76 ὡς ἰατρὸν τῶν παθ. Vg   77 τὴν om. Vg   79 μῆτερ θεόνυμφε] μήτηρ Χριστοῦ τοῦ Θεοῦ Πb
heirm. ϛ΄ EE 220, n. 315, Joannis   vv. 87-91 simili sunt ac vv. 94-98 in B   91 θείου] τῇ τοῦ Πb   96 διέδειξεν Pa Πb   98 διαπτύουσα Vg   99-100 Ἀντωνίου τοῦ σοφοῦ / τοὺς τρόπους ἐ. Πb   101 ἐγκράτεια Pa   ἐγκρατείᾳ Πb

ἐδείχθης Εὐθύμιος·
ἐπιθυμιῶν γὰρ
τῶν τοῦ πνεύματος ἐφάνης ἀνήρ.

θεοτ. Ὁ θεῖός σου τοκετὸς
ἐθέωσέ μου τὸ πρόσλημμα
καὶ συνῆψε τῷ Πατρὶ
καὶ ἁγίῳ Πνεύματι·
διό σε, πανάμωμε,
τοῦ Θεοῦ μητέρα
ἐκ ψυχῆς κυρίως σέβομεν.

Κονδάκιον.

Ἦχος β'. *Τὴν ἐν πρεσβείαις*

Τὸν τοῦ Προδρόμου
συνώνυμον θεοφόρον
καὶ τῆς ἐκείνου
ὁμόζηλον πολιτείας
βίῳ καὶ θαύμασι διαλάμποντα,
ὡς ἀσκητῶν λαμπτῆρα
καὶ μοναστῶν καλλώπισμα
τὸν μέγαν τιμῶμεν Ἰωαννίκιον.

Ὁ οἶκος. Πρὸς τό· *Τράνωσόν μου τὴν*
[γλῶσσαν, σωτήρ μου,

Τεῖχος ἡμῖν καὶ στήριγμα, σῶτερ,
τῶν φρενῶν ὡς ὑπάρχων
καὶ ὀχύρωμα νοῦ
σοφίας χύμα παράσχου μοι
ἐν ὕμνοις δοξάσαι τὴν τοῦ ὁσίου
ὑψηλὴν πολιτείαν, δι' ἧς καθεῖλε

---

105 ἐφάνης] εὑρέθης Pa ἐδείχθης Πb 107 μου] με B
heirm. κονδ. HR, 215; heirm. οἴκ. MR V, 396
Κονδ. et οἴκ. om. Pa Πb οἴκ. 2 ὡς ὑπάρχων] σὺ ὑπάρχεις Vg 3 νοῦ] ναοῦ Vg

τὰς τῶν ἐχθρῶν
καὶ παθῶν προσβολὰς ἐν ἀσκήσει στερρᾷ
καὶ νίκην κατ' ἀμφοτέρων
κραταιᾷ σου χειρὶ ἀνεδήσατο
θαύμασί τε πίστει
διέλαμψεν
εὐσεβείας ἀκτῖσι καταπλουτῶν·
τὸν μέγαν τιμῶμεν Ἰωαννίκιον.

ᾠδὴ ζ'. *Οἱ ἐκ τῆς Ἰουδαίας*

Ἐσταυρώθης τῷ κόσμῳ
καὶ νεκρώσας τὰ πάθη
πνεύματι ἔζησας·
διὸ καὶ τοῖς ἀΰλοις
καὶ μένουσι συνήφθης
καὶ κραυγάζεις τῷ Κτίστῃ σου·
« ὁ τῶν πατέρων ἡμῶν
Θεὸς εὐλογητὸς εἶ ».

Τῶν ἐχθρῶν αἱ ῥομφαῖαι
ἐπὶ σοὶ καὶ τὰ βέλη,
πάτερ, ἠσθένησαν·
σταυρὸν γὰρ ὡπλισμένος
τὰς τούτων ἑλεπόλεις
διαλύσας ἐκραύγαζες·
« ὁ τῶν πατέρων ἡμῶν
Θεὸς εὐλογητὸς εἶ ».

Ἠλιοῦ καὶ Προδρόμου
τὰς ἐρήμους ποθήσας,

---

10 ἀνεδύσατο cdd.
heirm. ζ' EE 224, n. 321, Joannis 113 sqq. hoc ordine B troparia odes ζ' praebet: 1. 3. 2. 4.; Pa hanc autem sequitur collocationem 2. 3. 1. 4. 124 σταυρῷ Πb 119, 127, 135, 143 post τῶν orat. varie detruncant cdd.

129-130 AA.SS., 338: ... ζῆλον θεῖον συλλαβὼν ἐν διανοίᾳ ὠδίνησεν Ἠλίου τοῦ μεγάλου καὶ Ἰωάννου τοῦ Βαπτιστοῦ τὸ ἥσυχον καὶ φιλέρημον.

---

113 Gal. 6,14 114 Col. 3,5 115 Rom. 8,13 123 Ps. 10,2

πάτερ θεόληπτε,
κορυφὰς τοῦ Ὀλύμπου
παρῴκησας ὡς ἄλλον
ἐκ νεότητος Κάρμηλον·
ὁ τῶν πατέρων ἡμῶν
Θεὸς εὐλογητὸς εἶ.

f. 156 (159) θεοτ. || Σωτηρίας ῥανίδα
ἐπὶ τὴν νοσοῦσάν μου
ψυχὴν ἐπίσταξον·
σὺ γὰρ ὤφθης, παρθένε,
πηγὴ τῶν χαρισμάτων
καὶ ἱλασμὸς τοῖς ψάλλουσιν·
« ὁ τῶν πατέρων ἡμῶν
Θεὸς εὐλογητὸς εἶ ».

ᾠδὴ η´. *Ἑπταπλασίως κάμινον*

Ἐν τοῖς ἱδρῶσιν, ὅσιε,
τῆς ἀσκήσεως ἔσβεσας
τὰς τῶν ἡδονῶν ἀνθρακιὰς καὶ πυρώσεις
καὶ ὤφθης οὐράνιον
ῥεῖθρον ζωῆς τῇ ποίμνῃ σου
ἀποσμῆχον πᾶσαν νοσημάτων κηλῖδα·
διὸ καὶ ἀνεβόας·
« ἱερεῖς εὐλογεῖτε,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

134 ἐκ] εἰς Vg B 137 Σωτηρίας] Ἰαμάτων Πb ῥανίσιν Vg B: cfr. canon. II, 139-141 138 μου om. B

heirm. η´ EE 219, n. 314, Joannis 146 ἔσβεσας] ἔπλευσας Πb 147 πύρωσιν Pa 149 τῆς (τῇ B) ποίμνης σου Pa B 150 ἀποσμῆχον πᾶσαν] πάτερ ἀποσμῆχον Πb κηλῖδας Πb 151 ἀνεβόας] ἐκραύγαζες Pa ἀνακράζεις Πb 152-154, 162-164, 172-174, 182-184 post ἱερεῖς orat. varie detruncant cdd.

132-133 PG 116, 41: τὸ ... ὄρος, ὃ παρ' ἡμῖν Ὄλυμπος καλεῖται, ὠδίνησεν τὸν ἥσυχον καὶ φιλέρημον βίον...

134 Cant. 7,6

Ἐν τῷ πελάγει, ὅσιε,
τῆς ἀσκήσεως ἔπλευσας
τῇ τῆς ἐγκρατείας αὔρᾳ κυβερνώμενος
καὶ κλύδωνα ἔφυγες
τῶν πονηρῶν δυνάμεων
καὶ ἐν τῷ λιμένι τῆς ζωῆς μεθωρμίσθης
βοῶν ἀδιαλείπτως·
« ἱερεῖς εὐλογεῖτε,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

Τῶν ἀρετῶν τὸν δίαυλον
θαρσαλέως διήνυσας
καὶ ἐν τῷ σταδίῳ καταβὰς τῶν ἀγώνων
πρὸς πάλην ἀόρατον
τοῦ δεινοῦ κοσμοκράτορος
ἔστης καὶ συντρίψας ἐδειγμάτισας τοῦτον
καὶ ψάλλων ἀνεβόας·
« ἱερεῖς εὐλογεῖτε,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

θεοτ. Ἱκανωθεὶς τῷ πνεύματι
θεολόγων ὁ σύλλογος,
δῆμος ἀποστόλων καὶ μαρτύρων χορεῖαι,
ὁσίων τὰ τάγματα,
Θεοῦ μητέρα, δέσποινα,
πάντες καταγγέλλουσι καὶ μέλπουσι πίστει·

160 τῆς om. B μεθορμίσας Vg B Πb 161 βοῶν ἀδιαλείπτως] ἐβόας θεοπνεύστως Pa Πb 165 τὸν] τὸ Pa 168 πάλιν Vg B Pa ἀόρατον] ἀκήρατον Vg B 171 ψάλλων om. B 175 Ἱκανωθεὶς τῷ πνεύματι] Τῶν προφητῶν ὁμήγυρις Πb 176 θεολογῶν B 178 τὰ om. B 179 δέσποιναν Pa Πb

155-160 AA.SS., 335: ... Θαλάσσῃ ἔοικεν ὁ παρὼν βίος πλοιαρίων δίκην ἡμῶν... νηχομένων. Ὅθεν προσήκει ἐν πάσῃ νήψει... διαπορθμεύειν ἡμῶν καὶ διακυβερνᾶν τὴν ζωήν, μήπως ἐν τῷ τοῦ κόσμου εὑρεθῶμεν πελάγει περιφερόμενοι, ἀλλ' ἐν τῇ ἡσυχίᾳ μᾶλλον ὡς ἐν ἀκυμάντῳ λιμένι καταλειφθῶμεν...

168-170 Eph. 6,12-14

« οἱ παῖδες εὐλογεῖτε,
ἱερεῖς ἀνυμνεῖτε,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

ᾠδὴ θ'. *Ἐξέστη ἐπὶ τούτῳ ὁ οὐρανὸς*

Σεμνύνεται τὰ στίφη τῶν μοναστῶν
ταῖς σοφαῖς ὑποθήκαις τῶν λόγων σου
καὶ τοῖς πολλοῖς
πόνοις καὶ ἱδρῶσι καὶ πειρασμοῖς·
πᾶσι γὰρ ὤφθης ἔσοπτρον,
πάτερ, ἀκηλίδωτον τοῖς πιστοῖς,
εἰς ὃ καὶ ἀφορῶντες
ῥυθμίζουσι τὸν βίον
πρὸς ἀπαθείας τελειότητα.

Ὡς εὔσημον ἡμέραν πάντες πιστοὶ
καὶ κλητὴν ἑορτήν, παναοίδιμε,
τὴν σὴν φαιδρὰν
μνήμην ἐκτελοῦμεν πνευματικῶς,
ἐν ᾗ καὶ ἀσπαζόμενοι
πίστει τῶν λειψάνων σου τὴν σορὸν
ἀντλοῦμεν τὰς ἰάσεις
ψυχῶν τε καὶ σωμάτων
καὶ σὲ συμφώνως μακαρίζομεν.

Ποθήσας τὸ συνεῖναι μετὰ Χριστοῦ
κατὰ Παῦλον τὸν μέγαν διδάσκαλον,
μετὰ πολὺν
δρόμον καὶ ἀγῶνα πρὸς ἀρετὴν

---

heirm. θ' EE 220, n. 314, Joannis 185 Σεμνύνονται Πb 206 ἀγῶνας Vg Πb πρὸς ἀρετὴν] τῆς ἀρετῆς Πb

---

199-202 AA.SS., 433:... τὸ τίμιον λείψανον αὐτοῦ... ἀπέθεντο πρὸς τὴν μονὴν ... ἐν ᾗ... ἰάσεις πολλαὶ καὶ σημεῖα ἐπιτελοῦνται...

203-211 II Tim. 4,8

καὶ καρτερίας πόνους τε
εὗρες τὴν ἀνάλυσιν ἐν αὐτῷ
καὶ στέφος καὶ βραβεῖον
τῆς νίκης ἐκομίσω
παρὰ τοῦ μόνου ἀθλοθέτου Χριστοῦ.

θεοτ. Ἀπόρθητόν σε τεῖχος ἐν πειρασμοῖς
καὶ λιμένα κεκτήμεθα, πάναγνε,
οἱ ἐν δειναῖς
ὄντες τρικυμίαις καὶ συμφοραῖς
καὶ μέγα ἱλαστήριον
τῶν παραπτωμάτων ἁμαρτωλοί·
διὸ ταῖς σαῖς πρεσβείαις,
παρθένε θεοτόκε,
πάντας οἰκτείρησον καὶ σῶσον ἡμᾶς.

---

207 πόνους τε] πόνοις τε Pa ἔνστασιν Πb 208 εὗρε B αὐτῷ] ἑαυτῶ Πb 209 βραβεῖα Πb 211 Χριστοῦ] Θεοῦ Pa 214 δεινοῖς Vg B Πb 218 πρεσβείαις] ἀπαύστοις Pa 219 παρθένε θεοτόκε] πρὸς τὸν ἐκ σοῦ πρεσβείαις Pa ἁγνὴ πρὸς τὸν δεσπότην Πb 220 καὶ om. Vg

---

216-217 Rom. 3,25

4 NOV. CANON X

IN SANCTUM IOANNICIUM

Crypt. Δ.α. XIII = Cc, ff. 119v-123

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Ἰωαννικίῳ πατρὶ χριστοφόρῳ πατριάρχης ὁ Μεθόδιος.

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Τὸν Ἰσραὴλ ἐκ δουλείας*
ἐλυτρώσω, Κύριε,

Ἱεροφώνοις χορείαις
θεοφόρον ὅσιον,
τὸν φωστῆρα τοῖς χρόνοις ἡμῶν,
καὶ ἡμεῖς τιμήσωμεν
πιστῶς Ἰωαννίκιον.

Ὡς τοῖς ἀγγέλοις προσθήκη
ἐκβιοὺς γεγένησαι
τῶν γνωρίμων καὶ τέκνων σου·
μὴ κενώσῃς, ὅσιε,
προστασίας τὸν τόπον σου.

Ἀνατεθεὶς διαθέσει
καὶ ζωῇ καὶ βίῳ παντὶ
ἀπὸ κόσμου Χριστῷ τῷ Θεῷ,
ἐπὶ γῆς δεικνύμενος
οὐρανίοις προσέβαινες.

---

tit. Ἕτερος κανὼν τοῦ ὁσίου Ἰωαννικίου φέρων...
heirm. α' EE 226, n. 324, Germani 12 ζωὴ

Ναοποιῶν τὴν καρδίαν
ἐθυσίασας τῷ Θεῷ
αἰχμαλωτίζων καὶ καθαιρῶν
λογισμοὺς καὶ ὕψωμα
εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ.

θεοτ. * Διὰ παντός, θεοτόκε,
τὸν ἐκ σοῦ ἱκέτευε
ἀρρήτῳ λόγῳ σαρκωθέντα Θεὸν
πάσης περιστάσεως
λυτρώσασθαι τοὺς δούλους σου.

ᾠδὴ β'. *Πρόσεχε,*
οὐρανέ, καὶ λαλήσω

Νέκρωσιν
διὰ βίου ὑπέστης,
Ἰωαννίκιε·
ὅθεν ζῇς μετὰ τέλος
θανάτῳ τὸ ζῆν εὑράμενος.

Ἴσμεν σε
ἀνεπίγνωστα, πάτερ
Ἰωαννίκιε,
ἐπιγνόντες μὴ γνῶναι
τὸ εἶναι ὑπὲρ τὸ γνῶναί σε.

Κύριον
ἐν καρδίᾳ καὶ χείλει,
γλώσσῃ καὶ στόματι

---

18 καθαίρων 21-25 θεοτ. MR VI, 532; AHG III, XVI, 16-20 25 σωθῆναι τὰς ψυχὰς ἡμῶν AHG
heirm. β' EE 226, n. 324, Germani

18-20 II Cor. 10,5

καὶ καλῶν καὶ γινώσκων
δι᾿ ἔργων θεράπων ἦσθα Θεοῦ.

Ἵδρυσας
τοῖς εἰδόσι σε πίστιν
τὴν ἀνενδοίαστον
μὴ ὁρώμενος ὄψει,
θαυμαστὴν δὲ σεβαζόμενος.

θεοτ. * Ἄχραντε,
θεοτόκε παρθένε,
μόνη πανύμνητε,
τὸν υἱόν σου δυσώπει
σωθῆναι τοὺς ἀνυμνοῦντάς σε.

f. 120 ᾠδὴ γ΄. *Οὐκ ἔστιν ἅγιος*
ὡς ὁ Κύριος

Ὡς ὄρθρος ἀνέτειλας
τοῖς ἀκούουσι,
σκοτασμὸν τὸν τοῦ βίου
φεύγων ὡς πρόσκομμα,
ὡς οὐρανόθεν τοὺς ὅρους
ἀκτῖνας ἀσκήσεως
προλάμπων, πάτερ ὅσιε.

Πρὸς κλῆσιν τοῖς πράγμασιν
εὐοδούμενος,
τῷ Προδρόμῳ ὁμώνυμος
Ἠλίᾳ τε σύνδρομος
ἀνεδείχθης, τρισμάκαρ,
οὓς καὶ ἡ δίαιτα
καὶ κλῆσις θείους ἔδειξεν.

---

45 θαυμαστὴν: fort. scribendum θαυμαστῶς 46-50 θεοτ. Anth. I, υξζ΄; AHG III, IV (2), 41-45 et XX, 36-40; AHG I, 75
heirm. γ΄ EE 226, n. 323, Germani 60-64 cfr. canonem IX 129-130 et κονδ. vv. 1-4

Ἀπέστης, μακάριε,
ἐπιγείου στρατείας,
προσανέπτης δέ, ὅσιε,
ταῖς θείαις δυνάμεσι
βασιλεῖ οὐρανίῳ,
Χριστῷ στρατευσάμενος
καὶ μένων ἀγγελόβιος.

Τὸν λόγον ὁ ὅσιος
ταπεινόφρονα πλουτῶν
τὴν διάνοιαν πάνσοφος
ὑπῆρχεν ἐκ πράξεως
καὶ προλέγων ἑκάστῳ
κρυφῇ τὸ ἐλάττωμα
καὶ χεῖρα μετανοίας κιχρῶν.

θεοτ. * Παρθένος ἔτεκες,
ἀπειρόγαμε,
καὶ παρθένος ἔμεινας,
μῆτερ ἀνύμφευτε,
θεοτόκε Μαρία·
Χριστὸν τὸν Θεὸν ἡμῶν
ἱκέτευε σωθῆναι ἡμᾶς.

f. 120ᵛ ᾠδὴ δ΄. *Ἐξ ὄρους κατασκίου*

Ῥίψασπις σὺ φανεὶς
ἐν μάχῃ πολεμίων,

---

66 στρατειᾶς 79-85 θεοτ. MR I, 291 82 μήτηρ MR 84 ἡμῶν om. MR
heirm. δ΄ EE 224, n. 321, Joannis EE 229, n. 328, Germani 86 Ῥιψάσπις

65-66 AA.SS., 311: ... κατέλιπε τὴν στρατείαν...
65-71 AA.SS., 434: ... Χριστοῦ ἄριστος στρατιώτης ἀνεδείχθης, καταλιπὼν τὴν στρατείαν τὴν πρόσκαιρον...
PG 116, 44: ... ὑπερορᾷ μὲν τοῦ παρὰ βασιλεῖ τάττεσθαι...
72-78 AA.SS., 405: ... ὁ δὲ ταπεινόφρων καὶ ἰσάγγελος πατὴρ ἡμῶν Ἰωαννίκιος ... καὶ τοὺς διαλογισμοὺς αὐτῶν ἐξειπὼν ἄγαν κατέπληξε καὶ ἐνέτρεψεν αὐτούς ... καὶ συγχωρήσας ἀπέλυσεν ... Cfr. etiam canonem IX, 41.

ἐδείχθης ἀριστεὺς
κατὰ τοῦ διαβόλου,
ὡς ἐν ἐκστάσει τῆς πίστεώς σου μαχαίρᾳ
διατεμὼν τοὺς ἀκεφάλους ἐχθρούς.

Ἰλύι βιοτῆς
πατρὸς οὐ προσεπάρης
καί, θᾶττον ἀναχθεὶς
στρατείας ἀπὸ λάκκου,
ἐπὶ Χριστὸν τὴν ἀσάλευτον ἔστης πέτραν
κατευθυνθεὶς τὰ διαβήματα.

Χριστοῦ τὰς ἱερὰς
γραφὰς ἐξησκημένος,
χρηστότητι πολλῇ
διέθρεψας ἐν λόγῳ
καὶ καθωδήγησας, πάτερ, τοὺς σοὶ φοιτῶντας
πρὸς τὸν Θεόν, Ἰωαννίκιε.

Ῥημάτων ἀστικῶν
θορύβους ἠρνημένος,
φωνῶν ἀγγελικῶν
ἡσύχως προσᾳδόντων
κατηξιώθης, τρισόλβιε· οἷς συμψάλλων
ἐπὶ γῆς ἄγγελος ἐδείκνυσο.

θεοτ. * Χαίροις παρ' ἡμῶν
ἁγία θεοτόκε,
χαῖρε ἡ χαρὰν
κυήσασα τῷ κόσμῳ,
χαῖρε ἡ μόνη ἀντίληψις τῶν ἀνθρώπων,
εὐλογημένη θεοτόκε ἁγνή.

110-115 θεοτ. MR II, 266; AHG VII, 242 115 χαῖρε τὸ πάντων περιτείχισμα MR

90-91 AA.SS., 338: ... ἀλλὰ καὶ τούτου προβὰς ἐκεῖθεν ἐν ἐκστάσει διακόπτει τὴν κεφαλὴν ὁ ἀξιάγαστος... Cfr. canonem IX, 64-70.
96-97 Cfr. canonem VIII, 77-81. 109 Cfr. supra vv. 6-7.

92-97 Ps. 39,3 96 I Cor. 10,4

f. 121 ‖ ᾠδὴ ε'. *Ὁ ἐκ νυκτὸς ἀγνοίας*

Ἰσοχρεᾶ τὸν ὕμνον
τῆς πρὸς ἡμᾶς ὠφελείας σου ἕκαστος
οὐκ ἰσχύομεν, πάτερ,
προσφέρειν, ἀλλὰ σύγγνωθι, ὅσιε.

Σοὶ ὀφειλὴν τὰ τέκνα
τὴν ὑμνῳδίαν τολμῶντες προσφέρομεν,
διὰ σοῦ τὸν σωτῆρα,
πάτερ, εὐχαρίστως δοξάζοντες.

Τοῦ θεσπεσίου Παύλου
ἀναμιμνήσκοντες ὅρον βοῶμεν, πάτερ,
οὐκ ὀφείλει γονεῦσι
τὰ τέκνα, οἱ γονεῖς δὲ καὶ σὺ νῦν ἡμῖν.

Ὅτι τὸ ζῆν πιστεύειν
ὡς προαιρέσει θανών, ἐν τῷ ζῆν, ἀσκητά,
δίδου θνήσκειν καὶ τέκνοις,
ὥστε ζῆν θανοῦσι πατρῴζοντα.

θεοτ. Τῶν Χερουβὶμ φανεῖσα
τιμιωτέρα, παρθένε πανύμνητε,
πρέσβευε τῷ υἱῷ σου
σῶσαι τὰς ψυχὰς τῶν ὑμνούντων σε.

ᾠδὴ ς'. *Χιτῶνά μοι παράσχου φωτεινὸν*

Φωστὴρ ἡμῶν χρωμάτων ἀρετῶν
τῇ στίλψει, μακάριε,

---

heirm. ε' EE 226, n. 323, Germani EE 229, n. 329, Andreae 120 Σὺ ὀφειλεῖν 121 προσφέρωμεν 126 ὀφείλη 127 σὺ] σοὶ cd. 132-135 θεοτ. cfr. in hoc vol. canon. IV (2), 106-109; cfr. etiam AHG VII, 182 et 243
heirm. ς' EE 224, n.321, Joannis

128-131 Cfr. vv. 26-30. 136-139 Cfr. vv. 1-5, 56-57.

124-127 II Cor. 14,16

θεόθεν δεδώρησαι,
τῆς ζωῆς ἡμῶν τοὺς χρόνους καταλάμψας ἀεί.

Ὁ ἥλιος, σελήνη πρὸς Θεὸν
ἀνὰ μέρος τέθεινται
κατάρχειν πυρσεύειν τε·
ὁ πατὴρ ἡμῶν ἀδύτως ἐχαρίσθη ἡμῖν.

Ῥημάτων σωτηρίαν φρυκτωρῶν
λογίοις ἐδρόσιζες
τοὺς προσερχομένους σοι,
ὡς σελήνη καὶ ὡς ἥλιος θεόθεν δοθείς.

f. 121v || Ὡς κῦρος ὀρθοδόξων καὶ κανὼν
τοῦ μοναδικοῦ βίου,
σὺ ἀπαρέγκλιτε,
ὑπερεύχου τῶν πιστῶς εὐφημούντων σε.

θεοτ. * Ἡ μόνη διὰ λόγου ἐν σαρκὶ
τὸν Λόγον κυήσασα,
ῥῦσαι, δεόμεθα,
τῶν παγίδων τοῦ ἐχθροῦ τὰς ψυχὰς ἡμῶν.

ᾠδὴ ζ΄. *Ὁ ἐν ἀρχῇ*
τὴν γῆν θεμελιώσας

Πρὸς ἐντολὰς
πρακτικαῖς διεξόδοις
σὺ φυτευθεὶς τῶν ὑδάτων Κυρίου,
καρπὸν ὡς ξύλον ἐν τῷ καιρῷ σου
προσήγαγες τῷ Θεῷ, Ἰωαννίκιε.

---

140 Θεὸν: fort. scribendum Θεοῦ   142 πυρσεύεινται   152-155 θεοτ. MR I, 183; cfr. etiam in hoc vol. canones IV (I), 66-69 et XVI, 89-92 idem θεοτ. continent
heirm. ζ΄ EE 226, n. 323, Germani

156-158 Ps. 1,3   158-160 Lev. 26,4

Ἀπ᾽ οὐρανοῦ
τὴν ὀροφὴν ἐκτήσω,
ἐπὶ τῆς γῆς τὴν στρωμνὴν ἐφηπλώσω,
ἀστέρας λύχνον, στιβάδα πόας
κεκτημένος εὐλαβῶς, Ἰωαννίκιε.

Τὰ μύρα σοι
ἐν λειμῶσι συνῆκτο,
τὰ ὄψα σοι πεδιάδες ἐτήρουν,
ναμάτων κρῆναι ποτὸν ἐκίρνων,
κοιλάδες τὴν ἐδωδήν, πάτερ, ἡτοίμαζον.

Ῥῆμα Θεοῦ,
οὐ γὰρ ἄρτος καὶ μόνος,
σοὶ τὴν ζωὴν νεωτέρῳ παρεῖχε,
γεγηρακότι δὲ τὰ ἀνθρώπων
καὶ διαίτῃ καὶ οἰκήσει ποσῶς δέδοται.

θεοτ. * Ὁ ἐν γαστρὶ
τῆς παρθένου οἰκήσας
καὶ ἐν αὐτῇ τὸν Ἀδὰμ ἀναπλάσας,
εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας,
Κύριε, ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

f. 122 ᾠδὴ η΄. *Τὸν ἐν ὄρει*
ἁγίῳ δοξασθέντα

Ἰοβόλων
δρακόντων ἀνὰ μέρος
σοὶ φανέντων,

---

169 κρίναι   173 νεωτέρῳ scripsi: νεωτέραν cd.   175 κ. διαίτει κ. οἰκίσει ποσὸς δ.   176-180 θεοτ. MR V, 116; cfr. etiam in hoc vol. canones XVI, 114-120 et XX, 123-127   179 post εἰς orat. detruncatur in cd.
heirm. η΄ EE 226, n. 323, Germani

181-188 PG 116, 49: ... ὄφιν οὖν... μέγιστον... ἰδὼν καὶ ᾗ κατὰ χεῖρα εἶχε ῥάβδῳ πλήξας αὐτὸν ἄπνουν ἐξ αὐτῆς δεικνύει νεκρόν...
PG 116, 61: ... ὄφεων ... τοὺς περιοικοῦντας ἀπήλλαττεν ἀναιρῶν ... τοῦτο μὲν τῇ ἑαυτοῦ ῥάβδῳ, τοῦτο δὲ τῷ τοῦ σταυροῦ σημείῳ...

171-172 Matth. 4,4; Luc. 4,4

σταυρῷ καὶ ῥάβδῳ τούτους
τῇ ἐν χερσί σου ἔκτεινας, μακάριε,
σύμβολα τῆς ἥττης
τοῦ ἀντικειμένου
ἐν τούτοις προλαμβάνων.

Ἀφ' ἑσπέρου
ψαλμὸν ἐπὶ τὰ χείλη
καὶ τὼ πόδε
σκυλμὸν ὁδοιπορίας
ἀναλαμβάνων καὶ γονυκλιτῶν Θεῷ
ἔμελπες· « ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας ».

Ῥαντηρίοις
ὑδάτων οὐκ ἐπλύθης,
βαλανείοις
οὐ κέχρησαι, τρισμάκαρ,
στεναγμοῖς ἐκ βάθους δὲ κεκάθαρσαι,
δάκρυσιν ἐσμήξω
καὶ κατελαμπρύνθης
ἑκάστοτε καρδίαν.

Χάρις θεία
ἡ σὴ προσηγορία
καὶ αὐτή σε
προσῆξεν ὁμωνύμῳ,
τῷ θεολόγῳ Ἰωάννῃ τάχιστα,
ὅς σοι καὶ τὴν πίστιν
καὶ τὴν εἰς καρδίας
ὁρᾶν παρέσχε χάριν.

θεοτ. * Τὸν ἐν μήτρᾳ
οἰκήσαντα παρθένου
καὶ ἐν ταύτῃ

185 ἐκτείνας 191 τῶ 196, 220 post. ὑπερυψοῦτε orat. detruncatur in cd. 200 κέχρισαι 204 ἑκάστω τε 206 σῆ 207 αὐτῆ 210 ὅς σοι scripsi: ὅσοι cd. 213-220 θεοτ. MR I,34; AHG I,85

φρικτῶς καὶ ὑπὲρ λόγον
τὸν παλαιὸν Ἀδὰμ δὲ ἀναπλάσαντα
Κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

f. 122v ᾠδὴ θ'. *Τὸν προδηλωθέντα*

Ἡ τοῦ παναγίου
καὶ θείου Πνεύματος χάρις
γενεᾷ καὶ ἐν γενεᾷ
θεράποντας οἰκείους
ἀναδείκνυσιν, ὡς ἡμῖν τὸν φωστῆρα
ἔδειξεν, ἣ δέδωκέ σε, ὅσιε.

Σὺ τοὺς χαρακτῆρας
τῆς σῆς ψυχῆς ἐν κατόπτρῳ
ἀρετῶν ἀεὶ προτιθείς,
πρὸς πρόσωπον προσώπῳ
οὐκ ἀπέκαμες διορθούμενος, πάτερ,
πάσας τὰς αἰσθήσεις εὐσεβεῖ λογισμῷ.

Ὄλβιος ὑπάρχων
Θεῷ καὶ ἡμῖν πιστεύειν
ὄλβιος εἶ καὶ ἀγγέλοις,
τρισόλβιε, τῷ κόσμῳ
ὅσοις ἔγνωσαι ἀκοῇ τε καὶ ὄψει
πάσης ἀρετῆς φανεὶς ἀρχέτυπος.

Μετὰ τῶν ἀγγέλων
ὡς ἄσαρκος συνετάγης,
μετὰ προφητῶν προορῶν,
συντάττῃ ἀποστόλοις
καὶ ἐν μάρτυσιν ὁσημέραι τῇ βίᾳ,
πάτερ ἀσκητὰ Ἰωαννίκιε.

217 ἀναπλάσαντα] ἀνακαινίσαντα MR AHG heirm. θ' EE 226, n. 324, Germani 232 εὐσεβῆ 237 ἔγνω σε 243 ὡς ἡμέραι

Ἔχων πρὸς Θεόν,
ὅσιε, τὸ δύνασθαι πάντως
τῇ Ῥωμαίᾳ πάσῃ ἀρχῇ
εἰρήνην καὶ ὑγείαν
ἐξαιτήσαιο, βασιλεῦσι τὸ κράτος
καὶ τῇ ἐκκλησίᾳ τὸ ἀτάραχον.

Θ⟨.....................
....
....
....
....
..............................⟩

f. 123 ‖ Ο⟨...................
....
....
....
....
..............................⟩

Δ⟨.....................
....
....
....
....
..............................⟩

Ι⟨.....................
....
....
....
....
..............................⟩

Ο⟨.....................
....

246 δύνασθε 247 ἀρχὴ 249 ἐξαιτεῖσαι ὁ 251-280 tropariorum litteras primas scriba exaravit, sed textum neglexit

....
....
....
..............................⟩

θεοτ. * Σὺ εἶ, θεοτόκε,
τὰ ὅπλα ἡμῶν καὶ τεῖχος·
σὺ εἶ ἡ ἀντίληψις
τῶν εἰς σὲ προστρεχόντων·
σὲ καὶ νῦν εἰς πρεσβείαν κινοῦμεν,
ἵνα λυτρωθῶμεν τῶν ἐχθρῶν ἡμῶν.

281-286 θεοτ. MR II, 270; cfr. etiam in hoc vol. canonem XIII, 191-196

5 NOV. *CANON* XI

IN SANCTUM THEODORUM EPISCOPUM ANCYRAE

Synaxarium, 191-192: Τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ Θεοδώρου ἐπισκόπου Ἀγκύρας.

Crypt. Δ.α. XIII = Cc, ff. 126v-130
Paris. gr. 259 = Pa, ff. 36v-40
Crypt. Δ.δ. II = De, ff. 95v-98v

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Θεόδωρον ὑμνῶ τῶν μοναστῶν τὸ κλέος· (ποίημα Θεοφάνους Pa).

Ἦχος β'.

ᾠδὴ α'. *Δεῦτε, λαοί,*
ᾄσωμεν ᾆσμα Χριστῷ τῷ Θεῷ

Θείῳ τρωθεὶς
ἔρωτι τῷ τῆς ἀγάπης Χριστοῦ,
τῶν ἐγκοσμίων ἅπασαν
τὴν ματαιότητα
ἀληθῶς ἀπηρνήσω
καὶ τούτῳ σε καλοῦντι
κατηκολούθησας.

Ἐν ταῖς αὐλαῖς
τῆς ἐγκρατείας ἐξήνθησας,
πεφυτευμένος ὤφθης τε

tit. Ὁ κανὼν τοῦ ἁγίου Θεοδώρου φέρων ... (et in marg. scriptum nomen hymnographi Θεοφάνους) Cc Ὁ κανὼν... τοῦ ὁσίου φέρων... ποίημα Θεοφάνους Pa Ὁ κανὼν φέρων... De
heirm. α' EE 37, n. 51, Cosmae 3 ἐγκωμίων De 10 τε] γὰρ Pa De

8-12 Ps. 91,13-14

ὡς καλλιέλαιος
ἐν τῷ οἴκῳ Κυρίου·
διὸ καὶ ἀπολαύεις
τῆς βασιλείας αὐτοῦ.

Ὁ τῷ φωτὶ
τῆς ἀκηράτου σου δόξης, Χριστέ,
τὸν ἐν ἀσκήσει δόκιμον
καὶ ἀξιέπαινον
ἐν τῇ πίστει φανέντα
Θεόδωρον λαμπρύνας,
σῶζε τὴν ποίμνην σου.

θεοτ. Δόξα τῇ σῇ
κυοφορίᾳ, παρθένε ἁγνή·
τοῖς ἐξ Ἀδὰμ γὰρ λύτρωσιν
εὐηγγελίσατο
καὶ νεκροῖς ἀπ' αἰῶνος
τὴν τῆς ἀθανασίας
ὁδὸν ἐκαίνισας.

f. 127 ᾠδὴ γ'. *Στερέωσον ἡμᾶς*
ἐν σοί, Κύριε,

Ὡς κλῆμα εὐθαλές,
ὡς βότρυς ἔμψυχος
ὑπάρχων τῆς ἀληθινῆς ἀμπέλου,
τῇ καθάρσει τῇ τῆς πίστεως
ἀρετῶν εὐκαρπίαν,
πάτερ, ἤνεγκας.

Ῥᾳδίως μηχανὰς
τὰς τῶν αἱρέσεων

11 καλλιέλαιον De 13-14 διὸ καὶ ἐπληθύνθης / ἐν γήρει πίονι Pa De 15 Ὁ] Οἱ Pa 16 ἀκηράτου] ἀπροσίτου Pa De 20 Θεόδωρε De 26 ἀπ' αἰῶνος] αἰωνίοις Pa De
heirm. γ' EE 39, n. 53, Cosmae 27 τὴν τῆς] τις σῆς De 29 κλῖμα Pa 30 ἔμψυχος] πέπυρος De

17-19 I Cor. 11,19 29-34 Joh. 15,1-5

καθεῖλες τῇ λογικῇ σου σφενδόνῃ·
ἐν τῇ πέτρᾳ γὰρ τῆς πίστεως
στερεὰν τὴν ἐλπίδα,
πάτερ, ἥδρασας.

Ὁ βίος σου σεμνός,
ὁ τρόπος ἔνθεος,
ὁ λόγος ἀκόλουθος δὲ τοῖς τρόποις·
διὸ οἶκος ἐχρημάτισας
ἀληθοῦς θεωρίας,
πάτερ ὅσιε.

θεοτ. * Ναόν σε γηγενεῖς
καὶ ἐνδιαίτημα
τοῦ Λόγου ἔγνωμεν, θεογεννῆτορ,
ἐπελεύσει θείου πνεύματος
καὶ Πατρὸς εὐδοκίᾳ,
προελθόντος ἐκ σοῦ.

f. 127v ᾠδὴ δ'. *Εἰσακήκοα, Κύριε,*
τὴν ἀκοὴν τῆς σῆς οἰκονομίας

Ὑπερήφανον φρύαγμα
κατὰ Χριστοῦ μανὲν τῆς ἐκκλησίας
ταπεινώσει πνεύματος κατηδάφισας.

Μυηθεὶς τὰ θεόπνευστα
τῆς τοῦ Χριστοῦ σαφῶς οἰκονομίας,
ἐγχαράττεις, πάτερ, σαφῶς τοῖς πίναξιν.

Νῦν χορείας καὶ λήξεως
τῶν ἐκλεκτῶν, παμμάκαρ, ἀπολαύων,
τῶν πιστῶς τιμώντων σε ὑπεράσπισον.

---

39 στερεῶς Pa   στερεώσας ἐλπίδι De   40 ἕδρασας Cc   43 δὲ] σὺν Pa   44 δι' ᾧ Pa   δι'ὧν De   47-52 θεοτ. ETh, 235   47 γηγενεῖς] τοῦ Θεοῦ De   49 ἔγνωμεν] ὑμνοῦμεν Pa ETh De   54 Χριστὸν De
heirm. δ' deest in EE, cfr. MR I, 96   58 -ττης Cc   σαφῶς] πιστῶς Pa σεπτῶς De   59 Νῦν] Σὺν De   60 ἀπολαύεις De

θεοτ. Ὡς λιμένα καὶ ἄγκυραν
καὶ ἀσφαλῆ τοῦ κόσμου σωτηρίαν,
θεοτόκε ἄχραντε, πίστει σέβομεν.

f. 128 ᾠδὴ ε'. *Ὁ τοῦ φωτὸς χορηγός*

Τῷ Τριάδος φωτὶ
καταλαμπόμενος, σοφέ, ἤστραψας
θείαν αὐγὴν
ἐν τῇ ἐκκλησίᾳ
καὶ ἤλεγξας πᾶσαν
τῶν αἱρετιζόντων
ζοφώδη κακόνοιαν.

Ὡς μιμητὴς ἀληθῶς
καὶ μαθητὴς τῶν μαθητῶν, ὅσιε,
τοῦ Ἰησοῦ,
ὑπὲρ τῆς ἀγάπης
ηὐδόκησας αὐτοῦ
ὑπομεῖναι πᾶσαν
τυράννων ἐπίνοιαν.

Νόμον Θεοῦ μελετῶν
καὶ πατρικοῖς ἐγκαρτερῶν δόγμασι,
τὸν τοῦ Χριστοῦ
σεπτὸν χαρακτῆρα
ἐστήλωσας πίστει
ἐν τῇ ἐκκλησίᾳ,
παμμάκαρ Θεόδωρε.

θεοτ. * Μόνη ἐφάνης, σεμνή,
καὶ μετὰ τόκον, ὥσπερ ἦς, ἄφθορος·
Θεὸς γὰρ ἦν

---

62 καὶ ἄγκυραν] σε ἔχοντες Pa   σωτήριον De   64 θεοτόκε, πίστει ἀεὶ σωζόμεθα Pa   θ. ἔχοντες οὐ πτοούμεθα De
heirm. ε' EE 38, n. 51, Cosmae   65 Τῷ] Τῷ τῆς De   69 πᾶσαν] πᾶσιν Cc   76 εὐδόκησας Pa De   79 Νόμῳ De   80 ἐγκαρτερεῖς De   82 σεπτῶν χαρακτήρων De   84 καὶ τῆς θεοτόκου Pa   86-92 θεοτ. ETh, 236

---

79 Ps. 1,2; 118,70

ὁ σάρκα φορέσας
ἐκ σοῦ καὶ φυλάξας
τὴν σὴν παρθενίαν,
ἀμόλυντε δέσποινα.

ᾠδὴ ϛ'. *Ἐν ἀβύσσῳ πταισμάτων κυκλούμενος*

Ὁ λειμὼν τῶν ἐνθέων δογμάτων σου
τὸν τῆς ἐκκλησίας λαμπρύνει παράδεισον·
f. 128v ὥσπερ γὰρ ἄνθη ‖ μάρτυρας
ἐν αὐτῇ ἐκδιδάσκεις χαράττεσθαι.

Νευρωθεὶς τῇ δυνάμει τοῦ πνεύματος
καὶ ὀχυρωθεὶς ἐν τῷ κράτει τῆς πίστεως,
τῆς ἀσεβείας δόγματα
ὡς ἀράχνης διέλυσας νήματα.

Ἀνδρειόφρονα νοῦν ἐνδειξάμενος,
ἅπασαν τυράννων κακίαν ὑπήνεγκας,
ἐν φυλακαῖς καὶ μάστιξιν,
ἐν δεσμοῖς καὶ λιμοῖς ταπεινούμενος.

θεοτ. * [Ὁ κατέχων τὸν γῦρον τῆς γῆς ὡς Θεὸς
ἐν ταῖς σαῖς ἀγκάλαις, ἁγνή, περιέχεται
περιγραφῇ τοῦ σώματος
ὁ τῇ θείᾳ μορφῇ ἀπερίγραπτος.]

---

92 ἀμόλυντε] ἀλώβητε Pa ἀλώβητον ETh De δέσποινα] ἄχραντε Pa De heirm. ϛ' EE 34, n. 46, Joannis 94 λαμπρύνει παράδεισον] παράδεισον ἤρδευσεν Cc 96 ἐκ διδάσκεις] -σκης Cc -σκει Pa De 98 κράτη Pa 99 τῆς] τὰ Pa 101 ἐνδειξάμενον Cc 102 κακίαν] αἰκίας Pa αἰκίαν De 104 καὶ λιμοῖς] ἐλιμῶ Pa ἐνλειμῶ De 105-108 θεοτ. litteram initialem alienam ab acrostichide praebens expunxi; idem autem θεοτ. ϛ' in sanctum Panteleemonem hymnographi Θεοφάνους invenies in MR VI, 245; Pa, vero, aliud θεοτ. praebet, quod inc. Σωτηρίας λιμένα γινώσκω σε MR III, 437; cd. De hoc θεοτ. refert, quod ineditum videtur: Σωτηρίας ὑπάρχουσα πέλαγος / τοὺς ἐν τῷ τοῦ βίου σαλεύοντας κλύδωνι / τῇ σῇ πρεσβείᾳ, δέσποινα, / εἰς γαλήνης λιμένα καθόρμισον.

---

105 Is. 40,22

f. 129 ᾠδὴ ζ'. *Εἰκόνος χρυσῆς*

Στερρῷ λογισμῷ
τῶν παθῶν καταμαράνας σὺ τὴν φλόγα,
θεόθεν ὤφθης θεῖον ὄργανον
τοῦ παρακλήτου, Θεόδωρε·
ὅθεν ἀναμέλπων ἐβόας
ἐν παρρησίᾳ, θεόπνευστε·
« εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

Τὰ θεῖα νυκτὸς
καὶ ἡμέρας μελετῶν, παμμάκαρ, λόγια
ἐν διεξόδοις ταῖς τοῦ πνεύματος
κατεφυτεύθης, ἀοίδιμε,
καί, καρποφορήσας εὐκαίρως
τὰς ἀρετάς, πάτερ, ἔκραζες·
« εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

Ὡς πρᾶος φανεὶς
ἐπιστήμων λογικῆς ἐδείχθης ποίμνης, σοφέ,
ἣν ἐξελάσας βακτηρίᾳ σου
ἐπὶ πηγὰς ἀναπαύσεως
καὶ ἐπὶ νομὰς ζωηφόρους,
πρὸς ἀϊδίους εἰσήλασας
σκηνάς, παμμάκαρ, καὶ μονὰς
διαιωνίζων Θεῷ.

θεοτ. Νόμους λοχείας, ἁγνή,
μὴ φυγοῦσα, ἀληθῶς παρθένος ἔμεινας

---

heirm. ζ' EE 39, n. 53, Cosmae 109-116 trop. om. Pa De 115, 123 post εἶ orat. varie detruncant cdd. 120 ἀοίδιμε] ὡς γέγραπται Pa De 126 ἐδείχθης ποίμνης] ποιμὴν ἐδείχθης Cc 127 ἐξ ἐλαίας βακτηρίας σου Cc 128 πηγῆς Cc 130 ἐξήλασας Cc 131 σκηναῖς παμμάκαρ καὶ μοναῖς Cc 132 διαιωνίζειν Θεῷ Pa De 133 ἁγνὴ om. De

---

117-122 Ps. 1,2-3

καί, ἀπειράνδρως βρέφος φέρουσα
τὸν πρὸ αἰώνων ἀμήτορα,
μόνη ὑπὲρ φύσιν ἐδείχθης
καὶ συλλαβοῦσα καὶ τίκτουσα·
τὰ σὰ γὰρ πάντα ὑπὲρ νοῦν,
δέσποινα, θαύματα.

f. 129v ᾠδὴ η'. *Τὸν ἐν καμίνῳ τοῦ πυρὸς*

Τῆς ἐγκρατείας τῇ τρυφῇ
ἐλιπάνθης τὴν ψυχήν,
θεόφρον πάτερ,
καὶ νεκρώσας τὸ σῶμα
συνεσταυρώθης Χριστῷ
κραυγάζων· « ὑμνεῖτε τὸν Κύριον
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

Ὁ θεοδώρητος ποιμήν,
ὁ τῆς μάνδρας τοῦ Χριστοῦ
θερμὸς προστάτης,
ὁ τῶν λύκων διώκτης
καὶ ὀρθοδόξων φωστήρ,
τὸ πάντων μοναζόντων καύχημα,
μέμνησο ἡμῶν
πρὸς Θεὸν τῶν σὲ τιμώντων.

θεοτ. Καταφυγὴν καὶ ἀσφαλῆ
σωτηρίαν οἱ πιστοὶ
σὲ κεκτήμεθα·
διὸ ῥῦσαι κινδύνων
καὶ πειρασμῶν καὶ φθορᾶς

136 τὸν] τῶν Cc 139 πάντα] ὄντως Pa De 140 θαυμαστὰ πάναγνε De
heirm. η' EE 35, n. 47, Joannis 146 post Κύριον orat. varie intermittunt cdd. 154 τὸ] ὁ Cc 156 π.Θ. τὸν σῶν θρεμμάτων De 157 καὶ om. De 158-159 οἱ πιστοὶ σὲ] σὲ ἁγνὴ Pa σωτηρίας ἁγνῆ / πίστει κεκτήμεθα De

τοὺς πίστει ἀδιστάκτῳ σέβοντας
καὶ ὑπερυψοῦντας
Χριστὸν εἰς τοὺς αἰῶνας.

ᾠδὴ θ'. *Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον*

Λόγους ὡς λίθους τιμίους
προβαλλόμενος, πάτερ,
λαμπρύνεις θεηγόροις διδαχαῖς
τῆς ἐκκλησίας τὸν στέφανον
καὶ ποικίλους ἀγῶνας
καὶ ἄθλους ἐνστησάμενος, σοφέ,
ἐκ χειρὸς τοῦ Κυρίου
τὸν στέφανον ἀπείληφας.

f. 130 ‖ Ἐν τῇ τοῦ πνεύματος, πάτερ,
ἐκπυρούμενος ζέσει,
ἀντέστης παρρησίᾳ πρὸς ἐχθροὺς
καὶ ἀνεκήρυξας, ὅσιε,
τὰ τῆς οἰκονομίας
σύμβολα προσκυνεῖσθαι τοῦ Χριστοῦ,
ἐν τοῖς πίναξιν ὄντως
ἀξίως χαραττόμενα.

Οἱ διδαχαῖς σου καὶ πόνοις
στηριχθέντες τῇ πίστει,
παμμάκαρ, ἐκβοῶμεν τῷ Χριστῷ·
« ἔνθα μονὴ ἀναψύξεως
καὶ δικαίων λαμπρότης
σκηνώσας τὸν θεράποντα τὸν σόν,
ταῖς αὐτοῦ ἱκεσίαις
περίσωζε τὴν ποίμνην σου ».

162 ἀδιστάκτως Cc 164 τὸν σὸν ἄχραντον τόκον Pa De
heirm. θ' EE 34-35, n. 46, Joannis 167 -νης Cc σεμνύνης θ. ἀρεταῖς De 173 πάτερ] θεία Pa 179-180 διὸ πάντες σε ὕμνοις / τιμῶντες μεγαλύνομεν Cc 184 μοναὶ Pa De 188 τὴν ποίμνην σου περίσωζε Pa De

165-170 Ps. 20,3

θεοτ. * Σεσαρκωμένον τὸν Λόγον
τὸν πρὶν ἄσαρκον ὄντα,
καθὸ Θεὸς ὑπάρχει ἐκ Θεοῦ,
τέτοκας, μόνη πανύμνητε,
ἐπὶ ἀνακαινίσει
καὶ σωτηρίᾳ πάντων γηγενῶν·
διὸ πίστει σε πάντες
ἀπαύστως μεγαλύνομεν.

189-196 θεοτ. MR IV, 250; AHG V, 160 190 ἄσαρκον] ἄναρχον AHG V, 194 γηγενῶν] τῶν βροτῶν MR 195 πίστει] πιστοὶ MR 196 ἀπαύστως] ἐν ὕμνοις Pa MR; cd. De, vero, hoc θεοτ. praebet, quod ineditum videtur:

Σὲ προφητῶν αἱ χορεῖαι
θεϊκῇ ἐπιπνοίᾳ
πολυωνύμως μέλπουσιν, ἁγνή,
βάτον καὶ στάμνον καὶ τράπεζαν
καὶ νεφέλην καὶ ῥάβδον
καὶ κιβωτὸν καὶ ὄρος
καὶ σκηνὴν καὶ πανάχραντον πύλην,
ἐν ᾗ Χριστὸς διώδευσεν.

IN SANCTUM AGATHANGELUM

Synaxarium, 198: (Τῇ αὐτῇ ἡμέρᾳ) μνήμη τοῦ ἁγίου Ἀγαθαγγέλου.

Crypt. Δ.α. XIX = Cu, ff. (12-13ᵛ)

Ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε·
Σέβω γεγηθὼς Ἀγαθαγγέλου πόνους· ⟨Νικολ(άου)⟩.

Ἦχος πλ. β'.

ᾠδὴ α'. *Ὡς ἐν ἠπείρῳ πεζεύσας*

Συμφώνως πάντες ἐν ὕμνοις
τὸν ἀθλητὴν
τοῦ Χριστοῦ ὑμνήσωμεν,
συνελθόντες οἱ πιστοί·
νέμει γὰρ τοῖς πόθῳ τὴν αὐτοῦ
εὐφημοῦσιν ἑορτὴν
χάριν ἰάσεων.

Ἐμφρόνως σὺ τὰ τοῦ κόσμου
πάντα τερπνά,
μάρτυς, καταλέλοιπας,
τὸν σταυρόν σου δὲ λαβών,
ὥσπερ μόσχος, ὤμοις ἐν τοῖς σοῖς,
τῷ σωτῆρι καὶ Θεῷ
κατηκολούθησας.

---

tit. Τῇ αὐτῇ ἡμέρᾳ κανὼν τοῦ ἁγίου μάρτυρος Ἀγαθαγγέλου φέρων... e litteris autem initialibus tropariorum odes θ' nomen hymnographi deducitur ΝΙΚΟΛ (scil. ΝΙΚΟΛ⟨ΑΟΥ⟩)
heirm. α' EE 159, n. 224, Joannis

11-14 Matth. 16,24

Βίου πολλαῖς ἐπηρείαις
καὶ πειρασμῶν
ταῖς ἐπαναστάσεσι,
τῶν παθῶν ταῖς προσβολαῖς
καὶ ἐχθρῶν ποικίλαις μηχαναῖς
συνεχόμενον, ταῖς σαῖς
ῥῦσαί με, μάκαρ, λιταῖς.

θεοτ. Ὢ θαῦμα, πάναγνε κόρη!
πῶς ἐν σαρκὶ
τὸν Θεὸν γεγέννηκας,
τὸν διδοῦντα τὴν τροφὴν
τοῖς βροτοῖς θελήματι αὐτοῦ,
πῶς δὲ ἔμεινας παρθένος
μετὰ κύησιν;

ᾠδὴ γ'. *Οὐκ ἔστιν ἅγιος ὡς σύ,*

Γένος, προσπάθειαν, τρυφήν,
κοσμικὴν πᾶσαν δόξαν
καταλέλοιπας, μάρτυς,
καὶ τῷ κλήματι Χριστοῦ
περιτυχὼν ὑπ' αὐτοῦ
σὺν μαρτύρων
τῷ πλήθει βεβάπτισαι.

(f. 12v) || Ἐκ τῶν πλουσίων δωρεῶν
τῶν τοῦ πνεύματος, μάρτυς,
εἰληφὼς θείαν χάριν
τοῦ ἰᾶσθαι τῶν βροτῶν

---

heirm. γ' EE 159, n. 224, Joannis

---

32 PG 114, 840: ... ὁ μέντοι γενναῖος Κλήμης, τὸ εὐγενὲς ὡς ἀληθῶς τοῦ Χριστοῦ κλῆμα...
35 PG 114, 848: ... ἦν γὰρ (ὁ Ἀγαθάγγελος) καὶ πρῶτος τῶν ὑπ' αὐτοῦ (τοῦ Κλήμεντος) τηνικαῦτα βαπτισαμένων...

---

32 Joh. 15,5

τὰ πάθη θεουργικῇ
ἐπισκέψει,
ἴασαι κἀμὲ σὺν αὐτοῖς.

Γήθεται Ῥώμη ἐν τοῖς σοῖς
αἰκισμοῖς, ἀθλοφόρε
Ἀγαθάγγελε μάρτυς,
καὶ κομπάζει ἐπὶ σοί,
ὡς ἐξ αὐτῆς ἀληθῶς
εἰληφότι
τὰ τροφεῖα, ἔνδοξε.

θεοτ. Ἦλος διῆλθεν ἐν τῇ σῇ,
θεοτόκε, καρδίᾳ,
καθὼς ἔφησε πάλαι
ὁ πρεσβύτης Συμεών,
ὅτε κατεῖδες σταυρῷ
τὸν υἱόν σου
καὶ Θεὸν τεινόμενον.

ᾠδὴ δ'. *Χριστός μου δύναμις*

Θέλων ὁ Κύριος
δεῖξαι τὸ πρόθυμον
τῆς σῆς πίστεως, μάρτυς,
ἐν τῇ νυκτὶ
τῆς σφαγῆς ἐρρύσατο,
ἵνα ἀξίως ἐπὶ σοὶ
θαυμαστώσῃ τὰ ἐλέη αὐτοῦ.

Ὠδὴν εὐχάριστον
Θεῷ ἀνέπεμπες,
Ἀγαθάγγελε μάρτυς,
ὅτε τὸν σὸν

50-56 trop. σταυροθεοτοκίον videtur 54 καθεῖδες
heirm. δ' EE 159, n. 224, Joannis

47-49 PG 114, 848: ... Ῥωμαῖος μὲν ὢν τὸ γένος, Ἀγαθάγγελος δὲ τὴν κλῆσιν...

50-54 Luc. 2,35

ἐφεῦρες διδάσκαλον
Κλήμην, τὸ κλῆμα τοῦ Χριστοῦ,
ἐν τῷ πλοίῳ καθεζόμενον.

Σῖτος γενόμενος
τοῦ βασιλέως Χριστοῦ,
Ἀγαθάγγελε μάρτυς,
ὑπὸ θηρῶν
ἔσπευδες ἀλήθεσθαι,
οὗτοι δὲ θείᾳ προνοίᾳ,
ὥσπερ κύνες, σοὶ προσέβαινον.

θεοτ. Ἁγία δέσποινα,
τῇ μεσιτείᾳ σου
τῶν πολλῶν μου πταισμάτων
ῥῆξον, ἁγνή,
τὸ δεινὸν χειρόγραφον
καὶ τῆς τρυφῆς τῶν δικαίων
καταξίωσον τὸν δοῦλόν σου.

ᾠδὴ ε'. *Τῷ θείῳ φέγγει σου, ἀγαθέ,*

Γήθεται Ἄγκυρα ἐπὶ σοί,
μάρτυς ἀθλοφόρε τοῦ Χριστοῦ,

---

heirm. ε' EE 159, n. 224, Joannis

68-70 PG 114, 848: ... Ἀγαθάγγελος... σύμπλους ἐνταῦθα τῷ μάρτυρι γίνεται· καταλαβὼν γὰρ τὸ πλοῖον δι' οὗ τῆς Ῥώμης αὐτὸς ἐκπλεῖν ἔμελλεν... Ὁ Ἀγαθάγγελος τοὺς μὲν στρατιώτας περί τε σφᾶς αὐτοὺς καὶ τὴν ναῦν ἀπησχολημένους ἰδὼν μόνον δὲ τὸν ἱερὸν Κλήμεντα προσευχόμενον κατὰ μόνας Θεῷ, πᾶσαν ὀφθαλμῶν αἴσθησιν κλέψας πλησίον ἐκείνου γίνεται καὶ λαβόμενος αὐτοῦ τῶν ποδῶν, τῆς ἐν τῇ φυλακῇ αὐτὸν ὁμολογίας ἀναμιμνήσκει καὶ τοῦ βαπτίσματος· εἶτα καὶ τὴν ἐκ τῆς σφαγῆς φυγὴν διηγεῖται, ὅπως τε προγνοίη τὸ πλοῖον, ὅπως τε ἔλθοι καὶ ὅπως ἐν αὐτῷ κρύπτοιτο ...

69 Cfr. v. 32.

71-77 PG 114, 853: ... οἱ δὲ (θῆρες) ἀνεθέντες τοὺς μὲν ἁγίους οὐδὲν τὸ παράπαν κακῶς ἐποίουν, ἀλλὰ καὶ ἡδὺ μᾶλλον καὶ ἥμερον εἰς αὐτοὺς ἑώρων, καὶ νῦν μὲν τὰ ἴχνη τούτων ἱλαρῶς περιέλειχον, νῦν δὲ καὶ προσήλλοντο προσηνῶς, οὐκ ἀνόμοια τοῖς κυσὶ ποιοῦντες, ἃ πρὸς τοὺς δεσπότας τοὺς ἑαυτῶν ἐκεῖνοι δρῶσι πολλάκις μετὰ χρόνον ἐπανιόντας...

80-82 Col. 2,14

ἐγκαυχωμένη τοῖς ἄθλοις σου
καὶ τῇ τῶν σῶν θείων
λειψάνων λάρνακι
ἀπαύστως μεγαλύνει
τὸν σὲ δοξάσαντα.

Ἅπασαν πόλιν, μάρτυς Χριστοῦ,
ὥσπερ ὁ θεσπέσιος Παῦλος,
περιελθὼν οὐ διέλειπες
νουθετεῖν τοῖς πᾶσι
τὸν Χριστὸν σέβεσθαι,
ὡς φύσει Θεὸν ὄντα
αὐτὸν καὶ Κύριον.

Θέαμα γέγονας, ἀθλητά,
πᾶσι τοῖς ὁρῶσί σε λαοῖς,
ὑπὸ πυρὸς μὴ καιόμενος,
ὥσπερ ἀδαμάντινος
καθιστάμενος,
δυνάμει τῇ τοῦ πνεύματος
δροσιζόμενος.

(f. 13) θεοτ. || Ἁγία δέσποινα, ἡ Θεὸν
τὸν ἐν τοῖς ἁγίοις ἀληθῶς
ἀναπαυόμενον τέξασα,
τοῦτον ἐκδυσώπει
κατοικτειρῆσαί με
τοῖς πάθεσι τοῦ βίου
κλυδωνιζόμενον.

ᾠδὴ ς'. *Τοῦ βίου τὴν θάλασσαν*

Γέγονας, μακάριε,
καὶ τῷ βίῳ ἐμφανὴς

---

114 ἐμφανεῖς
heirm. ς' EE 159, n. 224, Joannis

99-105 PG 114, 873: ...ἀλλὰ καὶ εἰς αὐτὴν (τὴν κάμινον) ἐμβληθέντες ἡ θεία χάρις αὐτοὺς ἐδρόσιζεν...

92-95 Act. 15,36,41

καὶ τῷ κόσμῳ περίδοξος·
τῆς γὰρ Ῥωμύλου πόλεως, ἀθλητά,
πολίτης γεγένησαι,
κορυφαῖος τῷ ὄντι ἐνδεικνύμενος.

Γῆ μὲν νῦν τὸ σῶμά σου
κεκτημένη, ἀθλητά,
ἀρωματίζει ἴασιν
τοῖς πιστῶς προσλαμβάνουσιν ἐξ αὐτῆς,
τὸ πνεῦμα δέ, ἅγιε,
οὐρανὸς σὺν ἀγγέλοις ἔχων γέγηθεν.

Ἐκλύειν πειρώμενος
σοῦ τὸν τόνον τῆς ψυχῆς,
Ἀγριππῖνος ὁ ἔπαρχος
τοῖς ξύλοις ἐκταθέντα σε ἀφειδῶς
κελεύει τοῦ τύπτεσθαι
τοῖς ἀγρίοις, θεόφρον Ἀγαθάγγελε.

θεοτ. Λύτρωσαι, πανάμωμε,
πάσης βλάβης τοῦ ἐχθροῦ
τοὺς ἐπὶ σοὶ προσφεύγοντας
καὶ τῇ σῇ μεσιτείᾳ πάντας αὐτοὺς
τειχίσασα φύλαττε
ἀσινεῖς, θεοτόκε, ῥυπαρῶν ἐκ παθῶν.

ᾠδὴ ζ'. *Δροσοβόλον μὲν τὴν κάμινον εἰργάσατο*

Ὁ βικάριος Δομέτιος παρίστασθαι
κελεύει σε τῷ βήματι,

---

125 πειρόμενος
heirm. ζ' EE 159, n. 224, Joannis

125-127 PG 114, 829: ... ὑποχαλάσαι τὸν τόνον αὐτοῦ τῆς ἀνδρείας βουλόμενος ὁ ἄρχων...
PG 114, 873: ... εἴ πως, φησί, κἂν ὁ μεταξὺ χρόνος ὑπολύσει τὸν τόνον αὐτοῖς καὶ τῆς προθυμίας τὸ διάθερμον ἀμβλυνεῖ...
127-130 PG 114, 853: ... τότε Ἀγριππῖνος κελεύει... Ἀγαθάγγελον δὲ βουνεύροις ὑπὸ δημίων ὠμότατα τύπτεσθαι...
137-138 PG 114, 864: ... βικαρίῳ τινὶ τῶν Ἀμισηνῶν ἀρχὴν τὸ τηνικαῦτα (Δομέτιος αὐτῷ ὄνομα)...

ἡττηθῆναί σε
ὑποπτεύων, μάρτυς τοῦ Χριστοῦ,
αἰκίαις βασάνων χαλεπῶν,
ἐψεύσθη μᾶλλον δὲ αὐτὸς
ἐκ τῆς ἐλπίδος αὐτοῦ.

Ὑπὸ θείας σὺ προνοίας ὁδηγούμενος,
Ἀγαθάγγελε, μάρτυς Χριστοῦ,
τὸ φερώνυμον
τῆς ἀμπέλου κλῆμα τοῦ Χριστοῦ
κατέλαβες καὶ συναθλητὴς
μετ' αὐτοῦ γέγονας σαφῶς,
θεομακάριστε.

Πόνοις σοῖς τὸν παλαμναῖον ἐτραυμάτισας,
Ἀγαθάγγελε, μάρτυς Χριστοῦ,
καὶ στρεβλούμενος
τὰς αὐτοῦ διέλυσας στερρῶς
βουλάς τε καὶ στρέβλας, ἀθλητά·
ὅθεν κἀμὲ τῆς ἐξ αὐτῶν
κακίας λύτρωσαι.

θεοτ. Οὐρανὸς ἐπὶ τῆς γῆς σὺ ἐχρημάτισας,
τὸν οὐρανοῦ καὶ γῆς ποιητὴν
ἀποτέξασα,
ὃν δυσώπει πάντας πειρασμῶν
ῥυσθῆναι τοὺς μέλποντας αὐτῷ·
« εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

ᾠδὴ η'. *Ἐκ φλογὸς τοῖς ὁσίοις*

Νυσταγμὸν ἀσεβείας,
μάρτυς, διέκοψας

---

163 post εὐλογητὸς orat. detruncat cd.
heirm. η' EE 159, n. 224, Joannis

144-150 Cfr. vv. 68-70. 147 Cfr. v. 32.
151 PG 114, 853: ...τοὺς μὲν οὖν ἁγίους οὐδὲν οἱ θῆρες εἰργάζοντο πονηρόν, Ἀγριππίνῳ δὲ τὴν καρδίαν ἰσχυρῶς ἔπληττον...

τῇ σοφίᾳ τῶν λόγων
(f. 13v) τῶν ‖ σῶν καὶ ἤγαγες
πρὸς ἐπιστροφὴν
ἱκανὰ πλήθη χαίροντα
καὶ δοξολογοῦντα
Χριστὸν τὸν ζωοδότην.

῾Ο δεινότατος ἄναξ
ἐν τῇ καμίνῳ σε
ἐμβληθῆναι κελεύει,
θεομακάριστε,
Μαξιμιανός,
ὁ Χριστὸς δὲ ὡς δρόσον σοι
τὴν ψεκάδα, μάρτυς,
ἐν τῇ καμίνῳ πέμπει.

῾Υπὲρ φύσιν βροτείαν
τὰ σὰ παλαίσματα,
ὑπὲρ ἔννοιαν πᾶσαν
τὰ κατορθώματα,
ἃ ἐπὶ τῆς γῆς
ὥσπερ ἄσαρκος ἤνυσας,
κλέος τῶν μαρτύρων,
᾿Αγαθάγγελε μάρτυς.

θεοτ. * Συναφείας τοῦ Λόγου
πρός με τὸν ἄνθρωπον
ἐνδιαίτημα θεῖον,
πάναγνε, πέφηνας,
λάμψασα σαφῶς
παρθενίας λαμπρότητι·
ὅθεν σε ὑμνοῦμεν
εἰς πάντας τοὺς αἰῶνας.

189-196 θεοτ. PaR, 465 192 πέφηνας] πέφυκας PaR 194 λαμπρότησιν PaR

173-180 PG 114, 872-873: ... Κάμινος ὑπὸ τοῦ Μαξιμιανοῦ τοῖς ἁγίοις ἀνήπτετο τῆς Χαλδαίων παρὰ πολὺ μείζων. ᾿Αλλὰ καὶ εἰς αὐτὴν ἐμβληθέντας ἡ θεία χάρις αὐτοὺς ἐδρόσιζεν...

ᾠδὴ θ′. *Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον*

Νεκρὸς γενόμενος, ᾿Αγαθάγγελε,
διὰ Χριστόν,
νεκροῖς ζωὴν παρέχεις αἰτούμενος
τῇ πρεσβείᾳ σου, θεομακάριστε·
ὅθεν κἀμὲ θανέντα
ταῖς παραβάσεσι
πρόφθασον, ἐξέγειρον αὐτῶν
καὶ ζωοποίησον.

᾿Ισχὺν καὶ κράτος τοῦ πολεμήτορος
ὑπὸ Χριστοῦ
ῥωννύμενος τελείως διώλεσας,
᾿Αγαθάγγελε, καὶ νίκης στέφανον
ὡς νικητὴς ἐδέξω·
ὅθεν αἰτοῦμέν σε
καὶ ἡμᾶς πατῆσαι τὰς αὐτοῦ
παγίδας ποίησον.

Κρουσθεὶς τῷ ξίφει, θεομακάριστε,
τὴν σὴν ψυχὴν
εἰς χεῖρας ἐναπέθου τοῦ πλάσαντος·
ἐπιβὰς γὰρ τεθρίππῳ ὡς ἅρματι
τῷ σῷ αἵματι, μάρτυς,
εἰς αὐτὸν ἔφθασας
τὸν θρόνον τοῦ πάντων ποιητοῦ,
ὦ ᾿Αγαθάγγελε.

῾Ο δοὺς τὸ σῶμά σου διὰ Κύριον
τοῖς αἰκισμοῖς
πυρί τε καὶ θηρσὶ γενναιότατα,
παριστάμενος αὐτὸν ἱκέτευε

---

heirm. θ′ EE 159, n. 224, Joannis

213-215 PG 114, 888: ...ἀπαγαγὼν αὐτὸν εἰς τὸν Κρυπτὸν ἐκεῖνον οὕτω καλούμενον τόπον, ξίφει τὴν μακαρίαν κεφαλὴν ἀποτέμνει...

πάντας τοὺς ἐκτελοῦντας
τὴν θείαν μνήμην σου
σώζεσθαι ποικίλων πειρασμῶν
καὶ περιστάσεων.

θεοτ. Λαβὶς τοῦ θείου ἄνθρακος γέγονας·
τὸν τοῦ Θεοῦ
υἱὸν γὰρ ἐν νηδύι σου, ἄχραντε,
ὑπεδέξω ἀρρήτως, ὡς οἶδεν αὐτός,
ἄνευ σπορᾶς ἀφθόρως·
ὅθεν ἐξόχως σε
ὑμνοῦμεν αἰσίαις ἐν φωναῖς,
θεομακάριστε.

229 Is. 6,6

IN SANCTOS GALACTIONEM ET EPISTEMEM MARTYRES

Synaxarium, 193-196: Γ α λ α κ τ ί ω ν ο ς καὶ Ἐ π ι σ τ ή μ η ς. Οὗτοι ὑπῆρχον ἐπὶ Σεκούνδου ἡγεμόνος. Τούτων ὁ Γαλακτίων υἱὸς ἦν Κλητοφῶντος καὶ Γλευκίππης ἀμφοτέρων ἑλλήνων. Στείρας οὖν οὔσης τῆς Γλευκίππης, διά τινος μοναχοῦ Ὀνουφρίου λεγομένου ἀγρευθεὶς εἰς τὴν πίστιν, ἐβαπτίσθη σὺν αὐτῇ καὶ ὁ ταύτης ἀνήρ· οἵτινες τῇ εὐχῇ καὶ τῇ δεήσει τοῦ μοναχοῦ ἀπέτεκον τὸν Γαλακτίωνα καὶ πᾶσαν πεῖραν γραμμάτων αὐτὸν ἐξεπαίδευσαν καὶ τελευταῖον γυναικὶ συζευγνύουσι λεγομένῃ Ἐπιστήμῃ, ἥτις διὰ τοῦ ταύτης ἀνδρὸς προσῆλθεν τῇ ἀληθινῇ πίστει. Καὶ αὐτοὶ τὴν παρθενίαν διετήρησαν καὶ τὰ αὐτῶν ἅπαντα τοῖς δεομένοις σκορπίσαντες τὸν μοναδικὸν ὑπεισῆλθον βίον, τῇ ἄγαν νηστείᾳ καὶ σκληραγωγίᾳ ἑαυτοὺς ἐκδεδωκότες. Διωγμοῦ δὲ πνεύσαντος κατὰ τῶν χριστιανῶν, συνελήφθησαν παρὰ τοῦ ἄρχοντος Οὔρσου καὶ ἐρωτηθέντες καὶ ἀντιπεσόντες, αὐτίκα ἀποδυθέντες τύπτονται σφοδρῶς καὶ καλάμους ὀξυνθέντας τοῖς ὄνυξιν ἐμπείρονται· καὶ μετὰ ταῦτα τέμνονται μαχαίρᾳ, χεῖρας καὶ πόδας. Τὸ δὲ τελευταῖον καὶ τὰς κεφαλὰς καρατομοῦνται, καὶ οὕτως ἐπληρώθη αὐτῶν ἡ μαρτυρία. . . . . .

Crypt. Δ.α. XIII	=	Cc,	ff. 126v-130
Crypt. Δ.α. XIX	=	Cu,	ff. 10v-12
Vat. gr. 2	=	V,	ff. 89v-91v
Mess. gr. 138	=	Mb,	ff. 14v-16
Mess. gr. 139	=	Ma,	ff. 73-75v
Paris. gr. 259	=	Pa,	ff. 48v-50

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Ζυγὴν ἀθλητῶν ἀζύγων μέλπειν θέμις· Ἰωσήφ.

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Τῷ ἐκτινάξαντι ἐν θαλάσσῃ*

Ζωοποιῷ Τριάδι, παμμάκαρ,
παρεστηκὼς χαρμονικῶς
καὶ ταῖς φανοτάταις ἀστραπαῖς ἐλλαμπόμενος,

tit. Ἕτερος κανὼν φέρων... Cc
heirm. α' EE 229, n. 328, Germani; heirm. integrum praebet Mb
3 ἐκλαμπόμενος Cc ἐλλαμπόμενοι V

αἴτησαι φωτισμὸν
τοῖς ἐκτελοῦσι τὴν σὴν ἁγίαν μνήμην.

Ὑπὸ τοῦ πνεύματος τοῦ ἁγίου
ἀναφλεχθείς σου τὴν ψυχήν,
ἔφλεξας τὰ πάθη τῆς σαρκὸς δι' ἀσκήσεως
καὶ ἔσβεσας τὴν πυρὰν
τῆς ἀθεΐας αἱμάτων σου τοῖς ὄμβροις.

Γένος καὶ πλοῦτον καὶ δυναστείαν
διὰ Χριστὸν καταλιπών,
ἦρας τὸν σταυρὸν ἐπὶ τῶν ὤμων σου, ὅσιε,
μονάσας θεοπρεπῶς
σὺν Ἐπιστήμῃ τῇ θείᾳ σου συζύγῳ.

θεοτ. Ἡ προστασία τῶν θλιβομένων,
ἡ σωτηρία καὶ ἐλπὶς
τῶν ἀπεγνωσμένων, θεοτόκε πανύμνητε,
ἱκέτευε ἐκτενῶς
τοῦ λυτρωθῆναι ἡμᾶς ἐκ τῶν κινδύνων.

f. 127 || ᾠδὴ β'. *Ἴδετε, ἴδετε*
ὅτι ἐγώ εἰμι ὁ Θεὸς ὑμῶν
ὁ πρὸ τῶν αἰώνων

Νύκτα παρέδραμες
παθῶν τοῦ σώματος πυρσευόμενος
φέγγει τῆς ἁγνείας

---

5 τὴν ἁγίαν σου μνήμην Cc 10 ὄμβροις] ῥείθροις Ma 13 ἐπὶ τὸν ὤμων σου Cu Ma 16-20 θεοτ. cfr. AHG VII, 242 16 θλιβομένων] δεομένων AHG 18 ἀπεγνωσμένων] ἀπελπισμένων AHG 18-20 ... θεοτόκε βοήθει μοι / ῥυσθῆναι πάσης ὀργῆς / καὶ ἐκ παντοίων δεινῶν ἐπερχομένων Ma
heirm. β' EE 226, n. 323, Germani; heirm. integrum praebet Mb 21-48 odem β' om. Cu 21 παρέδραμες] παρέμες Ma

---

11-12 AA.SS. Nov. III (1910), 35-38: ... ἦν τις ἀνὴρ ... εὐγενὴς καὶ ἔνδοξος ... ὃς ἐκόμα πλούτῳ πολλῷ καὶ περιφανὴς ἦν εἰς τὰς πέριξ πόλεις... ...κατέλιπον τὸν κόσμον καὶ τὸν πλοῦτον... καὶ ἠκολούθησαν τῷ Χριστῷ...

---

13 Matth. 16,24; 27,32

καὶ συνέπεισας τὴν σὴν
σύζυγον συνεῖναί σοι ἁγνῶς νεύσει κρείττονι,
μεθ' ἧς ἀθλήσας αὐλίζει
πρωτοτόκων ἐν σκηναῖς, μάρτυς ἔνδοξε.

Ἆθλα καὶ σκάμματα
ὑμῶν τίς δύναται διηγήσασθαι;
τῇ γὰρ ἐγκρατείᾳ
καθελόντες τὸν ἐχθρόν,
αἵμασιν ἀθλήσεως αὐτὸν ἐβυθίσατε
καὶ στέφος δικαιοσύνης,
ἀθλοφόροι τοῦ Χριστοῦ, ἀνεδήσασθε.

Θῦμα εὐπρόσδεκτον
σαυτὸν προσήγαγες δι' ἀσκήσεως,
πρότερον νεκρώσας
τῆς σαρκὸς τὰς ἡδονάς,
ἔπειτα πυρὶ ἐξοπτηθεὶς τῆς ἀθλήσεως,
ἀοίδιμε Γαλακτίων,
ἀσκητῶν καὶ ἀθλητῶν ἐγκαλλώπισμα.

θεοτ. Λῦσον καρδίας μου
τὸ ἐπικείμενον νέφος, πάναγνε·
λάμψον μοι ἀκτῖνα
μετανοίας ἀληθοῦς,
πύλη τοῦ φωτός, εὐλογημένη πανάμωμε,
καὶ δίδου ὡς ἐν ἡμέρᾳ
εὐσχημόνως ἐντολῶν Θεοῦ πορεύεσθαι.

ᾠδὴ γ'. *Ὁ στερεώσας λόγῳ τοὺς οὐρανοὺς*

Ἡμερινὸν ἀστέρα στειρωτικῶν
f. 127v ἐκ λαγόνων, μάρτυς, || σὲ προηγάγετο

---

24 συνέπεισας] συνένεσας V 29 διηγήσασθε Ma 34 ἀνεδύσασθε V 36 δι' ἀσκήσεως] τῷ Κυρίῳ σου V 37 τῶν παθῶν νεκρώσεις V 43 πάναγνε] ἄχραντε Ma
heirm. γ' EE 226, n. 324, Germani; heirm. integrum praebet Mb
50 προσηγάγετο Cc

47-48 Rom. 13,13

ἡ σὲ τεκοῦσα τὴν νύκτα
τῆς πολυθεΐας σκεδάζοντα.

Τῷ τῆς ἁγνείας φίλτρῳ περισχεθείς,
παρθενεύειν πείθεις σὺν σοὶ τὴν σύζυγον,
μεθ' ἧς ἀθλήσας νομίμως,
μάρτυς Γαλακτίων, δεδόξασαι.

Ὢ γυναικὸς πρὸ πείρας μαρτυρικῆς
μυηθείσης πάντα τὰ συμβησόμενα
ἀποκαλύψεσι θείαις
καὶ καταβαλούσης τὸν τύραννον!

θεοτ. Νενεκρωμένον πάθεσι βλαβεροῖς
ζωοποίησόν με, ζωὴν κυήσασα
τὴν διαλύσασαν, κόρη,
πᾶσαν τοῦ θανάτου τὴν δύναμιν.

Κάθισμα.

Ἦχος δ'. *Ταχὺ προκατάλαβε*

Ἀσκήσει λαμπρύνας σου

. . . .

ᾠδὴ δ'. *Ἐξ ὄρους κατασκίου*

Ἄρνες λογικοὶ
ἐδείχθητε ποιμένι

---

52 σχεδάζοντα V 55 ἣ συναθλήσας ν. Ma 60 καταβαλλούσης Pa 61 βλαβεροῖς] σαρκικοῖς V χαλεποῖς Ma 63 ἡ διαλύσασα κόρη Cc; post odem γ' κάθ(ισμα) nuntiat scriba in Cc, sed spatium vacuum reliquit; ἄλλο in eodem cd. post odem ς' invenies. Primum autem κάθ., quod inc. Ἀσκήσει λαμπρύνας σου, cdd. Cu Mb Ma Pa in principio acolouthiae cum sticheris proferunt MR II, 50; hoc κάθ. om. V

heirm. δ' similis videtur illi qui in EE 224, n. 321, Joanni tributus invenitur, sed quattuor priores versus numero syllabarum et rhythmo discrepant

---

57-69 AA.SS., 39: . . . τῇ οὖν νυκτὶ ἐκείνῃ, ἐν ᾗ συλληφθῆναι ἔμελλον οἱ ἅγιοι, ὁρᾷ ἡ μακαρία Ἐπιστήμη ὄναρ τοιοῦτον. Ἐδόκει γὰρ ἑστάναι ἐν τῷ παλατίῳ μετὰ τοῦ ἀνδρὸς αὐτῆς Γαλακτίωνος καὶ μετ' αὐτοῦ στεφανοῦσθαι ὑπὸ τοῦ βασιλέως . . .

τῷ παμβασιλεῖ
σαφῶς ἀκολουθοῦντες
καὶ πρὸς οὐράνιον μάνδραν στεφανηφόροι
μετὰ μαρτύρων ἐσκηνώσατε.

Ζεῦγος ἐκλεκτὸν
ἐφάνητε τεμόντες
αὔλακα σεπτοῦ,
γενναῖοι, μαρτυρίου
καὶ γεωργήσαντες στάχυν ταῖς ἀποθήκαις
τῶν οὐρανῶν διατηρούμενον.

f. 128 || Ὑπὲρ τοῦ Χριστοῦ
τεμνόμενοι, γενναῖοι,
πόδας, κεφαλὴν
καὶ ὄνυχας καὶ χεῖρας,
ἐξερριζώσατε πλάνην τῆς ἀσεβείας
καὶ νικηφόροι ἀνεδείχθητε.

θεοτ. Γλῶσσα γηγενῶν
οὐ σθένει ἀνυμνῆσαι
σὲ τὴν τοῦ Θεοῦ
λοχεύτριαν φανεῖσαν,
κυριοτόκε, πανάμωμε καὶ παρθένε,
χριστιανῶν τὸ καταφύγιον.

ᾠδὴ ε'. *Ὀρθρίζοντες βοῶμέν σοι, Κύριε,*

Ὡς γάλακτι τραφεὶς τῆς ἀσκήσεως,
Γαλακτίων,
εἰς πλήρωμα τέλειον
τῶν τοῦ Χριστοῦ παθῶν ἔφθασας.

---

71 ἐκλεκτῶν Cc 79 κεφαλὰς V 81 ἀσεβείας] ἀθεΐας Cu Mb 82 ἀνεδείχθητε Cc ἀπεφάνθητε cett. 87 καὶ παρθένε Cc παναγία cett. 87 θεοτόκε παρθένε εὐλογημένη Ma 88 χριστιανὸν Ma

heirm. ε' EE 226, n. 324, Germani 89 τραφεὶς] ἐτράφης Ma τῆς ἀσκήσεως] τῆς ἀθλήσεως Mb ἀοίδιμε Ma

---

89-90 Eph. 4,13

Νοὶ κεκαθαρμένῳ τεθέασαι,
Ἐπιστήμη,
ἀρθεῖσα μετάρσιος
τὴν τῶν ἁγίων κατάπαυσιν.

Μαρτύρων συναυλίας τυχόντες
ἐν τοῖς ὑψίστοις
ἀθάνατον εὔκλειαν,
ὁσιομάρτυρες, ηὕρατε.

θεοτ. Ἐκύησας ἐν χρόνῳ τὸν ἄχρονον,
παναγία,
γενόμενον ἄνθρωπον
διὰ τὸ σῶσαι τὸν ἄνθρωπον.

f. 128v ᾠδὴ ς'. *Χιτῶνά μοι παράσχου φωτεινὸν*

Λουτρῷ μετὰ τὸν θεῖον φωτισμὸν
ἀζύγων προσήλθετε,
τοῖς αἵμασιν ὕστερον
βαπτισθέντες, ἀθληταί, τελεώτερον.

Πολλαῖς σκληραγωγίαις τὴν ψυχὴν
λαμπρύνας ἀσκήσεως,
ὡραίαν ἀπέδειξας,
Γαλακτίων, τῷ φωτὶ τῆς ἀθλήσεως.

Ἐν ἅρματι τοῦ αἵματος ὑμῶν
ἐπέβητε, μάρτυρες,
καὶ νύσσαν ἐφθάσατε
τὴν οὐράνιον, ἐν ᾗ ἀναπαύεσθε.

---

95 μετάρσιως Ma 97 συναυλίαις Cc Ma 100 ηὕρατε Cc Cu V εὕρατε cett.

heirm. ζ' EE 224, n. 321, Joannis 105 Λουτρὸν Mb Pa τῶν θείων Ma τὸ θεῖον Pa φωτισμῶ Pa 106 ἀζύγω Ma προήλθετε Mb 107 αἵμασιν] βήμασιν V 116 ἀναπαύεσθαι Mb Ma

---

96 Hebr. 4,11

θεοτ. Ἰσότιμον ἐκύησας πατρὸς
υἱόν, ἀπειρόγαμε,
καὶ γάλακτι ἔθρεψας
τὸν τροφέα τοῦ παντὸς ὑπὲρ ἔννοιαν.

Κάθισμα.

Ἦχος δ'. Πρός· *Ταχὺ προκατάλαβε*

Ἀσκήσει λαμπρύνας σου
τὸ καθαρὸν τῆς ψυχῆς,
ἀκτῖσιν ἀθλήσεως
φωταγωγεῖς τοὺς πιστούς,
Γαλακτίων μακάριε·
ὅθεν σου τὴν ἁγίαν
καὶ φωσφόρον ἡμέραν
πίστει ἐπιτελοῦντες
εὐσεβῶς σοι βοῶμεν·
« ὡς ἔχων παρρησίαν πρὸς Χριστὸν
πρέσβευε σωθῆναι ἡμᾶς ».

Ἄλλο.

Ἦχος πλ. α'. Πρός· *Λάμπει σήμερον*

Θείῳ γάλακτι τῆς ἐγκρατείας ἐτράφης
καὶ φαιδρῶς πρὸς ἡλικίας τελείωσιν
τῶν Χριστοῦ παθημάτων ἔφθασας, μάρτυς,
σὺν Ἐπιστήμῃ τελέσας τὸν θεῖον δρόμον,
μεθ' ἧς πρεσβεύεις, Γαλακτίων,
f. 129 ‖ ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

---

117 πατρὶ Ma 120 ὑπὲρ ἔννοιαν] ὑπερύμνητε V

heirm. καθ. MR I, 174 10 Χριστὸν] Θεὸν Cu Mb Ma

κάθ. ἄλλο (sed in principio acolouthiae cum sticheris V) praebent Cc V; cett. cdd. idem om.; heirm. καθ. ἄλλου PaR, 383 3 παθημάτων] μαθημάτων V μάρτυς] μάκαρ V 5 πρεσβεύεις: fort. scribendum πρεσβεύοις

Κάθ. ἄλλο 2-3 Eph. 4,13

ᾠδὴ ζ'. *Ὁ δι' ἀγγέλου παῖδας*

Νενυμφευμένη Λόγῳ,
Ἐπιστήμη, τῷ θείῳ,
τούς σὲ γυμνῶσαι σπεύδοντας
ἀποτυφλοῖς ἀπίστους
καὶ μεταγνόντας τοῦ φωτὸς
τέκνα ἔδειξας.

Θῦσαι θεοῖς ἀψύχοις
ἀπειπάμενοι ὅλως,
τῷ ἀληθεῖ Θεῷ ἡμῶν
καὶ τῶν ψυχῶν δεσπότῃ
θυσία, μάρτυρες σεπτοί,
προσηνέχθητε.

Ἐπὶ πυρὰν βασάνων
προσαχθείς, Γαλακτίων,
τοῖς ὀχετοῖς τοῦ αἵματος
τῆς ἀθεΐας φλόγα,
μάρτυς, κατέσβεσας, σοφέ,
εὐλογῶν τὸν Θεόν.

θεοτ. Μετὰ τῶν ἄνω πάντων
οὐρανίων ταγμάτων
μεγαλοφώνως ἅπαντες
τὴν θεοτόκον κόρην
f. 129v οἱ σεσωσμένοι || δι' αὐτῆς
μακαρίσωμεν.

---

heirm. ζ' EE 228, n. 326, Andreae 138 Θεόν Cc: Χριστόν cett.

121-126 AA.SS., 40-41: ... « Γυμνώσατε τὴν μαινάδα ταύτην » ... λέγει τῷ τυράννῳ: ... « τυφλωθήτωσαν ὑμῶν οἱ ὀφθαλμοί, ἵνα μηδὲ ὅλως ἴδητέ μου τὴν γύμνωσιν ». Καὶ ἅμα τῷ λόγῳ τῆς ἁγίας ἐτυφλώθη ὁ ἄρχων εὐθὺς καὶ οἱ σὺν αὐτῷ πάντες. Τότε ἔκραξαν λέγοντες. « Σῶσον ἡμᾶς, ἁγία δούλη Χριστοῦ... ». Ἡ δὲ ... σπλαγχνισθεῖσα ἐπ' αὐτοῖς ἐπεκαλέσατο τὸν Θεὸν καὶ ἀνέβλεψαν παραχρῆμα πάντες καὶ ἐπίστευσαν ἐπὶ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν...

125-126 Eph. 5,8

ᾠδὴ η'. *Τὸν ἄναρχον*
βασιλέα τῆς δόξης

Ἰσότιμοι
τὴν ἁγνείαν καὶ ἴσοι
τὴν ἄσκησιν
καὶ τὴν ἄθλησιν ὄντες
τῶν ἴσων ἐκ Θεοῦ
ἐτύχετε βραβείων,
γενναῖοι ἀθλοφόροι.

Συνάφειαν
ἀφθορίᾳ τηρεῖτε
ποθήσαντες
τῶν ἀγγέλων τὸν βίον,
μεθ' ὧν χαρμονικῶς,
Κυρίου ἀθλοφόροι,
χορεύετε ἀξίως.

Ἱστάμενος
πρὸ βημάτων ἀνδρείως
ἐκήρυξας
ἕνα Κύριον, μάρτυς,
Θεὸν ἀληθινὸν
καὶ τῆς πολυθεΐας
κατέλυσας τὸ θράσος.

θεοτ. * Ὡς ἔντιμον
καὶ ὑπέρτατον θρόνον
ὑπάρχουσαν
τοῦ Θεοῦ τοῦ ὑψίστου
ὑμνήσωμεν, λαοί,
τὴν μόνην μετὰ τόκον
μητέρα καὶ παρθένον.

---

heirm. η' EE 229, n. 328, Germani 148 ὄντως Pa 153 ἀφθορίας Cu -ρίαν Ma 158 χορεύεται V 160 ἀνδρείως] ἀξίως Mb ἀδίκως Pa 166-172 θεοτ. MR V, 192 169 τοῦ Θεοῦ om. Ma τοῦ ὑψίστου] τὴν μητέρα MR 172 παρθένον φυλαχθεῖσαν V MR

f. 130 ᾠδὴ θ'. *Τὸν προδηλωθέντα*

Στῦλος καθωράθης,
θεόφρον, οὐρανομήκης,
ἐκκλησίας θεμέλιος
καὶ πύργος εὐσεβείας
καὶ μαρτύρων καὶ ἀσκητῶν, Γαλακτίων,
ἔρεισμα καὶ θεῖον ἐγκαλλώπισμα.

Ἤνθησας λειμῶνι
παρθένων καθάπερ ῥόδον
καὶ κοιλάσι μαρτυρικαῖς
ἡδύπνοον ὡς κρίνον,
Ἐπιστήμη, παρθενομάρτυς Κυρίου·
ὅθεν σε συμφώνως μακαρίζομεν.

Φέγγει τρισηλίου
λαμπάδος πεπυρσευμένοι,
πρὸς αὐτὴν μετέβητε νῦν
υἱοὶ φωτὸς δειχθέντες
καὶ πρεσβεύετε φωτισμὸν δωρηθῆναι,
μάρτυρες, τοῖς πίστει εὐφημοῦσιν ὑμᾶς.

θεοτ. * Σὺ εἶ, θεοτόκε,
τὰ ὅπλα ἡμῶν καὶ τεῖχος·
σὺ εἶ ἡ ἀντίληψις
τῶν εἰς σὲ προστρεχόντων·
σὲ καὶ νῦν εἰς πρεσβείαν κινοῦμεν,
ἵνα λυτρωθῶμεν τῶν ἐχθρῶν ἡμῶν.

---

heirm. θ' EE 229, n. 328, Germani 174 οὐρανομήκεις V 179 λειμόνων V 180 καθάπερ] ὥσπερ τὸ V 181 μαρτυρικοῖς Mb 187 αὐτὴν] αὐτὸν Cu Mb μετέβηται V νῦν om. Cc 189 πρεσβεύεται V δωρεθῆναι V Mb 191-196 θεοτ. MR II, 270; cfr. etiam in hoc vol. canonem X, 281-286 193 ἡ om. V Ma Pa

---

188 Luc. 16,8; Eph. 5,8

IN SANCTUM PAULUM CONFESSOREM

Synaxarium, 197: Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου Κωνσταντινουπόλεως Π α ύ λ ο υ τοῦ ὁμολογητοῦ. Οὗτος ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν ἐκ τῆς Θεσσαλονικέων ὥρμητο πόλεως, ὑπογραφεὺς γενόμενος Ἀλεξάνδρου τοῦ ἁγιωτάτου πατριάρχου Κωνσταντινουπόλεως. Τοῦτον οἱ ὀρθόδοξοι μετὰ τὴν κοίμησιν Ἀλεξάνδρου προχειρίζονται ἀρχιεπίσκοπον Κωνσταντινουπόλεως, τοῦ Κωνσταντίου ἐν Ἀντιοχείᾳ διάγοντος. Καταλαβὼν δὲ ὁ Κωνστάντιος ἐξ Ἀντιοχείας τὴν Κωνσταντινούπολιν, ἐκβάλλει τοῦτον τοῦ θρόνου. Ὁ δὲ πρὸς τὴν Ῥώμην ἀφίκετο μετὰ Ἀθανασίου ἀρχιεπισκόπου Ἀλεξανδρείας. ..... αὖθις παρὰ τοῦ βασιλέως ἐκβάλλονται, σπουδῇ τῶν Ἀρειανῶν συμφρονοῦντος αὐτοῖς. ..... καὶ πάλιν ἐκ τῶν ἰδίων θρόνων ἐλαύνονται. ..... Μετὰ δὲ τὸ ἀναιρεθῆναι τὸν Κώνσταντα ἐν τῇ Ῥώμῃ πάλιν ἐκδιώκονται τῶν ἐκκλησιῶν· καὶ ὑπερορίζεται ὁ ἅγιος Παῦλος ἐν Κουκουσῷ τῆς Ἀρμενίας καὶ καθείργυται ἔν τινι δωματίῳ, ἐν ᾧ ὁ τοῦ ἔθνους ἡγούμενος τῇ τῶν Ἀρειανῶν συμβουλῇ τοῦτον ἀπέπνιξεν....

Codices qui diversis traditionibus eundem praebent canonem:

Mess. gr. 135 = N, ff. 158v (162v)-162 (166)
Paris. gr. 259 = Pa. ff. 55v-57

Ὁ κανών.

Ἦχος βαρύς.

ᾠδὴ α'. *Τῷ συνεργήσαντι Θεῷ*

Ὡς μαθητὴν καὶ μιμητὴν
τῶν τοῦ Παύλου δογμάτων
τὸν ὁμώνυμον αὐτοῦ
σεπτῶς εὐφημήσωμεν
f. 159 (163) || συνελθόντες ἐν ᾄσμασιν.

---

tit. Ἕτερος κανὼν εἰς τὸν ἅγιον Παῦλον τὸν ὁμολογητὴν et in marg. Γερμανοῦ Pa

heirm. α' EE 202, n. 287, Germani; omnes heirmos integros profert N; troparia, quae etiam in Pa invenies similia, cfr. infra in canon. XIV (2) 3 τὸν] καὶ Pa αὐτοῦ om. Pa 4 σεπτῶς om. N

Σκεῦος ὑπάρχων ἐκλογῆς
μετὰ Παύλου ἐβόας
ὅτι « ζῇ ὁ Χριστὸς
ἐν ἐμοὶ ἡ ἀλήθεια,
δι' οὗ κόσμῳ ἐσταύρωμαι ».

θεοτ. * Ἡ διὰ λόγου ἐν σαρκὶ
ὑπὲρ λόγον τεκοῦσα
τὸν ἀρχηγὸν τῆς ζωῆς,
παρθένε, ἱκέτευε
σωθῆναι τὰς ψυχὰς ἡμῶν.

ᾠδὴ γ'. *Στερέωμά μου γενοῦ*

Ζηλωτὴς τῆς ἐνθέου
δειχθεὶς ὁμολογίας,
ὁμοούσιον πᾶσιν
ἐτράνωσας ἀνθρώποις
Υἱὸν τὸν συνάναρχον Πατρί τε καὶ σύνθρονον.

Τῇ τοῦ πνεύματος αἴγλῃ
τὸν νοῦν πεφωτισμένος,
τὸν τὸ ἅγιον Πνεῦμα
βλασφήμως ἀθετοῦντα
f. 159v (163v) κα||τῄσχυνας, τὸν ἄφρονα Μακεδόνιον.

θεοτ. * Παναγία παρθένε,
ἡ κεχαριτωμένη,
ἡ τεκοῦσα ἐν χρόνῳ
τὸν Λόγον ὑπὲρ λόγον,
δυσώπησον αὐτὸν σῶσαι τὰς ψυχὰς ἡμῶν.

8-9 ἐν ἐμοὶ / Χριστὸς Pa 10 δι' ὃν κόσμον ἐστέρωσε N 11-15 θεοτ. NS 28 (1933), 335; cfr. et AHG I, 360-361 14 παρθένε] ἀπαύστως NS
heirm. γ' EE 203, n. 288, Germani 20 υἱὸν τῷ συνανάρχῳ / πατρὶ καὶ πνεύματι Pa 21-22 cfr. infra vv. 44-45, 83-84 23 ἅγιον] πανάγιον Pa 26-30 θεοτ. MR III, 88; cfr. et AHG I, 363 28 post τεκοῦσα cetera om. Pa, vacuo spatio a scriba relicto

---

6 Act. 9,15 7-10 Gal. 2,20; 6,14 16-17 I Tim. 6,12

ᾠδὴ δ'. *Ἐκάλυψεν οὐρανούς, Χριστὲ ὁ Θεός,*

Ὑπὲρ Τριάδος θανὼν ὁ πάντοτε ζῶν
ἐν αὐτῇ, θεόφρον πάτερ,
τῆς ἐκκλησίας εὑρέθης
ὑπέρτιμον καλλώπισμα.

Ἐμπρέπων ποιμαντικαῖς σαφῶς ἀρεταῖς
εὐσεβείας βακτηρίᾳ
ἐπὶ νομὰς ζωηφόρους
τὸ ποίμνιον ὡδήγησας.

θεοτ. Ἐκύησας ἐν σαρκί, παρθένε ἁγνή,
τὸν πρὸ σοῦ ἄναρχον Λόγον
καὶ μετὰ σὲ ὑπὲρ λόγον
Θεὸν ἐνανθρωπήσαντα.

f. 160 (164) || ᾠδὴ ε'. *Ὀρθρίζει τὸ πνεῦμά μου πρὸς σέ, [Χριστὲ] ὁ Θεός,*

Τὸν Παῦλον ἐζήλωσας τοῖς δόγμασί σου,
τὸν νοῦν ἀστραφθεὶς
τῇ τοῦ πνεύματος αἴγλῃ,
δι' οὗ ἡμᾶς ἐφώτισας
καὶ Ἄρειον ἐσκότισας.

Τὸ κράτος τῆς πίστεως δεικνὺς ἀρραγές,
τὸν βλάσφημον νοῦν
τῆς Ἀρείου μανίας
ἐν ταύτῃ κατεπάτησας,
πατὴρ ἡμῶν, μακάριε.

---

heirm. δ' EE 203, n. 288, Germani 34 ὑπέρτιμον] ὑπέρτερον N
39-42 aliud θεοτ. praebet Pa, quod cfr. in canon. XIV(2),vv. 82-85
heirm. ε' EE 203, n. 287, Germani
heirm. 1 Χριστὲ om. EE 44 ἀστραφθεὶς] καταστραφθεὶς N 44-45 cfr. supra vv. 21-22 et infra vv. 83-84 46 δι' οὗ] δι' ἧς Pa

θεοτ. Παρθένε, μὴ παύσῃ ἱκετεύουσα
Θεὸν τὸν ἐκ σοῦ
γεννηθέντα ἐν σαρκὶ
λυτρώσασθαι τοὺς δούλους σου
ἐκ πάσης περιστάσεως.

f. 160v (164v) ᾠδὴ ϛ΄. *Τὰ δεσμά σου*
καὶ τὸ ἑκούσιον πάθος σου, Κύριε,

Τῆς Ἀρείου
κακοδοξίας ὑπάρχων ἀντίμαχος,
ζηλωτὴς ἀνεδείχθης
Ὀρθοδοξίας ὑπέρμαχος·
τὸν δὲ τῷ Πνεύματι τῷ ἁγίῳ βλασφήμως μαχόμενον
Μακεδόνιον στερρῶς θριαμβεύσας κατῄσχυνας.

Ἑωσφόρος
πνευματικὸς ἀνεδείχθης, μακάριε·
τῆς γὰρ Τριάδος τὴν γνῶσιν
ἐξανατείλας τοῖς πέρασι,
κακοδοξίας πᾶσαν ὁμίχλην στερρῶς ἀπεδίωξας
ἐφαπλώσας ἡμῖν ὡς ἀκτῖνας τὰ δόγματα.

θεοτ. Ὡς παρθένον
καὶ θεομήτορα πάντες ὑμνοῦμέν σε·
κιβωτὸς γὰρ ἐδείχθης
τοῦ ἐν χειρὶ τὰ πάντα συνέχοντος·
f. 161 (165) ‖ ἀλλὰ μὴ παύσῃ ὑπὲρ ἡμῶν δυσωποῦσα Χριστὸν τὸν Θεόν,
τὸν ἀφράστως ἐκ σοῦ σαρκωθέντα, τοῦ σῶσαι ἡμᾶς.

53-57 θεοτ. cfr. AHG VII, 216 56 τοὺς δούλους σου] τὴν ποίμνην σου Pa
heirm. ϛ΄ EE 210, n. 300, Cypriani monachi; heirm. integrum praebet Pa
73 τοῦ θεϊκοῦ ἁγιάσματος Pa

---

61 PG 116, 892: Παῦλος... ὁ τῆς εὐσεβείας ὑπέρμαχος...

Κάθισμα.

Ἦχος γ΄. Πρὸς τό· *Θείας πίστεως ὁμολογία*

Στῦλος γέγονας ὀρθοδοξίας
θείοις δόγμασιν ὑποστηρίζων
τὴν ἐκκλησίαν, ἱεράρχα, πατὴρ ἡμῶν·
τῷ γὰρ Πατρὶ τὸν Υἱὸν ὁμοούσιον
ἀνακηρύξας κατῄσχυνας Ἄρειον·
πάτερ ὅσιε,
Χριστὸν τὸν Θεὸν ἱκέτευε
δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

ᾠδὴ ζ΄. *Κάμινον καιομένην*
ἐδρόσισας, σωτήρ,

Κάμινον βλασφημίας
τοῖς ὄμβροις τῶν σοφῶν
δογμάτων σου κατέσβεσας
καὶ χαίρων ἀνεκραύγαζες·
« εὐλογητὸς εἶ
εἰς τοὺς αἰῶνας
[Κύριε] ὁ Θεὸς τῶν πατέρων ἡμῶν ».

Τοῦ πνεύματος τῇ χάριτι
f. 161v (165v) τὴν σὴν κα‖ταυγασθεὶς
διάνοιαν, μακάριε,
ἐφώτισας τὰ πέρατα
βοῶν ἀπαύστως·
« εὐλογητὸς εἶ
εἰς τοὺς αἰῶνας ὁ Θεός ».

Κάθ. om. Pa
heirm. καθ. MR II, 55; hoc κάθ. simillimum est ac ἀπολυτίκιον S. Athanasii MR V, 9, quod pro πατὴρ ἡμῶν v. 3 nomine Ἀθανάσιε utitur 7 post ἱκέτευε cetera om. cd.
heirm. ζ΄ EE 204, n. 289, Germani 82 Κύριε metri causa delevi 89 post αἰῶνας orat. detruncatur in N 80, 88 post εὐλογητὸς cetera praetermittit Pa 83-84 cfr. supra vv. 21-22, 44-45 87 πιστῶς κραυγάζων Pa

θεοτ. * Λύτρωσαι τὴν ποίμνην σου,
πανάχραντε παρθένε,
ἐκ πάσης περιστάσεως
ὡς μόνη προστασία
τοῦ γένους ἡμῶν,
εὐλογημένη,
θεοτόκε πανύμνητε.

ᾠδὴ η΄. *Τοὺς ἐν καμίνῳ παῖδας μιμούμενοι*

Τῆς ἀληθείας κῆρυξ γενόμενος,
τὰς βεβήλους γλώσσας κατήργησας
βοῶν, παμμακάριστε·
« εὐλογεῖτε τὰ ἔργα
Κυρίου τὸν Κύριον ».

Ὡς ἐντρυφῶν τοῖς λόγοις τοῦ πνεύματος
καὶ ἐκτρέφων πάντας τοῖς δόγμασιν
ἐβόας, μακάριε·
« εὐλογεῖτε [πάντα] τὰ ἔργα
Κυρίου τὸν Κύριον ».

θεοτ. Τὸν πρὸ αἰώνων Λόγον ἀμήτορα
ἐν σαρκὶ τεχθέντα ἀπάτορα
f. 162 (166) || ὑμνήσωμεν λέγοντες·
« εὐλογεῖτε τὰ ἔργα
Κυρίου τὸν Κύριον ».

90-96 θεοτ. MR III, 91 90 Λύτρωσαι] Περίσωζε Pa MR 91 παρθένε] ἁγνὴ Pa 96 πανύμνητε] παρθένε Pa
heirm. η΄ EE 203, n. 287, Germani 100 post εὐλογεῖτε in N post ἔργα in Pa orat. detruncatur 104 μάκαρ Pa vv. 105-106 praetermittit Pa 105 πάντα delevi post πάντα orat. detruncatur in N 110 post εὐλογεῖτε orat. detruncant cdd.

---

97 PG 116, 888: Παῦλος ὁ τῆς ἀληθείας κῆρυξ...

ᾠδὴ θ΄. *Τὴν ὑπὲρ φύσιν μητέρα*

Τὸν καθαιρέτην τῆς πλάνης
καὶ νικηφόρον ὁπλίτην,
τὸ τρόπαιον τῆς Χριστοῦ ὁμολογίας,
τὸν Παῦλον ὡς ἀληθῶς
εὐφημήσωμεν τὸν δεύτερον.

Τῶν ἀρετῶν σε ζωγράφον,
πάτερ, ἐπέγνωμεν πάντες,
τὸν κατ' εἰκόνα τοῦ Θεοῦ τυποῦντα βίον
οὐ χρώμασιν ὑλικοῖς,
ἀλλὰ δόγμασι τῆς χάριτος.

θεοτ. Τὴν ἐν γαστρὶ συλλαβοῦσαν
τὸν ἀπερίληπτον Λόγον
καὶ πύλην θείας ζωῆς ἡμῖν φανεῖσαν,
τὴν ἄχραντον ἀληθῶς
θεοτόκον μεγαλύνωμεν.

---

heirm. θ΄ EE 203, n. 287, Germani 112 τῆς πλάνης] τοῦ ψεύδους Pa
123 post Λόγον cetera om. Pa, spatio vacuo a scriba relicto

IN SANCTUM PAULUM CONFESSOREM

Paris. gr. 259 = Pa, ff. 55v-57

Ὁ κανών.

Ἦχος βαρύς.

ᾠδὴ α′. *Τῷ συνεργήσαντι Θεῷ*

Ὡς μαθητὴν καὶ μιμητὴν
.... = N 1-5

Σκεῦος ὑπάρχων ἐκλογῆς
.... = N 6-10

Τῇ τῶν δογμάτων σου νευρᾷ,
ἱεράρχα καὶ μύστα
τῆς ἀκηράτου ζωῆς,
τὸν βλάσφημον Ἄρειον
εὐσεβῶς ἀπηγχόνισας.

Ὡς ἀπαλείψας γνωστικῶς
τὸ τοῦ γράμματος πάχος
διὰ τῆς χάριτος,
τὰ βάθη τοῦ πνεύματος,
ἱεράρχα, κατώπτευσας.

---

tit. Ἕτερος κανὼν εἰς τὸν ἅγιον Παῦλον τὸν ὁμολογητήν; nomen hymnographi Γερμ(ανοῦ) in marg. scriptum est
heirm. α′ EE 202, n. 287, Germani

16-18 II Cor. 3,6

θεοτ. * Ἡ προστασία τῶν πιστῶν,
ἡ τῶν ἁμαρτανόντων
ἐπιστροφὴ πρὸς Θεόν,
παρθένε πανύμνητε,
τῇ πρεσβείᾳ σου σῶσόν με.

ᾠδὴ β′. *Πρόσεχε,*
οὐρανέ· φθέγξομαι γὰρ

Τὸ ποίμνιον
ἐν τοῖς θείοις ἐκτρέφων
δόγμασιν, ὅσιε,
τῷ συνανάρχῳ Πατρὶ τὸν Λόγον
ἐκδιδάσκεις
προσκυνεῖν ὁμοούσιον.

Ἀπέτεμες
τοῦ Ἀρείου τὴν γλῶσσαν
τὴν ματαιόφρονα
ἐν τῇ μαχαίρᾳ τῶν σῶν δογμάτων,
ἱεράρχα,
τῆς Τριάδος ὑπέρμαχε.

Ἐξήρανας
τὸ τῆς κακοδοξίας
πέλαγος, ὅσιε,
καὶ ποταμοὺς ἡμῖν ἀνέβλυσας
ὀρθοδοξίας
κατακλύζοντας Ἄρειον.

f. 56 θεοτ. ‖ ⟨Π⟩επλήρωνται
ἐπὶ σοί, παναγία,
⟨΄ — — ΄ — —
— — — ΄ — — — — ΄ —
— — — ΄ —
— — ΄ — — ΄ — —.⟩

21-25 θεοτ. PaR, 554 24 πανύμνητε] πανάμωμε PaR
heirm. β′ EE 204, n. 290, Andreae; odem β′ om. N 45 sqq. post παναγία vacuum spatium reliquit scriba, ita ut quattuor desint versus

ᾠδὴ γ'. *Στερέωμά μου γενοῦ,*
[Χριστὲ ὁ Θεός,]

50-54 Ζηλωτὴς τῆς ἐνθέου
.... = N 16-20

Ἀκατάπληκτον ἔχων
τὸ φρόνημα τῇ πίστει
ἀνδρικῶς τῷ τυράννῳ
φρονήματι ἀντέστης,
ὑπὲρ τῆς ἀληθείας θανών, μακάριε.

60-64 Τῇ τοῦ πνεύματος αἴγλῃ
.... = N 21-25

θεοτ. 65-69 * Παναγία παρθένε,
.... = N 26-30

ᾠδὴ δ'. *Ἐκάλυψεν οὐρανούς, Χριστὲ ὁ Θεός,*

70-73 Ὑπὲρ Τριάδος θανὼν ὁ πάντοτε ζῶν
.... = N 31-34

74-77 Ἐμπρέπων ποιμαντικαῖς σαφῶς ἀρεταῖς
.... = N 35-38

Τὸν κόσμον διαδραμὼν ὁ φθόγγος τῆς σῆς
θεϊκῆς ὁμολογίας,
τὴν ψυχοφθόρον Ἀρείου
μανίαν ἐξωλόθρευσεν.

---

heirm. γ' EE 203, n. 288, Germani heirm. 2 Χριστὲ ὁ Θεός om. EE
heirm. δ' EE 203, n. 288, Germani

---

78 Ps. 18,5

θεοτ. Ἱκέτευε τὸν ἐκ σοῦ, παρθένε ἁγνή,
ἐν σαρκὶ τεχθέντα Λόγον,
ἵνα τῷ κόσμῳ παράσχῃ
εἰρήνην καὶ τὸ ἔλεος.

ᾠδὴ ε'. *Ὀρθρίζει τὸ πνεῦμά μου πρὸς σὲ ὁ Θεός,*

86-90 Τὸν Παῦλον ἐζήλωσας τοῖς δόγμασί σου,
.... = N 43-47

91-95 Τὸ κράτος τῆς πίστεως δεικνὺς ἀρραγές,
f. 56ᵛ .... = N 48-52

Ἐπλήσθη ἡ γῆ τῶν διδαγμάτων σου·
διό σου, πάτερ,
τὴν ἐτήσιον μνήμην
πιστῶς πανηγυρίζουσα
δοξάζει τὸν σωτῆρα Χριστόν.

θεοτ. 101-105 Παρθένε, μὴ παύσῃ ἱκετεύουσα
.... = N 53-57

ᾠδὴ ϛ'. *Τὰ δεσμά σου*
καὶ τὸ ἑκούσιον πάθος σου, Κύριε,

106-111 Τῆς Ἀρείου
.... = N 58-63

112-117 Ἑωσφόρος
.... = N 64-69

θεοτ. 118-123 Ὡς παρθένον
.... = N 70-75

---

heirm. ε' EE 203, n. 287, Germani
heirm. ϛ' EE 210, n. 300, Cypriani monachi; heirm. integrum praebet cd.

ᾠδὴ ζ'. *Κάμινον καιομένην*

124-130 Κάμινον βλασφημίας
.... = N 76-82

131-137 Τοῦ πνεύματος τῇ χάριτι
.... = N 83-89

f. 57 ‖ Τῶν λόγων σου ἡ πρᾶξίς σου
μαρτύριον ὑπάρχει·
ἄμφω γὰρ διέλαμψας
Χριστοῦ τῇ ἐκκλησίᾳ
« εὐλογητὸς εἶ
— κραυγάζων, πάτερ, —
ὁ Θεὸς τῶν πατέρων ἡμῶν ».

θεοτ. 145-151 * Περίσωζε τὴν ποίμνην σου,
.... = N 90-96

ᾠδὴ η'. *Τοὺς ἐν καμίνῳ παῖδας μιμούμενοι*

152-156 Τῆς ἀληθείας κῆρυξ γενόμενος,
.... = N 97-101

157-161 Ὡς ἐντρυφῶν τοῖς λόγοις τοῦ πνεύματος
.... = N 102-106

θεοτ. 162-166 Τὸν πρὸ αἰώνων Λόγον ἀμήτορα
.... = N 107-111

ᾠδὴ θ'. *Τὴν ὑπὲρ φύσιν μητέρα*

167-171 Τὸν καθαιρέτην τοῦ ψεύδους
.... = N 112-116

---

heirm. ζ' EE 204, n. 289, Germani
heirm. η' EE 203, n. 287, Germani
heirm. θ' EE 203, n. 287, Germani

145 Περίσωζε] Λύτρωσαι N
167 τοῦ ψεύδους] τῆς πλάνης N

Οἱ τῶν δογμάτων σου λόγοι
τῇ ἐκκλησίᾳ, θεόφρον,
ἡδύνθησαν ἀληθῶς ὑπὲρ κηρίον
καὶ μέλι πνευματικὴν
ἀποστάζοντες γλυκύτητα.

Ὡς ἀμοιβὴν τῶν ἱδρώτων
τῶν ὑπὲρ τῆς εὐσεβείας
τὴν πρὸς Θεὸν κεκτημένος παρρησίαν,
ἱκέτευε ἐκτενῶς
τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

θεοτ. 182-186 Τὴν ἐν γαστρὶ συλλαβοῦσαν
τὸν ἀπερίληπτον Λόγον
.... = N 122-126

---

176 ἀποστάζοντα cd. secundum psalmi sensum
183 post Λόγον cetera om. cd., vacuo spatio a scriba relicto

174-176 Ps. 18,11

IN SANCTOS AUCTUM, TAURIONEM ET THESSALONICEM MARTYRES

Synaxarium, 202-204: Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Αὔκτου καὶ Ταυρίωνος καὶ Θεσσαλονίκης. Οὗτοι ἤθλησαν ἐν Ἀμφιπόλει τῆς Μακεδονίας· καὶ ἡ μὲν Θεσσαλονίκη πολλὰς βασάνους ὑπομείνασα, τὰ πεπυρωμένα βέλη τοῦ ἐχθροῦ δίκην ἀχύρων ποσὶ συνέτριψε. Αὕτη θυγάτηρ ἦν Κλέωνός τινος ἱερέως τοῦ Διονύσου, ἀνδρὸς περιφανοῦς τὸν βίον καὶ πλούτῳ κομῶντος. Ἀλλὰ ταῦτα τὴν παῖδα οὐκ ἐχαύνωσαν οὐδὲ τῆς τῶν χριστιανῶν πίστεως ἀπέστησαν. Πολλὰ γὰρ αὐτὴν λιπαρήσας ὁ ταύτης πατὴρ Κλέων οὐδὲν ἤνυσε. Διὰ τοῦτο ὠμοῖς δέρμασι τύπτεται ἐπὶ γυμνοῦ καὶ τὰς πλευρὰς καταθλᾶται· καὶ ἀλλοτριωθεῖσα τῶν προσόντων αὐτῇ πάντων, ὑπερόριος γίνεται παρὰ τοῦ ἰδίου πατρός. Αὔκτος δὲ καὶ Ταυρίων οἱ θεοσεβέστατοι πολλὰ κατειπόντες τοῦ βαρβάρου ἐκείνου, διαβάλλονται πρὸς Θορύβιον ὑπατικὸν ὡς χριστιανοὶ καὶ αὐτίκα ἀποδυθέντες τὸν χιτῶνα ῥαβδίζονται σφοδρῶς, ὥστε τὸ ἔδαφος ἅπαν φοινιχθῆναι τῷ αἵματι· εἶτα λίθοις βάλλονται ἐπὶ τοσοῦτον, ὡς νιφάδας χειμερίους νομίζεσθαι μᾶλλον ἤπερ λίθων βολάς· μετὰ ταῦτα ἐν καμίνῳ ἐμβάλλονται σφοδρῶς ἐκκεκαυμένῃ. Ὡς δὲ ἔμειναν ἀβλαβεῖς, τοῦ ὑετοῦ ταύτην ἀποσβέσαντος, τυφλωθεὶς ὁ τύραννος τὰς φρένας τοξεύεσθαι αὐτοὺς ἐκέλευσε συχνότερον· καὶ ὡς διέμειναν ἄτρωτοι, ἐν τῇ παρακειμένῃ ἐκεῖσε λίμνῃ ἐναπορρίπτονται, ἀλλὰ πάλιν θείᾳ ῥοπῇ ἐπὶ τὴν ξηρὰν ἀνεσώθησαν. Ὁ δὲ τύραννος ἀπορίᾳ κατασχεθεὶς ξίφει τὰς κεφαλὰς αὐτῶν ἀπέτεμεν.

Crypt. Δ.α. XIII	= Cc,	ff. 135v-139v
Crypt. Δ.α. III	= Cd,	ff. 37v-40
Crypt. Δ.α. XIX	= Cu,	ff. (21v)-(23v)
Vat. gr. 2	= V,	ff. 93v-96
Paris. gr. 259	= Pa,	ff. 62v-65

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Πανευκλεὲς σύστημα τιμῶ μαρτύρων· Ἰωσήφ.

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Ἆσμα ἀναπέμψωμεν, λαοί,*

Πίστει τοὺς τὴν ἄθλησιν ὑμῶν
τὴν εὐκλεῆ γεραίροντας,
μεγαλομάρτυρες,
πρεσβεύσατε ῥυσθῆναι
κινδύνων καὶ θλίψεων,
ἔχοντες παρρησίαν
πρὸς τὸν πάντων Θεὸν καὶ δεσπότην.

Ἄστρα τῷ τῆς γνώσεως φωτὶ
τὴν κτίσιν καταυγάζοντα,
μάρτυρες, ὤφθητε
καὶ σκότος τῆς ἀπάτης
ἐλαύνετε χάριτι·
ὅθεν τὴν φωτοφόρον
ὑμῶν μνήμην πιστῶς ἐκτελοῦμεν.

Νόμου δυσσεβούντων ἀναιδῶς
προεκτεθέντος σέβεσθαι
ἄψυχα ξόανα
οἱ μάρτυρες οὐδόλως
ἐφρόντισαν ἔχοντες
πίστιν ἀρραγεστάτην
πρὸς τὸν μόνον Θεὸν καὶ δεσπότην.

---

tit. Ὁ (om. Cu) κανὼν τῶν μαρτύρων Αὔκτου, Ταυρίωνος καὶ Θεσσαλονίκης φέρων... Cc Cu Ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε Pa; nomen hymnographi ΙΩΣΗΦ e tropariorum litteris initialibus θ' odes deducitur

heirm. α' EE 225, n. 323, Germani 2 εὐκλεεῖ Cu 2 γεράροντας Cc 4 ῥυσθῆναι] σωθῆναι Cu V Pa 10 ὤφθηται V 11 καὶ] τὸ Pa 12 ἐλαύνεται Cu 16 πρὸς ἐκτεθέντος V

6-7 Eph. 3,12; I Joh. ep. 3,21; 5,14

Ἔστη πρὸ βημάτων ἀνδρικῶς
Ταυρίων ὁ πολύαθλος,
Αὔκτος ὁ ἔνδοξος,
δυὰς ἡ φωτοφόρος
Τριάδα κηρύττουσα
καὶ τῆς πολυθεΐας
τὴν βαθεῖαν ἀπήλασε νύκτα.

θεοτ. Ὕψος μυστηρίου φοβεροῦ
καὶ βάθος ἀκατάληπτον
τίς ἐξισχύσειεν,
παρθένε, ἑρμηνεῦσαι;
Θεὸν γὰρ ἐγέννησας
ἄνθρωπον γεγονότα
ὑπὲρ πᾶσαν αἰτίαν καὶ λόγον.

f. 136 ᾠδὴ γ'. *Οὐρανίης ἁψῖδος*

Κατὰ ὄφεως μόνου
τοῦ δυσμενοῦς, ἅγιοι,
πάντα τὸν θυμὸν εὐθυβόλως
ἀποκενώσαντες,
θείαις ἐνστάσεσι
καὶ καρτερίᾳ βασάνων
τοῦτον ἐτροπώσασθε,
θεομακάριστοι.

Λαμπρυνθέντες μαστίγων
καλλοποιοῖς στίγμασι
καὶ ὡραιωθέντες βασάνων
ταῖς ἐπιδόσεσιν,
ὑπερηστράψατε
φωτοειδεῖς ὡς ἀστέρες,
ἀθλοφόροι μάρτυρες
θεοειδέστατοι.

---

22 ἀνδρικῶς] ἀκριβῶς V 23 πολύαθλος] πολύακτος V 26 κηρύττουσαι V 28 ἀπέλασαν V 31 ἐξιχνιάσειεν Cc
heirm. γ' EE 220, n. 315, Joannis 45 στίγμασι] στέμμασι Cu 48 ὑπερ ἠστράψατε Cu

Ἐπιμένοντας βλέπων
καὶ τοῦ Χριστοῦ ὄνομα
ἐπιβοωμένους ὁ πλάνος
πληγαῖς συνέκοψεν
ὑμῶν τὰ σώματα
τῇ θεϊκῇ συμμαχίᾳ
τὴν αὐτοῦ ὠμότητα
καταπαλαίσαντας.

f. 136ᵛ θεοτ. * ‖ Ἐπὶ σὲ καταφεύγω
διὰ παντός, δέσποινα,
πλήθει πειρασμῶν καθ' ἑκάστην
περικυκλούμενος·
οἴκτειρον, σῶσόν με
ἡ τὸν σωτῆρα τεκοῦσα
τοῦ παντὸς καὶ Κύριον,
μόνη πανύμνητε.

Κάθισμα.

Ἦχος δ'. Πρός· *Ταχὺ προκατάλαβε*

Ταυρίων ὁ ἔνδοξος
καὶ Αὔκτος ὁ θαυμαστὸς
πυρὶ ἀντετάξαντο
καὶ πάσαις ἄλλαις ποιναῖς
ἐν Χριστῷ δυναμούμενοι·
τούτους οὖν κατανύξει
εὐφημοῦντες καρδίας
πίστει τὴν παναγίαν
καὶ σεπτὴν αὐτῶν μνήμην
τελέσωμεν ψυχῶν φωτισμὸν ἀπαρυόμενοι.

---

53 τοῦ] τὸ Cd Cu Pa 59 καταπαλαίσαντα Cu Pa 60-67 θεοτ. PID, ρξθ' 60 σὲ] σοὶ Cd 62 πλήθη Cc Cu V
heirm. καθ. HR, 63
Κάθ. in principio acolouthiae praebent Cu V Pa, post ς' odem Cd 6 κατανύξει] -νοίξει Cc V 8 π. τὴν παναγίαν] π. τε τὴν ἁγίαν Cc 10 ἀπορρυόμενοι Pa

ᾠδὴ δʹ. *Εἰσακήκοα, Κύριε,*
τῆς οἰκονομίας σου τὸ μυστήριον

Συντριβόμενα σώματα
μάστιξι καὶ πόνοις οὐκ ἠλεήσατε
θείῳ ἔρωτι πυρούμενοι
τοῦ Θεοῦ καὶ Κτίστου, γενναιότατοι.

Σεαυτὴν τῷ ποιήσαντι
ἄφθορον, ἀμίαντον προσενήνοχας
διὰ βίου τελειότητος,
ὦ Θεσσαλονίκη καλλιπάρθενε.

f. 137 || Ὑπαρχόντων γεγύμνωσαι
καὶ τῶν γεννητόρων σαυτὴν ἐμάκρυνας,
τῷ Κυρίῳ ἐκολλήθης δὲ
δι᾽ αὐτὸν ἀθλοῦσα καρτερώτατα.

θεοτ. Συνεχόμενον κλύδωνι
τῶν ἁμαρτημάτων καὶ κινδυνεύοντα,
θεοτόκε, με κυβέρνησον
γαληνὸν πρὸς ὅρμον κατανύξεως.

ᾠδὴ εʹ. *Ἵνα τί με ἀπώσω*

Τοῖς ἀψύχοις θυσίαν
ἔμψυχα ὑπάρχοντες Κυρίου θύματα,
ἀθληταί, οὐδόλως
προσηγάγετε γνώμης στερρότητι·
ὅθεν πάντα πόνον
τῶν αἰκισμῶν καθυποστάντες
πρὸς τὴν ἄπονον λῆξιν μετέβητε.

heirm. δʹ EE 225, n. 322, Cosmae 68-75 trop. « Συντριβόμενα σώματα » et « Σεαυτὴν τῷ ποιήσαντι » inverso ordine praebet Cd 75 καλλιπάρθενε] παναμώμητε V 83 κατανύξεως] -νοίξεως Cc Cd
heirm. εʹ EE 219, n. 314, Joannis 87 προσηγάγεται (Cu) γνώμη V

78 IV Regn. 18,6

Ἡ ἀτίθασος γνώμη
τοῦ καταδικάζοντος ὀργῆς πεπλήρωται
καὶ λιθολευστεῖσθαι
τοὺς ἁγίους πικρῶς ἐγκελεύεται·
ἀλλὰ τούτους ὥσπερ
παῖδας πατὴρ φιλόπαις σῴζει
ὁ σωτήρ, δι᾽ ὃν πάσχειν προείλοντο.

Μιμηταὶ τοῦ πρωτάθλου,
Αὖκτε σὺν Ταυρίωνι, μάρτυρες ὤφθητε·
σωρηδὸν γὰρ λίθοις
ἀφειδῶς ὡς ἐκεῖνος βαλλόμενοι
τὸν Χριστόν, τὴν πέτραν
τὴν ἀρραγῆ, μέχρι θανάτου
οὐδαμῶς ἀπηρνήσασθε, ἅγιοι.

θεοτ. Ἁμαρτίας βαρέα
f. 137ᵛ πάντοτε περίκειμαι φορτία, || πάναγνε,
καὶ βοῶ σοι· « τούτων
μεσιτείᾳ με θείᾳ ἐλάφρυνον
καὶ ζυγόν με φέρειν
τὸν ἐλαφρὸν ἀνεμποδίστως
καταξίωσον, μόνη πανάμωμε ».

ᾠδὴ ϛʹ. *Τὴν δέησιν ἐκχεῶ πρὸς Κύριον*

Ταθεῖσάν σε ὁ γεννήτωρ, παρθένε,
κατῃκίζετο ὁρῶν νυμφευθεῖσαν
τῷ πλαστουργῷ

91 ἀττίθασος Pa 92 δικάζοντος Pa 93 λιθολευστεῖσθαι] -ῆσθαι Cc -σθῆναι Cu λιθοβολεῖσθαι V 94 ἐγκελεύετε Cu 96 πατὴρ] σωτὴρ V 97 διῶν Cc προείλοντο] -αντο Cc Cd προσήλωντο V 99 Αὖκτος Cc ὤφθηται V 104 ἅγιοι] ἔνδοξοι Cu Pa 105-111 θεοτ. memoria repetit quem in MR I, 565 invenies, sed tres ultimi versus dissimiles sunt 105 βαρέα] νῦν βάρει Cu βαρεῖα cett. 106 πάντοθεν Cd πάναγνε] ἄχραντε MR 108 με θ.] σου θ. Cd Cu V τῇ σῇ με MR 111 πανάμωμε] πανύμνητε Cu 109-111 σὺ γὰρ εἶ προστάτις / ἁμαρτωλῶν, δεδοξασμένη, / λυτρωτὴν καὶ σωτῆρα κυήσασα MR
heirm. ϛʹ EE 219, n. 314, Joannis 112 Τανθεῖσαν Cc Cd -θήσαν V παρθένε] πάναγνε V 113 κατηκίζετο] καταικίζετο Cc Cu

καὶ σωτῆρι τῶν ὅλων
τῇ παρὰ φύσιν κακίᾳ τῆς φύσεως·
τοὺς ὅρους γὰρ καταπατεῖ
καὶ σεπτήν σε ἐργάζεται μάρτυρα.

Ἰσχύι σου τοῦ τὰ πάντα ποιοῦντος
ἡ σεμνὴ Θεσσαλονίκη ῥωσθεῖσα,
τὸ ἀσθενὲς
τὸ τοῦ θήλεος, Λόγε,
νεανικῶς καὶ ἀνδρείως ἀπέθετο
καὶ ἤθλησε καρτερικῶς
καὶ θεώσεως θείας ἐπέτυχεν.

Μὴ εἴξαντες παρανόμῳ κελεύσει,
ἀπερρίφητε ἐν ὕδασιν ἄμφω·
τῇ δὲ χειρὶ
τοῦ τὸ πᾶν κυβερνῶντος
ἀκαταπόντιστοι, μάρτυρες, ὤφθητε
καὶ ἤχθητε πρὸς γαληνοὺς
σωτηρίας λιμένας γηθόμενοι.

θεοτ. Ὡραῖος ὡς ἐκ παστοῦ τῆς γαστρός σου
ὁ νυμφίος προελήλυθε Λόγος
καὶ τῶν βροτῶν
ὡραιώσας τὴν φύσιν
τῇ θεϊκῇ ἐπιγνώσει ἐλάμπρυνε
καὶ ἔλυσε τὸ εἰδεχθὲς
τῆς κακίας, παρθένε θεόνυμφε.

---

116 φύσιν] φύσει Cu V 118 ἠργάζετο Cc κατεργάζεται V σε om. V 119 Ἰσχύει Cc V 122 τὸ] τῷ Cu V 126 ἤξαντες Cc Cu 129 κυβερνῶντος] -νοῦντος Cc Cu V 130 ὤφθηται V 131 ἤχθηται V 132 σωτηρίους ex corr. V 137 τῇ ἐπιγνώσει ἐλάφρυνε πάναγνε V

---

126 Act. 23,3

f. 138 Κάθισμα.

Ἦχος πλ. δʹ. Πρός· *Τὸ προσταχθὲν μυστικῶς*

Ὑπὲρ Τριάδος καρτερῶς
ἐναθλήσασα
ἡ πανσεβάσμιος δυὰς
τῶν ἀθλοφόρων,
τῶν βραβείων ἐπέτυχε τῶν ἐπουρανίων
καὶ χαίρει ἀνεκλαλήτῳ ὄντως χαρᾷ
συνοῦσα τοῖς τῶν ἀγγέλων θείοις χοροῖς·
ταύτην οὖν μακαρίσωμεν
καὶ τὴν πανέορτον αὐτῆς
τελέσωμεν πανήγυριν,
ὅπως εὕρωμεν ἔλεος.

Ἄλλο. Πρός· *Τῶν φοβερῶν κυμάτων ἐπιλησθεὶς*

Τοὺς τρισαυγεῖς φωστῆρας τῶν ἀθλητῶν
καὶ τῆς εἰδώλων πλάνης προνομευτὰς
ἀξίως ἅπαντες οἱ συνελθόντες
εὐφήμως καταστέψωμεν
δεόμενοι βοηθείας,
Ταυρίωνα καὶ Αὐκτόν τε
ὡσαύτως καὶ Θεσσαλονίκην·
πρεσβεύουσι γὰρ ἀεὶ
ὑπὲρ ἡμῶν βοῶντες·
« σπεῦσον, σῶσον, Κύριε, τοὺς δούλους σου ».

---

heirm. καθ. HR. 223
Κάθ. in capite acolouthiae praebent Cu Pa, hoc om. Cd et V 3 δυὰς] πληθὺς Cu 9 αὐτῆς] αὐτῶν Cc 11 εὕρομεν Cu
heirm. καθ. ἄλλου PAS I, 107; hoc κάθ., quod οἶκος videtur, tantum in Cc invenies, ceteri cdd. om.

ᾠδὴ ζʹ. *Οἱ ἐκ τῆς Ἰουδαίας*

Μανικῶς ὁ διώκτης
εἰς παφλάζουσαν φλόγα
ὑμᾶς ἐνέβαλε
μὴ σπείσαντας εἰδώλοις,
μὴ κάμψαντας τὸ γόνυ,
ἀλλ' εὐρύθμως κραυγάζοντας·
« ὁ τῶν πατέρων ἡμῶν
Θεὸς εὐλογητὸς εἶ ».

Ἀδιστάκτῳ καρδίᾳ
τῇ πυρᾷ ἐπιβάντες, μακαριώτατοι,
ὡς πρὶν οἱ νεανίαι,
ἐφλέχθητε οὐδόλως,
ἀλλ' ἐσώθητε ψάλλοντες·
« ὁ τῶν πατέρων ἡμῶν
Θεὸς εὐλογητὸς εἶ ».

Ῥύμη τῶν ἐνεχθέντων
οὐρανόθεν ὑδάτων
f. 138ᵛ ἡ φλὸξ ‖ μὲν πέπαυται,
πληθὺς δὲ παρανόμων
ἀθρόως συνεπνίγη,
οἱ δὲ ἅγιοι ἔμελπον·
« ὁ τῶν πατέρων ἡμῶν
Θεὸς εὐλογητὸς εἶ ».

θεοτ. Τὴν ψυχήν μου τρωθεῖσαν
πονηρᾶς ἁμαρτίας
βέλεσιν οἴκτειρον,
τὸν νοῦν μου παραβάσει
δεινῶς ἀμαυρωθέντα

heirm. ζʹ EE 224, n. 321, Joannis 142 ἐνέβαλλεν Cu 143 σπείσαντας] θύσαντας V 146, 153, 161 post τῶν orat. varie intermittunt cdd. 155 ἀνεχθέντων V 159 συνεπνίγη] -γει Cc Cu V νῦν ἐπνήγη Pa 164 πονηρὰς Cu 165 οἴκτειρον] ἴασαι Cu V Pa

φωταγώγησον, δέσποινα,
τὸν φωτοδότην Χριστὸν
τεκοῦσα, θεοτόκε.

ᾠδὴ ηʹ. *Ἑπταπλασίως κάμινον*

Ὑπὲρ ζωὴν τὴν πρόσκαιρον
τὴν ἐκεῖ ἀγαπήσαντες,
διὰ πολυτρόπων αἰκισμῶν διήλθετε
πυρός τε καὶ ὕδατος
ἀναψυχὴν εὑράμενοι
τὴν τῶν οὐρανῶν ὡς ἀληθῶς βασιλείαν,
ἐν ᾗ καὶ μελῳδεῖτε·
« ἱερεῖς ἀνυμνεῖτε,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

Ῥῆμα τυράννου ἄθεον
προφανῶς ἐφαυλίσατε
καὶ τὴν ἀληθῆ ὁμολογίαν, ἅγιοι,
καλῶς διεσώσατε
καὶ πρὸς Θεὸν μετέβητε
τὸν ἀγωνοθέτην διὰ ξίφους τμηθέντες
καὶ πόθῳ μελῳδοῦντες·
« ἱερεῖς ἀνυμνεῖτε,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

Ὥσπερ ἀράχνης νήματα
τῶν ἐχθρῶν πανουργεύματα,
μάρτυρες γενναῖοι, εὐσθενῶς ἐλύσατε
νηπίων τοξεύματα

170 θεοτόκε] θεομήτωρ Cu V -τορ Pa
heirm. ηʹ EE 219, n. 314, Joannis 173 διήλθετε] -θατε V 178, 188, 198, (208) post ἱερεῖς orat. varie intermittunt cdd. 178 ἀνυμνεῖτε] εὐλογεῖτε Cu V 183 ἀληθεῖ V 185 τὸν Θεὸν V μετέβητε νῦν Pa 188 ἀνυμνεῖτε] εὐλογεῖτε Cu

194-195 Ps. 63,8

τὰ παρ᾽ αὐτῶν ἡγούμενοι·
ὅθεν ἀληθεῖς τροπαιοφόροι δειχθέντες
βοᾶτε εὐχαρίστως·
« ἱερεῖς ἀνυμνεῖτε,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

θεοτ. Νενεκρωμένην πάθεσι
καὶ πολλοῖς παραπτώμασιν,
ἄχραντε παρθένε, τὴν ψυχήν μου ζώωσον,
f. 139 || ζωὴν ἡ κυήσασα
τὴν τοῦ θανάτου λύσασαν
πᾶσαν τὴν ἰσχὺν διὰ παθῶν καὶ θανάτου,
καὶ δίδου μελῳδεῖν με
εὐχαρίστῳ καρδίᾳ·
« λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

ᾠδὴ θ′. *Ἔφριξε πᾶσα ἀκοή*

Ἴσχυσαν σώματι φθαρτῷ
τὸν ἀσώματον ἐχθρὸν οἱ ἀήττητοι
μεγαλομάρτυρες
καταπαλαῖσαι ἀγωνισάμενοι
καὶ νῦν τὴν ἄφθαρτον ζωὴν
κατεκληρονόμησαν,
Αὔκτος ὁ ἔνδοξος
καὶ Ταυρίων σὺν αὐτῷ ὁ ἀοίδιμος.

Ὡς ῥόδα μέσον τῆς φλογός,
παναοίδιμοι, ἀμάραντα ὤφθητε,
εὐωδιάσαντες

195 αὐτοῦ Pa 198 ἀνυμνεῖτε] εὐλογεῖτε Cu 202 παραπτώμασιν] ἀτοπήμασιν Cu V Pa 205 λύσαντα Pa 208 ἱερεῖς εὐλογεῖτε Cu
heirm. θ′ EE 222, n. 317, Joannis 211 σώμασι φθαρτοῖς Cu V Pa 212 ἀήττητοι] ἀήττοι V ἄττητοι Pa 213 μεγαλομάρτυρες] Κυρίου μάρτυρες Cd 218 κ. Τ. ἀληθῶς οἱ ἀοίδιμοι Cu ἀοίδιμος] ἄδικος Cd 221 εὐωδιάζοντα V

θεογνωσίᾳ πάντα τὰ πέρατα
καὶ τὸ δυσῶδες τῶν ἐχθρῶν
εὐτόνως ἠλάσατε
καὶ ὀβρυζότεροι
ἀνεδείχθητε χρυσοῦ θείᾳ χάριτι.

Σώματα τὰ καρτερικὰ
ἡ περίδοξος Ἀμφίπολις ἔκρυψεν
ὑμῶν, πανεύφημοι,
ὡς θεῖον ὄλβον ταῦτα πλουτήσασα
ἴασιν πᾶσι δαψιλῶς
πηγάζοντα χάριτι
καὶ ἀποπλύνοντα
τῶν σωμάτων καὶ ψυχῶν ἀρρωστήματα.

Ἥλιος ὥσπερ φωταυγὴς
ἡ πανέορτος ὑμῶν μνήμη ἐπέλαμψε,
μεγαλομάρτυρες,
πᾶσαν τὴν κτίσιν περιαυγάζουσα,
ἐν ᾗ δεόμεθα ὑμῶν
f. 139v θείαις πα || ρακλήσεσι
πάντας φωτίσατε
τοὺς ὑμᾶς περιχαρῶς μακαρίζοντας.

θεοτ. Φώτισον, πύλη τοῦ φωτός,
τὴν ψυχήν μου, ἣν ἐχθρὸς ἀπημαύρωσε
τοῖς παραπτώμασι
καὶ ταῖς τοῦ βίου πάσαις συγχύσεσι,
καὶ σκότους ῥῦσαι ἀφεγγοῦς
πυρός τε καὶ σκώληκος,
ἵνα δοξάζω σε,
θεοτόκε, τῶν βροτῶν ἡ ἀνάκλησις.

222 θεωγνωσίας V 225 εὐρυζότεροι Cc V -ζώτεροι Cd εὐροιζότεροι Cu 226 ἀνεδείχθηται V 230 πλουτίσασα Cc 231 πᾶσαν Cu 233 καὶ ἀποπλύναντα V 236 ἐπέλαμψε Cc 241 φωτίσαται Cu 242 περιχαρῶς] χαρμονικῶς Pa 248 πυρὸς καὶ κολάσεως Cu Pa 250 ἀνάκλισις Cu

θεοτ. Ἄχραντε,
θεοτόκε παρθένε,
ἱκέτευε ἐκτενῶς τοῦ σωθῆναι ἡμᾶς.

f. 136v ᾠδὴ γ΄. *Στερέωσόν με, Κύριε,*
ὁ τὴν ἀσθένειάν μου γινώσκων
καὶ χεῖρά μοι ἔκτεινον ὡς παντοδύναμος.

Ἠσθένησε καὶ ἔσωσε
τῶν τυράννων ἡ δυναστεία,
ἰσχὺν δὲ οἱ μάρτυρες περιεβάλοντο.

Στρατείαν τὴν ἐπίγειον
βδελυξάμενοι, οἱ ἀθλοφόροι,
οὐράνιον στράτευμα περιεβάλεσθε.

Τὴν κάμινον τοῦ σώματος
δι᾽ ἀθλήσεως οἱ γενναῖοι
κατέσβεσαν ὁμοῦ καὶ ἀπενέκρωσαν.

θεοτ. Θεοτόκε μῆτερ, πρέσβευε
τῷ υἱῷ σου καὶ Θεῷ ἡμῶν
σωθῆναι τὰς ψυχὰς ἡμῶν ⟨(—)— ⏑́ — —⟩.

f. 137 ᾠδὴ δ΄. *Εἰσακήκοα, Κύριε,*
τὴν ἀκοήν σου καὶ ἐφοβήθην

Καταπέλτας καὶ κάμινον
ἡ τῶν τυράννων ἐξεῦρε πλάνη
ἐκφοβῆσαι δὲ τοὺς μάρτυρας,
ἀλλ᾽ ᾐσχύνθησαν ψαλμικῶς καὶ ἔπεσον.

---

heirm. γ΄ EE 227, n. 326, Andreae 44 versus quattuor aut quinque syllabis caret; post odem γ΄ scriba notavit (κάθ.) τῶν λγ΄ μαρτύρων, sed, nihil adiciens, spatium quinque versuum reliquit
heirm. δ΄ EE 231, n. 331, Andreae

33-34 Ps. 26,2 35 Ps. 17,33; Prov. (29) 31,25 48 Ps. 19,9; 26,2

« Ἐπελευσόμεθα — ἔκραζον
οἱ ἀθλοφόροι — εἰς οἶκον δόξης
ὁλοκαύτωμα προσφέροντες
τὰς ψυχὰς ἡμῶν Χριστῷ τῷ Θεῷ ἡμῶν ».

Ψαλμικῶς οὖν συνέτριψαν
ἐν τῇ θαλάσσῃ οἱ ἀθλοφόροι
κεφαλὰς ἐχθρῶν καὶ ἔλαβον
τὸ ἔκπαλαι αὐτοῖς βραβεῖον ποθούμενον.

θεοτ. Χαῖρε μήτηρ, χαῖρε θρόνε,
χαῖρε λυχνία, χαῖρε νεφέλη,
χαῖρε στάμνε, χαῖρε τράπεζα,
χαῖρε ὄρος Θεοῦ, χαῖρε θεοτόκε ἁγνή.

f. 137v ᾠδὴ ε΄. *Ὀρθρίζοντες βοῶμέν σοι, Κύριε,*

Ἐμφράττετε τὰ στόματα, ἔνδοξοι,
τῶν τυράννων
καθ᾽ ὑμῶν κινούμενα
τῇ συνεργίᾳ τοῦ πνεύματος.

Καθείλατε εἰδώλων σεβάσματα,
ἀθλοφόροι,
ναοὺς τὰς ψυχὰς ὑμῶν
Θεοῦ ποιήσαντες, ἅγιοι.

Τοῖς κάμνουσι τὴν ῥῶσιν παρέχετε,
ἀθλοφόροι,
καὶ ψυχὰς ἐν πνεύματι
τῆς ἁμαρτίας λυτρούμενοι.

---

heirm. ε΄ EE 226, n. 324, Germani 61 ἐμφράττεται 72 τῆς] καὶ

---

49 AA.SS., 334: ...κατὰ δὲ τὴν ὁδὸν ὁ ἅγιος Ἱέρων ἔψαλλε σὺν αὐτοῖς τὸν ψαλμὸν τοῦτον...

---

50 Is. 6,1 53-55 Ps. 73,13-14 56 I Cor. 9,24 61-62 Job 5,16; Ps. 62,12 67-68 I Cor. 3,16

IN SANCTOS XXXIII MARTYRES MELITINENSES

Synaxarium, 201-202: Ἱέρωνος καὶ τῶν σὺν αὐτῷ λγ' μαρτύρων τῶν ἐν Μελιτινῇ μαρτυρησάντων. ... Οὗτοι ὑπῆρχον ἐπὶ Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ τῶν παρανόμων καὶ ἀσεβεστάτων βασιλέων ἐν Μελιτινῇ πόλει τῆς Ἀρμενίας. Διωγμοῦ δὲ καθολικοῦ γενομένου κατὰ τῶν χριστιανῶν καὶ πανταχοῦ ἀναιρουμένων τῶν εἰς τὸν Χριστὸν πιστευόντων, ἐκρατήθησαν καὶ αὐτοὶ παρὰ τοῦ τῆς Μελιτινῆς ἡγεμονεύοντος, καὶ πολλὰ τιμωρηθέντες καὶ διαφόροις βασάνοις προσομιλήσαντες οὐ μόνον οὐκ ἐπείσθησαν ἀρνήσασθαι τὸν Χριστὸν ἀλλὰ καὶ τὴν πλάνην τῶν εἰδώλων ἤλεγξαν ἀνδρειότατα· καὶ τὸν ἡγεμόνα καθύβρισαν ὡς ἄθεον καὶ ἀσεβῆ παράνομόν τε καὶ ἄδικον· ὅθεν κινηθεὶς ὁ ἡγεμὼν εἰς θυμόν, ξίφει τὰς τιμίας αὐτῶν ἀπέτεμε κεφαλάς.

Crypt. Δ.α. XIII = Cc, ff. 135v-139v

Ὁ κανών.

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Τὸν Ἰσραὴλ ἐκ δουλείας*

Ἀσματικὴν ἀνυμνοῦμεν
f. 136 τῶν μαρτύρων ἅπαν||τες
τὴν μνήμην ἐν ᾠδαῖς πνευματικαῖς·
δι' αὐτῶν γὰρ ἔχομεν
πταισμάτων τὴν συγχώρησιν.

Τῶν αἰκισμῶν τὸν χειμῶνα
τῇ θέρμῃ τοῦ πνεύματος

---

tit. Ἕτερος κανὼν τῶν λγ' μαρτύρων
heirm. α' EE 226, n. 324, Germani 1 ἀνυμνοῦντες

6-9 AA.SS. Nov. III (1910), 335: ... τὸν ... αἰφνιδίως ἀνυπέρβλητον χειμῶνα... ἀκτῖσι θείας ἐπιλάμψεως διασκεδάζουσα, ἐαρίζουσαν ἡμῖν δι' ἐλευθερίας ἡμέραν ἐπανατεῖλαι...

---

3 Eph. 5,19; Col. 3,16

ταθέντες διελύσατε ⟨— ⏑́⟩
καθ' ὑμῶν τὸ κρύος, σοφοί,
τῇ πίστει στερεούμενοι.

Τὸν ἐπιβούλευτον πλοῦτον
εὐσεβῶς μισήσαντες,
οὐράνιον ἐκτήσασθε ⟨— ⏑́⟩
διὰ τῆς ἀθλήσεως
πλοῦτον ἀνεπιβούλευτον.

θεοτ. * Διὰ παντός, θεοτόκε,
τὸν ἐκ σοῦ ἱκέτευε
ἀρρήτῳ λόγῳ σαρκωθέντα Θεὸν
πάσης περιστάσεως
σωθῆναι τὰς ψυχὰς ἡμῶν.

ᾠδὴ β'. *Πρόσεχε,*
οὐρανέ, καὶ λαλήσω
καὶ ἀνυμνήσω

Οὐκ ἔσβεσεν
ἡ πυρὰ τῶν βασάνων
τὸν τῆς ψυχῆς φωτισμὸν ὑμῶν, ἅγιοι.

Μὴ κάμψαντες
τορνευθείσῃ εἰκόνι
τὸ γόνυ οἱ ἀθληταὶ ἐστεφανώθησαν.

Ἐθήκατε
εἰς ὀσμὴν εὐωδίας
ὁλοκάρπωμα δεκτὸν τὰς ψυχὰς ὑμῶν.

8, 13 versus duabus syllabis carent 9 τὸ κρῦον 16-20 θεοτ. MR VI, 532; cfr. etiam AHG V, 293 20 λυτρώσασθαι τοὺς δούλους σου MR
heirm. β' EE 226, n. 324, Germani 29 ἡμῶν

24-26 Rom. 11,4 28 Eph. 5,2; Phil. 4,18

θεοτ. * Παρθένον μετὰ τόκον ὑμνοῦμέν σε,
θεοτόκε·
σὺ γὰρ τὸν Θεὸν Λόγον
σαρκὶ τῷ κόσμῳ ἐκύησας.

ᾠδὴ ϛ΄. Χιτῶνά μοι παράσχου φωτεινὸν

Εἰς πᾶσαν ἐξελήλυθε τὴν γῆν,
f. 138 ψαλμικῶς ὡς || γέγραπται,
ἡ ἔνδοξος ἄθλησις
τῆς ὑμῶν καρτερίας, γενναιότατοι.

Τὴν θάλασσαν τοῦ βίου ἀβλαβῶς
διῆλθον οἱ μάρτυρες·
Χριστὸν γὰρ ἐκέκτηντο
κυβερνήτην διαβάντα εἰς λιμένα ζωῆς.

Ἀγγέλων ἐμπλησθέντες τῆς τρυφῆς
διὰ τῆς ἀθλήσεως
καὶ στέφανον πλέξαντες
ἀφθαρσίας ἑαυτοῖς, παμμακάριστοι.

θεοτ. * Ἡ μόνη διὰ λόγου ἐν σαρκὶ
τὸν Λόγον κυήσασα
ῥῦσαι, δεόμεθα,
τῶν παγίδων τοῦ ἐχθροῦ τὰς ψυχὰς ἡμῶν.

f. 138v *ᾠδὴ ζ΄. Ὁ ἐν ἀρχῇ*
τὴν γῆν θεμελιώσας

Τὰ σπάργανα
τῶν ἁγίων μαρτύρων

73-76 θεοτ. MR I, 183; cfr. etiam AHG I, 66
heirm. ϛ΄ EE 224, n. 321, Joannis 87 πλέξαντες: secundum cd. periodus sententia prima caret 89-92 θεοτ. MR I, 183; cfr. etiam AHG I, 67
heirm. ζ΄ EE 226, n. 323, Germani

77-78 Ps. 18,5 81-84 IV Mac. 7,1-3 86-88 I Cor. 9,25

Μελιτινὴ
κατέχουσα ἡ πόλις,
εὐφραινομένη,
ἀνακηρύττει
τὰς ἀριστείας αὐτῶν εἰς ἑαυτοὺς ἐπαινῶν.

Ἀπήμβλυναν
τῶν εἰδώλων τὴν πλάνην
οἱ μάρτυρες
ἐν σταδίῳ βοῶντες·
« εὐλογητὸς εἶ
εἰς τοὺς αἰῶνας,
Κύριε, ὁ Θεὸς τῶν πατέρων ἡμῶν ».

Διώδευσαν
πύλην τὴν τεθλιμμένην
καὶ ἔλαβον
οὐρανῶν βασιλείαν
οἱ ἀθλοφόροι
Χριστοῦ ἐν πᾶσι
μιμούμενοι τὸ αὐτοῦ πάθος ἑκούσιον.

θεοτ. * Ὁ ἐν γαστρὶ
τῆς παρθένου οἰκήσας
καὶ ἐν αὐτῇ
τὸν Ἀδὰμ ἀναπλάσας,
εὐλογητὸς εἶ
εἰς τοὺς αἰῶνας,
Κύριε, ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

---

95 Μελιτινῆ 105 post τοὺς cetera om. cd. 107 Διόδευσαν 114-120 θεοτ. MR V, 116; cfr. etiam in hoc vol. canones X, 176-180 et XX, 123-127 120 post Θεὸς cetera om. cd.

107-108 Matth. 7,14

f. 139 ᾠδὴ η΄. *Τὸν ἄναρχον*
βασιλέα τῆς δόξης

Ἐδέξαντο
οὐρανόπλοκον στέφος
οἱ μάρτυρες
ἐν σταδίῳ βοῶντες·
« ὑμνεῖτε ἱερεῖς,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

Ἐνίκησεν
ἡ πληθὺς τῶν μαρτύρων
καὶ ἔπεσε
τῶν τυράννων τὰ θράση
μὴ ἔχοντες ἰσχύν·
διὸ καὶ πτῶμα κεῖνται
εἰς χάος ἐρριμμένοι.

Πρεσβεύσατε
ὑπὲρ τῶν ἐκτελούντων
τὸν Κύριον,
ἔνδοξοι ἀθλοφόροι,
ῥυσθῆναι πειρασμῶν
ὁμοῦ καὶ μαλακίας
καὶ πλήθους τῶν πταισμάτων.

θεοτ. Θεός ἐστιν
ὁ τεχθεὶς ἐκ παρθένου
καὶ ἔσωσε

---

heirm. η΄ EE 229, n. 328, Germani 125 post ἱερεῖς cetera om. cd.

121-124 AA.SS., 335: ... ἐτελειώθησαν δὲ οἱ τῶν ἀθλοφορικῶν στεφάνων ἐπάξιοι τοῦ Χριστοῦ μάρτυρες, τὸ τῶν ἀγώνων εὐτόνως ὑπελθόντες στάδιον, ἐν τῇ τῶν Μελιτηνῶν περιφανεστάτῃ μητροπόλει...

---

139 II Pet. 2,9

τοὺς πιστῶς μελῳδοῦντας·
« ὑμνεῖτε ἱερεῖς,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

f. 139v ᾠδὴ θ΄. *Σὲ τὴν οὐρανοῦ καὶ γῆς μεσῖτιν*

Ἐξέτειναν αὐχένας οἱ γενναῖοι,
τὴν διὰ τοῦ ξίφους τελείωσιν
καί, τὴν ζωὴν ἀπωσάμενοι, Χριστοῦ
στεφάνους ἀφθαρσίας ἐδέξαντο.

Ἡτοίμασται ὑμῖν ἡ βασιλεία,
μάρτυρες Χριστοῦ, ἡ οὐράνιος,
ὡς κοινωνοὶ γεγονότες τοῦ σεπτοῦ
πάθους τοῦ δι' ἡμᾶς ἐνανθρωπήσαντος.

Τὴν θείαν τελετὴν τῶν ἀθλοφόρων
σήμερον, πιστοί, ἐκτελέσωμεν·
ἀεὶ γὰρ πάντες πρεσβεύουσι Χριστῷ
ῥυσθῆναι τὰς ψυχὰς ἡμῶν ἐκ πάσης ὀργῆς.

θεοτ. Σὲ τὸν ἐκ παρθένου σαρκωθέντα
πάντες ὡς Θεὸν προσκυνήσωμεν
ἐκ τῆς δουλείας λυτρώσασθαι ἡμᾶς,
Χριστέ, τοῦ διαβόλου τοὺς ὑμνοῦντάς σε.

---

146 post ἱερεῖς cetera om. cd.
heirm. θ΄ EE 230, n. 329, Andreae 155 κοινωνοὶ γεγονότες: deb. κοινωνοῖς γεγονόσι

149-152 AA.SS., 334: ... οἱ ἅγιοι... τοὺς αὐχένας γενναιότητι ψυχῆς ἐκτείναντες, ξίφει τὰς κεφαλὰς ἀπετμήθησαν, καὶ ... Χριστῷ τῇ κεφαλῇ τῶν ἁπάντων συνήφθησαν τῆς ἀϊδίου καταξιωθέντες μακαριότητος...
153-156 AA.SS., 334: ... ὦ τῆς ἀληθείας μάρτυρες καὶ κοινωνοὶ τῶν τοῦ Χριστοῦ παθημάτων...

---

152 I Cor. 9,25 153 Matth. 25,34 155-156 II Cor. 1,7
160 I Thes. 1,10

IN SANCTOS MICHAEL ET GABRIEL ARCHANGELOS

Synaxarium, 203-204: Μιχαὴλ ὁ διαπρεπέστατος ταξίαρχος τῶν ἀσωμάτων δυνάμεων ἔν τε τῇ παλαιᾷ διαθήκῃ ἔν τε τῇ νέᾳ χάριτι πολλὰς αὐτοῦ τὰς εὐεργεσίας τῷ ἀνθρωπίνῳ γένει παρέδειξέ τε καὶ παραδείκνυσι. Ἐπεὶ γὰρ ὁ τῆς ἡμῶν σωτηρίας ἀντίπαλος τραχηλιάσας κατὰ τοῦ κτίσαντος καί· « Τὸν θρόνον μου ἐπάνω τῶν νεφελῶν » νεανιευσάμενος εἰπεῖν « θήσομαι » καὶ « τῷ ὑψίστῳ ὅμοιος ἔσομαι » καυχησάμενος, τοῦ ἀρχαγγελικοῦ, ὥς φησιν ὁ Κύριος, ἐξέπεσεν ἀξιώματος (ἐθεώρουν γάρ, φησίν, τὸν Σατανᾶν ὡς ἀστραπὴν ἐκ τοῦ οὐρανοῦ πεσόντα), τὰ παραπλήσια δὲ τούτῳ καὶ τὸ ὑπ' αὐτὸν τάγμα ἀλαζονευσάμενον πέπονθεν, οὗτος ὁ πανοίδιμος τὴν πρὸς τὸν Δεσπότην εὐγνωμοσύνην ὡς πιστότατος οἰκέτης διαφυλάξας καὶ περὶ τὸ γένος ἡμῶν πολλὴν τὴν κηδεμονίαν ἐπιδεικνύμενος, τῶν ἀρχαγγελικῶν καὶ νοερῶν τάξεων πρωτεύειν ἐτάχθη παρὰ τοῦ Παντοκράτορος· ὅθεν καὶ τὰς σωτηριώδεις ⟨αὐτοῦ⟩ εὐεργεσίας πρὸς ἅπαντας πλεονάζων καὶ ἐξαπλῶν πολλοῖς ὀπτανόμενος καταφαίνεται. Ὤφθη γὰρ τῷ Ἀβραὰμ καὶ τῷ Λὼτ κατὰ τὴν καταστροφὴν τῶν Σοδόμων· ἐφάνη τῷ Ἰακὼβ τὸν ἀδελφὸν φεύγοντι· προεπορεύετο τῆς παρεμβολῆς τῶν υἱῶν Ἰσραὴλ τῆς Αἰγυπτίων ἐλευθερουμένων κακώσεως· ἐφάνη τῷ Βαρλαὰμ τὸν Ἰσραὴλ ἀπιόντι καταράσασθαι· πρὸς δὲ τὸν Ἰησοῦν τὸν Ναυῆ ἔφη πυθόμενον· « Ἐγὼ ἀρχιστράτηγος δυνάμεως Κυρίου νυνὶ παραγέγονα ». Καὶ πολλὰ ἕτερά ἐστιν ἐν τῇ θεοπνεύστῳ γραφῇ ἱστορούμενα περὶ αὐτοῦ. Διὰ τοῦτο καὶ ἡμεῖς προστάτην αὐτὸν καὶ φύλακα τῆς ζωῆς ἡμῶν προβαλλόμενοι τὴν πάνσεπτον αὐτοῦ πανήγυριν τανῦν ἑορτάζομεν, ἐξαιτούμενοι ταῖς πρεσβείαις αὐτοῦ καὶ ἐν τῷ νῦν αἰῶνι τῶν δυσχερῶν εὑρεῖν ἀπολύτρωσιν καὶ ἐν τῷ μέλλοντι τῆς ἐπουρανίου χάριτος καταξιωθῆναι.

Crypt. Δ.α. XIX = Cu, ff. 27-29
Paris. gr. 259 = Pa, ff. 73v-76

Ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε·
Σὺν Γαβριὴλ με, Μιχαήλ, φρουρῶν σκέπε· Γεωργίου.

Ἦχος δ'.

ᾠδὴ α'. *Ἀνοίξω τὸ στόμα μου*

Σαλπίσας ἐξάκουστον
ὁ ἀρχιστράτηγος σήμερον
συγκαλεῖται ἅπαντας
εἰς εὐωχίαν φαιδράν,
ὡς ἐδέσματα
τὰς αὐτοῦ ἐπιλάμψεις
προθεὶς τοῖς δοξάζουσι
τὸν πάντων Κύριον.

Ὑπερλάμπων σήμερον
ταῖς τῆς πρεσβείας φαιδρότησι
καὶ ταῖς θείαις χάρισιν
ὁ ἀρχιστράτηγος
νοητῶς ἡμῖν
τοῖς Χριστὸν ἀνυμνοῦσι
πᾶσιν ἐπιφαίνεται
σὺν τῷ σοφῷ Γαβριήλ.

Νέφη τῶν παθῶν ἡμῶν
ἀποσοβήσας καὶ θλίψεων
τῆς χαρᾶς ὡς πρόξενος
καὶ λειτουργός, Γαβριήλ,
τῇ πρεσβείᾳ σου

---

tit. Ἕτερος κανὼν τῶν ἀσωμάτων φέρων... Cu Ἕτερος κανὼν εἰς τοὺς ἀρχιστρατήγους Μιχαὴλ καὶ Γαβριὴλ φέρων... et in marg. Γεωργίου Pa; nomen hymnographi ΓΕΩΡΓΙΟΥ e theotociorum litteris initialibus deducitur
heirm. α' EE 99, n. 141, Joannis

---

1 PG 140, 1236: ... τὸ τῆς αὐτῶν λειτουργίας ἐπιφαίνοντες δραστήριον, σάλπιγξι μεγαλοφωνοτάταις κελεύσματι θείῳ σαλπιοῦσιν...

εὐφροσύνης τῷ φέγγει
πάντας καταλάμπρυνον
τοὺς σὲ γεραίροντας.

Γαλήνης τὰ σύμπαντα
ὁ τῶν ἀΰλων δυνάμεων
δεσπότης καὶ Κύριος
τῆς ἑαυτοῦ νοητῶς
πληροῖ σήμερον
ταῖς αὐτῶν ἱκεσίαις
καὶ ζάλην τῶν θλίψεων
παύει ὡς εὔσπλαγχνος.

27ᵛ θεοτ. || Γνόντες σε, πανάχραντε,
οἱ τῶν ἀγγέλων ταξίαρχοι
μητέρα πανάμωμον
τοῦ ποιητοῦ καὶ Θεοῦ,
ὡς παράδοξον
θέαμα ἐν τῇ κτίσει
ὑμνοῦσι, γεραίρουσι
καὶ μακαρίζουσιν.

ᾠδὴ γ'. *Τοὺς σοὺς ὑμνολόγους, θεοτόκε,*

Ἅπαντας χαρίτων ὑετίζει
οὐρανόθεν ὄμβρῳ τοὺς πιστοὺς
ὁ τῶν ἀγγέλων Κύριος
αὐτῶν θείαις ἐντεύξεσι
Μιχαὴλ τὴν εὐφρόσυνον
διακονοῦντος δρόσον σήμερον.

Βροτοὺς εἰς τὰς τρίβους τὰς εὐθείας
ἰθύνων προστάξει τοῦ Θεοῦ,

32 παύεις Pa   38 κτήσει Pa
heirm. γ' EE 100, n. 141, Joannis   48 ἰθύνον Cu

34 PG 140, 1225: ... Οἱ τῆς ἀρχαγγελικῆς μὲν τάξεως ἰδιαιτέρως ταξιάρχαι...
47-48 EA 7 (1887), 392: ... καθοδηγεῖτε καὶ ἡμᾶς πρὸς τὰς τρίβους τῆς καθ' ὑμᾶς σωτηρίας...

Μιχαὴλ ἀρχιστράτηγε,
τὰς σκολιὰς τοῦ ὄφεως
ὁδοὺς ἐμφράττεις· ὅθεν σε
χειραγωγὸν βροτοὶ γεραίρομεν.

Ῥώμην κραταιὰν διεζωσμένοι
φοβεροὶ ἐχθροῖς τοῖς καθ' ἡμῶν,
θεοειδεῖς ἀρχάγγελοι,
φανέντες, νικητήρια
πᾶσι πιστοῖς βραβεύσατε
ὑμνολογοῦσι τὸν τῶν ὅλων Θεόν.

θεοτ. Ἔδειξε τὴν δόξαν σου ὁ Κτίστης
ἐν πάσαις ἀγγέλων στρατιαῖς
ὑπερκειμένην, ἄχραντε,
ὅλων τῶν ποιημάτων αὐτοῦ·
διὸ καὶ ἐγκαυχώμεθα
ἐπὶ τοῖς θείοις μεγαλείοις σου.

ᾠδὴ δ'. *Τὴν ἀνεξιχνίαστον*

Ἰσχὺν περιθέμενος
τοῦ δυνατοῦ,
θείας ἀρχηγέτης δυνάμεως
τούτου ἐδείχθης
ἀπροσμάχητον ἀεὶ
τὴν ἐν πολέμοις δύναμιν
ἔχων, Μιχαὴλ ἀρχιστράτηγε.

58 τὸν om. Pa
heirm. δ' EE 100, n. 141, Joannis

50-51 EA, 391:... Λυτροῦσθε πάντας ἡμᾶς κακίας καὶ λύττης τοῦ σκολιοῦ καὶ θεομάχου καὶ μισανθρώπου Σατάν...
55 EA, 387: ... Μιχαὴλ καὶ Γαβριὴλ αἱ θεοειδεῖς ἀκρότητες τῶν ἀγγελικῶν διακόσμων...

50-51 Prov. 21,8; 22,5,14; 28,18   53 Prov. 31(29)25; Ps. 17,33

Ἡ ὑπεραστράπτουσα
αἴγλη Θεοῦ
λειτουργοὺς πυρφόρους ἀνέδειξε
καὶ ὑπηρέτας
ἀποκρύφων τῶν αὐτοῦ
ὑμᾶς, ἀξιοθαύμαστοι
καὶ θεοειδεῖς ἀρχιστράτηγοι.

Λόγων πᾶσαν δύναμιν
ἡ νοερὰ
αἴγλη τῆς ὑμῶν, ἀρχιστράτηγοι,
φωτοφανείας
ὑπερβαίνουσα σιγῇ
βροτοῖς ἀεὶ δοξάζεται
τοῖς ὑμνολογοῦσι τὸν Κύριον.

Μόνος ὡραιότατος
ὤν, ἀγαθέ,
κάλλει ἀμηχάνῳ ἐκόσμησας
τοὺς ἀσωμάτους
καὶ μετέδωκας αὐτοῖς
τῆς θείας σου ἐλλάμψεως
λειτουργοῖς φωτὸς ὡς ὑπάρχουσιν.

θεοτ. Ὡς προτεθειμένης σου
πάσης, ἁγνή,
κτίσεως, τὴν σὴν ὑπερλάμπουσαν

79 Λόγῳ Cu 83 ὑπερβαίνουσα scripsi: ὑπερβαίνουσαν cdd. 95 ὑπερλάμπουσα Pa

72-73 EA, 389: ... ἀποσώζοντες πρὸς τὴν θείαν δόξαν καὶ ἀπρόσιτον αἴγλην τοῦ τῆς δικαιοσύνης ἡλίου καὶ βασιλέως τῆς δόξης...
79-85 EA, 390: ... Οὐκοῦν ἄρα μᾶλλον ὑμᾶς τῶν λόγων χρῆναι καλῶς ᾠήθημεν τιμῆσαι διὰ τῆς σιωπῆς ὡς τῆς ἀνεφίκτου καὶ κρυφίας δόξης...
88-91 EA, 387: ... ἔσοπτρα τοῦ ἀρρήτου καὶ ἀμηχάνου κάλλους... τὰ δοχεῖα τῆς πανολβίου φωτοχυσίας καὶ θείας ἐλλάμψεως...
90-92 PG 140, 1228: ... οἱ ὑπερφυεῖς διάκονοι τῆς θεαρχίας... οἱ πρώτως τῶν πρώτων ἐλλάμψεων ὑπερπληρούμενοι...

74, 92 Ps. 103,4; Hebr. 1,7

δόξαν ὁ Κτίστης
φαιδροτέραν νοερᾶς
f. 28 || ἀνέδειξε λαμπρότητος·
σὺ γὰρ τῶν ἁπάντων εἶ δέσποινα.

ᾠδὴ ε'. *Ἐξέστη τὰ σύμπαντα*

Ἐν πυρίνοις λόγοις σου
καὶ φλογεροῖς προστάγμασι
τοῖς τοῦ Κτίστου πάντων καὶ δεσπότου
φλέγεις, διώκεις
καὶ πυρπολεῖς νοητῶς
τὸν τοῦ κόσμου ἄρχοντα βροτοὺς
φωτὶ τῆς πρεσβείας σου
λαμπρύνων, ἀρχιστράτηγε.

Μύρα εὐωδέστατα
τῶν νοητῶν ἐκβάσεων
σήμερον πηγάζουσιν ἀνθρώποις
οἱ θεῖοι νόες
καὶ ἀρχιστράτηγοι
καὶ ταῖς ἐνεργείαις ταῖς αὐτῶν
καὶ πρεσβείας χάριτι
ἡμᾶς εὐωδιάζουσιν.

Ἰσχὺν περιζώσατε
πρεσβείαις, ἀρχιστράτηγοι,
κατὰ πολεμίων τοὺς ἐν πίστει
ἐγκαυχωμένους

heirm. ε' EE 100, n. 141, Joannis 102 τοῖς scripsi: τῆς cdd. 105 κόσμου] σκότους Pa 107 λαμπρύνον Cu λάμπρυνον Pa

100-105 EA, 387: ... οἱ πύρινοι στῦλοι..., αἱ φλογίζουσαι δύο ῥομφαῖαι πάσας τὰς μεθοδείας τοῦ διαβόλου... τὰ πυρφόρα βέλη τοῦ δυνατοῦ καὶ καυστικὰ τῶν δαιμονικῶν στρατηγημάτων καὶ παρατάξεων...

116 Prov. 31(29)25; Ps. 17,33

ἐν ταῖς πρεσβείαις ὑμῶν
καὶ ὑμνολογοῦντας τὸν ὑμᾶς
θαυμαστοῦντα Κύριον
ἐν ἐνδόξοις δυνάμεσιν.

Χαρᾶς ἡμῖν πρόξενος
Γαβριὴλ ὡς γενόμενος
τῆς τῶν γεννητῶν ὑπὲρ ἐλπίδα
καὶ εὐφροσύνης
τῆς τῶν μελλόντων καλῶν
κῆρυξ γεγονώς, σὺ Μιχαήλ,
πρὸς ταύτην ὁδήγησον
ἡμᾶς θείαις ἐντεύξεσιν.

θεοτ. Ῥάβδον σε βασίλειον
τῶν ἀσωμάτων τάξεων
πόθῳ εὐφημοῦμεν, θεοτόκε,
καὶ βασιλίδα
τῶν ποιημάτων Θεοῦ
πάντων ἐπιγνόντες σε βροτοὶ
ἀεὶ ἐπαγαλλόμεθα
καὶ πιστῶς σε δοξάζομεν.

ᾠδὴ ς'. *Τὴν θείαν ταύτην καὶ πάντιμον*

Ἀστέκτου αἴγλης δεχόμενος
τοῦ Κτίστου καὶ Θεοῦ, ἀρχιστράτηγε,
τὰς ὑπὲρ ἔλλαμψιν
μαρμαρυγὰς ὑπὲρ ἥλιον
ἀστράπτεις τοῖς ἀνθρώποις διακονούμενος.

---

129 συμμιχαὴλ Pa 134 εὐφημοῦσιν Pa 137-139 πάντων ἐπιγνόντα σε βροτοῖς / ἀεὶ συναγγάλλονται / τοῖς πίστει σε δοξάζουσιν Pa
heirm. ς' EE 100, n. 141, Joannis

---

124 EA, 388: ... καὶ χαρᾶς πληρώσας πᾶσαν τὴν οἰκουμένην...
75-76, 128-129 EA, 387: ... ὁ μύστης τῶν ἀπορρήτων καὶ τῶν μελλόντων μυσταγωγός...

Ἡ φάλαγξ φρίττει ὁρῶσά σε
ἡ τῶν βροτῶν ἁπάντων ἀντίπαλος
καὶ ὑπὸ πόδας σου
τοὺς νοητοὺς καταπίπτουσα
ἡττᾶται τῇ ἰσχύι σου, ἀρχιστράτηγε.

Λαμπρὸς τῷ εἴδει φαινόμενος
φαιδρότερα καὶ θεῖα μηνύματα,
χαροποιὲ λειτουργέ,
βροτοῖς κομίζεις, ἀρχάγγελε·
σέ, Γαβριήλ, χαρᾶς γὰρ κήρυκα σέβομεν.

Φωστῆρες ὄντες ὑπέρλαμπροι
ὡς νόες καθαρώτατοι, ἄγγελοι,
f. 28v || τοὺς εὐφημοῦντας ὑμᾶς
λιταῖς ἐνθέοις φαιδρύνατε
καὶ πρὸς Χριστὸν τὸ ἄδυτον φῶς ἰθύνατε.

θεοτ. Γεραίρει πᾶσα τὸν τόκον σου
ἀγγέλων στρατιά, θεονύμφευτε,
καὶ εὐφημοῦσά σε
τὰ σὰ δοξάζει μυστήρια·
Θεὸν γὰρ ὑπὲρ λόγον μόνη ἐγέννησας.

ᾠδὴ ζ'. *Οὐκ ἐλάτρευσαν τὴν κτίσιν οἱ θεόφρονες*

Ῥῆμα στόματος ἀΰλου, ἀρχιστράτηγε,
σοῦ προφερόμενον
τῶν ἀντιπάλων ἀεὶ
ὡς ὕλην τὸ σύστημα

---

152 χαροποιεῖς Pa 153 ἀρχάγγελε] ἀρχάγε Cu 159 τὸ] τὸν Pa 163 τὰ σὰ] πᾶσα Pa
heirm. ζ' EE 100, n. 141, Joannis

---

155 EA, 390: ... οἱ μεγάλοι καὶ ἀνέσπεροι φωστῆρες πάσης τῆς... οἰκουμένης ...
158-159 PG 140, 1245: ... τὸν μὲν παρόντα βίον κατευθύνοιτε... πρᾶξίν τε πᾶσαν καὶ λογισμὸν καὶ λόγον πρὸς εὐαρέστησιν συντείνοντες τοῦ Θεοῦ...

πνευμάτων εὔφθαρτον
ἐν τῇ χάριτι
τοῦ σὲ παντὶ δοξάζοντος
καταφλέγει καὶ διώκει.

Ὁ ἀπρόσιτος τῇ φύσει καὶ ἀόρατος
καὶ ὑπερένδοξος
Θεὸς τῶν ὅλων τὴν σὴν
δόξαν ἐμεγάλυνε
καὶ ἐθαυμάστωσεν,
ἀρχιστράτηγε,
ἐν παραδόξοις τέρασι
καὶ σημείοις ἐν τῷ κόσμῳ.

Ὑποφαίνοντες ἐξ ὕψους, ἀρχιστράτηγοι,
θέαν παράδοξον
καὶ κάλλος ἄφραστον,
χαρᾶς ταῖς ἐλλάμψεσι
καὶ τοῖς μηνύμασι
καταυγάζετε
τοὺς ἀσιγήτως ψάλλοντας·
« ὁ Θεὸς εὐλογητὸς εἶ ».

Ῥεῖθρα χάριτος ἀέναα καὶ ἄφθορα
ὁ ἀρχιστράτηγος
ἐν τῷ τεμένει αὐτοῦ
πληθύνων τοῖς ἅπασιν
ἀνθρώποις σήμερον
τὸν φλογίζοντα
τῆς ἁμαρτίας κλύδωνα
καταψύχει καὶ διώκει.

172 cfr. infra v. 196 188 εὐλ(ογητὸς εἶ)] τῶν π(ατέρων ἡμῶν) Pa
196 cfr. supra v. 172

179-180 AA.SS. Sept. VIII (1762), 42: ... τοῖς ὑπὲρ ἀνθρωπίνην κατάληψιν σημείοις καὶ τέρασιν...

θεοτ. Ἴδε ξένον καὶ παράδοξόν σε θέαμα
καὶ ὑπὲρ νόησιν
ἡ τῶν ἀγγέλων πληθὺς
μητέρα ἀλόχευτον
τοῦ ποιητοῦ καὶ Θεοῦ
καὶ σὺν ἅπασι
τοῖς ἐπὶ γῆς ἐδόξασε
θεοτόκον σε κυρίως.

ᾠδὴ η'. *Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ*

Ὥσπερ ἑωσφόρος ἀνατέλλων
τῇ αἴγλῃ τῶν σῶν χαρίτων, ἀρχιστράτηγε,
λαμπρύνεις τὸ σύστημα
τῶν ἀνευφημούντων σε
καὶ τῷ δεσπότῃ τῶν ὅλων
ἀναβοώντων πιστῶς·
« τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

Νὺξ τῆς ἀντιθέου ἐξουσίας
σοβεῖται τῇ φωτοφόρῳ ἐμφανείᾳ ὑμῶν,
θεῖοι ἀρχιστράτηγοι,
καὶ ἀκτῖνες φαίνουσι
τοῦ φωτοδότου καὶ Κτίστου
τοῖς ἐκβοῶσι πιστῶς·
« τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

Στόμασιν ἀΰλοις καὶ πυρφόροις
ὁ μόνος ἀκαταπαύστως δοξαζόμενος
τῶν ἀγγέλων, Κύριε,
τούτων ταῖς δεήσεσι

heirm. η' EE 100, n. 141, Joannis 207 λαμπρύνεις] -νης cdd. 211, 220 post ὑμνεῖτε orat. varie intermittunt cdd. 215 σοβῆται cdd. ἐμφα-νία cdd.

τῆς γλυκυτάτης θέας σου
καὶ ἡμᾶς λάμπρυνον
f. 29 δεχόμενος σὺν ‖ τούτοις βοῶντας·
« σὲ ὑπερυψοῦμεν
εἰς πάντας τοὺς αἰῶνας ».

θεοτ. Ὁ ταῖς μυριάσι τῶν ἀγγέλων
ἀπρόσιτος κατ' οὐσίαν καὶ ἀόρατος
Λόγος τοῦ γεννήτορος
σῶμα προσλαβόμενος
ἐκ σοῦ ἀτρέπτως, ἄχραντε,
περιεγράφη σαρκί·
διὸ καὶ ἐν χρωμάτων εἰκόνι
γράφεται τὴν θείαν
κυρῶν οἰκονομίαν.

ᾠδὴ θ'. *Ἅπας γηγενὴς*

Κράτος ἐκ Θεοῦ
λαβὼν ἀπροσμάχητον
καὶ ἀπολέμητον,
μόνῃ ἐμφανείᾳ σου
τοῦ ἀντιπάλου καὶ πολεμήτορος
αἱ παρατάξεις τρέπονται
καὶ ἀπελαύνονται
καὶ τὴν νίκην,
Μιχαήλ, λαμβάνουσι
κατ' αὐτοῦ οἱ Χριστὸν μεγαλύνοντες.

Εἶδος φοβερὸν
ἐμφαίνεις καὶ ἄστεκτον
καὶ ἀπροσπέλαστον
πολεμίοις ἅπασι,
τοῖς δὲ ποθοῦσί σε, ἀρχιστράτηγε,
γλυκεῖαν θέαν ὥραν τε
τὴν ὑπερλάμπουσαν

236 ἀτρέπτος Pa
heirm. θ' EE 100, n. 141, Joannis

τῶν χαρίτων,
αἴγλην τὴν εὐφρόσυνον
εὐμενῶς ἐνδεικνύεις τοῖς δούλοις Χριστοῦ.

Πῦρ μὲν νοητὸν
κατ' οὐσίαν ἄυλον
ὤν, ἀρχιστράτηγε,
δρόσος εὐφροσύνης δὲ
ἡμῖν ἐδείχθης καὶ θυμηδίας Θεοῦ·
τὸν ὑετὸν γὰρ ἅπασι
τῆς ἀενάου χαρᾶς
ἐκήρυξας
χαίρων, Γαβριήλ, ἡμῖν
τοῖς αὐτὸν ἐκτενῶς μεγαλύνουσιν.

Ἕλκυσον ἡμᾶς
πρὸς μόνην τὴν ἔφεσιν
τὴν σήν, φιλάνθρωπε,
ταῖς τῶν ἀσωμάτων σου
σεπταῖς πρεσβείαις καὶ τῷ σῷ ἔρωτι
τῷ θείῳ πυρπολῶν, Χριστέ,
σὺν τούτοις ποίησον
τοῦ καθαρῶς
αἰνεῖν καὶ δοξάζειν σε
εἰς αἰῶνα αἰώνων τὸν εὔσπλαγχνον.

θεοτ. Ὕλης τῶν φθαρτῶν
ἀπάρασα, δέσποινα,
ἡμῶν τὸ φρόνημα
πρὸς τὸν ὑπὲρ νόησιν
τοῦ Κτίστου πόθον τοῦτο ἀνάγαγε,
ἵνα ἀΰλοις τάξεσι
συναγαλλόμενοι
δοξάζωμεν
σὲ τὴν θεομήτορα
καὶ Χριστὸν τὸν Θεὸν μεγαλύνωμεν.

270 αὐτὸν] αὐτῶν Pa 275 σεπταῖς] δεκταῖς Pa 288 δοξάζομεν cdd.
290 μεγαλύνομεν cdd.

271 Joh. 12,32

8 NOV. *CANON* XVIII

IN SANCTUM MICHAEL ARCHANGELUM

Synaxarium, 19-20: Ἑορτὴν ἐπιτελοῦμεν τοῦ ἀρχιστρατήγου Μ ι - χ α ή λ, ἀνάμνησιν ποιούμενοι τοῦ θαύματος τοῦ δι' αὐτοῦ γενομένου ἐν Κολασσαῖς τῆς Φρυγίας, ταῖς μετὰ τοῦτο ἐπικληθείσαις Χώναις. . . . . .ἐπεδήμησεν Ἰωάννης ὁ θεολόγος καὶ εὐαγγελιστὴς . . . εἰς Κολασσὰς εἰς τόπον οὕτω καλούμενον Χαιρέτοπα καὶ διδασκαλίαν ἐποιήσατο· καὶ ἐπιφάνειαν ὅσον οὔπω γενέσθαι τῷ τόπῳ τοῦ ἀρχιστρατήγου Μιχαὴλ προεῖπε καὶ ἀνάδοσιν ὕδατος ἰαματοβρύτου· οὗ γενομένου καὶ διὰ τῆς τοῦ ἁγίου ὕδατος μεταλήψεώς τε καὶ χρίσεως πολλῶν μὲν ἀλάλων λαλούντων, πολλῶν δὲ δαιμονώντων καὶ ἀσθενούντων ἰωμένων καὶ ναὸν ἐκεῖσε περικαλλῆ τῶν πιστευσάντων δειμαμένων, ἐν ᾧ καί τις ὀνόματι Ἄρχιππος ἠσκεῖτο ξένην τινὰ ἄσκησιν, προσμείνας πίστει καὶ πόθῳ τοῦ ἀρχιστρατήγου ἐν τῷ ναῷ ἔτη ἑβδομήκοντα κἀκεῖσε ὁσίως τελευτήσας, οἱ ἑλληνίζοντες φθόνῳ φερόμενοι, πρῶτον μὲν διὰ τῆς τοῦ Χρύσου τοῦ ποταμοῦ παρεκνομῆς ἐπειράθησαν συμμῖξαι τὸ ἅγιον ἐκεῖνο ὕδωρ καὶ ἀμβλῦναι ἐκ τούτου τὴν ἐνέργειαν τῶν ἰάσεων, ὡς ᾤοντο, κἂν ἀπέτυχον τοῦ σκοποῦ, τοῦ ποταμοῦ ἀναχαιτισθέντος καὶ ἄλλῃ τραπέντος θείᾳ νεύσει. Ἔπειτα δὲ τάφρον βαθεῖαν καὶ μεγάλην κατορύξαντες καὶ περίφραγμά τι μηχανικῶς ἐπιθέντες, Κοῦφον καὶ Λυκόκαπρον τοὺς ἐκεῖσε ποταμοὺς δι' αὐλάκων τινῶν εἰς τὴν τάφρον καταρρεῦσαι πεποιήκεσαν. . . . . . ἐβουλήθησαν ἆραι τὸ περίφραγμα καὶ ἀφ' ὑψηλοῦ τοῦ τόπου ἐπαφεῖναι τὰ συναχθέντα ὕδατα καὶ οὕτως τῷ πλήθει καὶ τῷ ῥοίζῳ αἰφνηδὸν κατελθεῖν καὶ συγκατακλύσαι τόν τε Ἄρχιππον καὶ τὸν ναὸν καὶ τὸ ὕδωρ ἀφανίσαι. Τούτου δὲ ἐπιβούλως γιγνομένου. . . . . ἐκεῖνος μὴ μελλήσας φθάνει ὡς στῦλος πυρὸς φαινόμενος καὶ τῷ Ἀρχίππῳ μὴ φοβεῖσθαι παρεγγυησάμενος, στὰς ἐπάνω πέτρας μεγάλης, εἰς ἣν ἤδη φθάσαι τὰ ὕδατα ἠπείγετο, καὶ ταύτην τῇ ἐν τῇ χειρὶ ῥάβδῳ πλήξας καὶ διατεμών, ἐν ταύτῃ χωνεύεσθαι τὰ ὕδατα τῶν δύο ποταμῶν προσέταξεν. Οὗ καὶ θαυμαστῶς γενομένου, Χώνας ἔκτοτε τὸν τόπον κεκλήκασι. . . . . .

Crypt. Δ.α. XIII = Cc, ff. 150-157v
Crypt. Δ.α. III = Cd, ff. 44-50
Paris. gr. 259 = Pa, ff. 69-73
Athon. Lavrae Δ 20 = Ae, ff. 44-50v

Ὁ κανὼν φέρων ἀκροστιχίδα
ἐν τῇ θ' ᾠδῇ· ᾠδὴ Ἰωσήφ.

Ἦχος δ'.

ᾠδὴ α'. *Τῷ ὁδηγήσαντι πάλαι*

* Τὸν ἀρχηγὸν τῶν ἀγγέλων,
τὸν φωτοαυγῆ ἥλιον,
τὸν καταυγάσαντα τὴν γῆν
ταῖς τῶν θαυμάτων λαμπρότησι
καὶ τὴν ἀχλὺν ἀπελαύνοντα
πάντοτε
τῶν πειρασμῶν χαρμονικῶς
ὑμνολογήσωμεν.

f. 150v * ‖ Ὁ τοὺς ἀγγέλους ποιήσας
φλόγα πυρός, Κύριε,
ἀποπληροῦντας δυνατῶς
τὸ σὸν πανάγιον θέλημα,
μέσον αὐτῶν διαλάμποντα
ἔδειξας
ὥσπερ ἀστέρα Μιχαὴλ
τὸν ἀρχιστράτηγον.

* Ὑμνολογήσωμεν πάντες
τὸν ἀγαθὸν Κύριον,
τὸν δωρησάμενον ἡμῖν
τεῖχος ἐχθροῖς ἀπροσμάχητον
καὶ ἀπερίτρεπτον ἔρεισμα

---

tit. Ἕτερος κανὼν τοῦ ἀρχιστρατήγου Μιχαὴλ φέρων... Cc Εἰς τὸν ὄρθρον κανὼν ἦχος δ', ᾠδὴ Ἰωσὴφ Cd Ὁ κανὼν Pa Εἰς τὸν ὄρθρον ψάλλομεν κανόνας τῆς Ὀκτωήχου καὶ τοῦ ἀρχιστρατήγου εἰς ς' Ae; troparia asterisco signata ed. in MR I, 67-75
heirm. α' EE 106, n. 149, Andreae 3 τὸν om. MR καταυγάζοντα Pa MR 6 πάντοτε] πάντων Cd 8 δοξολογήσωμεν Cd 10 φλόγας MR

9-10 Ps. 103,4; Hebr. 1,7

πάντοτε
κινδύνων σώζοντα ἡμᾶς
τὸν ἱερὸν Μιχαήλ.

* Ἐπιστασίαις σου θείαις
ἀποτελεῖς πάντοτε
τὸν θεῖον οἶκόν σου σαφῶς
ἁμαρτωλῶν ἱλαστήριον,
ἀδικουμένων προσφύγιον
νόσων τε
φυγαδευτήριον πασῶν,
Θεοῦ πρωτάγγελε.

* Θραῦσον υἱοὺς τοὺς τῆς Ἄγαρ
διηνεκῶς, ἔνδοξε,
ἐγειρομένους καθ' ἡμῶν
καὶ τῆς αὐτῶν ἡμᾶς λύτρωσαι
καὶ προσδοκίας καὶ θλίψεως,
ὅπως σε
ὡς ἀγαθὸν ἡμῶν ἀεὶ
προστάτην σέβωμεν.

Οἱ ἐν δεινοῖς συσχεθέντες
καὶ πειρασμῶν θλίψεσι
περικυκλούμενοι ἀεὶ
δεῦτε τῇ σκέπῃ προσφύγωμεν
τοῦ τῶν ἀγγέλων πρωτεύοντος
κράζοντες·
« σῶσον, βοήθησον ἡμῖν
ὡς συμπαθέστατος ».

Τὸ ἀσπροσμάχητον τεῖχος,
τὸν ἀγαθὸν πρόμαχον,
τὸ περιφύλαγμα ἡμῶν,
τὸν φωτισμὸν τῶν ψυχῶν ἡμῶν
καὶ ἰατρὸν τῶν παθῶν ἡμῶν

---

31 πασῶν] παθῶν Cc πολλῶν Cd 42 πειρασμοῖς Pa 44 σκέπει Cd
47 βοήθεισον Cd

πίστεως
ὑμνολογοῦμέν σε φωναῖς,
Μιχαὴλ μέγιστε.

θεοτ. * Ἀκατανόητον θαῦμα!
πῶς τοῖς βροτοῖς ἥνωται
ὁ ἀκατάληπτος Θεὸς
ἐκ σοῦ σαρκὶ καθ' ὑπόστασιν
ἀποτεχθείς, ἀπειρόγαμε,
σώζων με
τὸν ὑπαχθέντα τῇ φθορᾷ
κλοπῇ τοῦ ὄφεως;

f. 151 ᾠδὴ β'. *Ἴδετε, ἴδετε*
ὅτι ἐγώ εἰμι Θεὸς
ὁ θανατῶν

Ἴδετε, ἴδετε
ὅτι ἐγώ εἰμι Θεός,
ὃν οἱ χοροὶ οἱ φωτοειδεῖς
τῶν ἀσωμάτων ἀγγέλων
ὑμνοῦσιν, εὐλογοῦσι
πυρίνοις στόμασιν ἀναβοῶντες
τὸ τρισάγιον μελῴδημα φρικτῶς.

Τίς χειμαζόμενος
οὐ κυβερνήτην σε καλεῖ;
τίς ἐν δεσμοῖς ὢν ὀδυνηροῖς,
ἐπικαλούμενος δέ σου
τὸ ὄνομα τὸ θεῖον,
οὐ παραυτίκα λυτροῦται τιμῶν σου,
ἀρχιστράτηγε, τὴν σκέπην τὴν θερμήν;

---

62 σῶζον με Pa
heirm. β' EE 105, n. 148, Andreae; cdd. autem Cd et Pa ut primum heirm. praebent illum qui inc. Δῶμεν μεγαλωσύνην 67 φωτοειδῆς Pa 69 εὐλογοῦσι] εὐφημοῦσιν Pa 71 τὸν Pa 74 ὃν Cc ὀδυνηρῶς Cc Cd
78 τ. σκέπειν Cd

72-78 Cfr. vv. 86-92 et 370-378

Ἀπὸ μακρόθεν σοι
λαὸς συνήθροισται πολὺς
τῶν δυσχερῶν λύσιν ἐξαιτῶν·
προσεπικάμφθητι τούτοις
καὶ δίδου τὰς αἰτήσεις
ἑνὶ ἑκάστῳ πιστῶς ἐξαιτοῦντι,
ἀρχιστράτηγε τῶν ἄνω λειτουργῶν.

Ποῖος οὐκ ἔχει σε
τόπος προστάτην ἀγαθόν;
ποῖος πιστὸς σὲ οὐκ ἀνυμνεῖ;
ποία οὐ στέργει ψυχή σε;
τίς ὢν ἐν περιστάσει
οὐ διασώζεται μόνον εἰς νοῦν σε,
ἀρχιστράτηγε, λαμβάνων εὐσεβῶς;

θεοτ. Ῥίζα ἀπότιστε,
ἐξ ἧς ἐβλάστησεν ἡμῖν
ὁ φυτουργὸς πάντων καὶ Θεός,
εὐλογημένη Μαρία,
ἑπτάφωτε λυχνία,
ἡ τοῦ ἡλίου τῆς δόξης νεφέλη,
τοὺς ὑμνοῦντάς σε περίσωζε φθορᾶς.

Εἱρμὸς ἄλλος. *Δῶμεν μεγαλωσύνην*

Ὁρῶντες τῶν ἀγγέλων
οἱ χοροὶ ὑμνολογούμενον
f. 151v ὑπὸ || ἀνθρώπων χαρᾶς πληροῦνται
τὸν ἀρχιστράτηγον τούτων μυστικῶς.

---

80 συνήθροιστε Cd Pa 88 πιστῶς Pa 89 ποῖα Cc Cd ψυχῆς σε Pa 91 διασώζετε Pa 94 ἐξῆς Cc Pa 99 περίσωζε] διάσωσον Pa

heirm. β′ ἄλλος EE 94, n. 133, Joannis; hic heirm. similis est illi quem Germano tributum in EE 103, n. 146 invenies et primum Cd et Pa collocant 102 χαρὰς Cc 103 τοῦτον Cc Cd

---

79-85 Cfr. vv. 152-157 et 192-198 93 Is. 11,1 100-103 Cfr. vv. 352-360

Στησώμεθα χορείαν
καὶ Θεὸν φόβῳ ὑμνήσωμεν,
τὸν παρασχόντα ἡμῖν προστάτην
τὸν ἀρχιστράτηγον τούτου κραταιόν.

Ὁ πρῶτος τῶν ἀγγέλων
οὐρανόθεν ἐπεφοίτησε
καθαγιάσαι καὶ εὐλογῆσαι
ἡμᾶς τοὺς πίστει γεραίροντας αὐτόν.

θεοτ. Πανάχραντε παρθένε,
ἡ τεκοῦσα τὸν Θεὸν ἡμῶν
ἀνερμηνεύτως, πάσης ἀνάγκης
τοὺς σὲ ὑμνοῦντας διάσωζε ἀεί.

f. 152 ᾠδὴ γ′. *Ὁ στερεῶν βροντὴν καὶ κτίζων πνεῦμα*

* Παρεστηκὼς τῷ θρόνῳ τοῦ δεσπότου
μεθέξει τε θεούμενος
καὶ φωτιζόμενος ἀστραπαῖς
ταῖς ἐκεῖθεν πεμπομέναις,
τοὺς ὑμνητάς σου φώτισον,
Θεοῦ ἀρχιστράτηγε.

* Ὁ Ἰησοῦς ὡς εἶδέ σε ῥομφαίαν
ἐν τῇ χειρὶ κατέχοντα,
τῇ φοβερᾷ σου καταπλαγεὶς
θεωρίᾳ ἀνεβόα·
« τί νῦν προστάσσεις, Κύριε,
ποιεῖν τῷ οἰκέτῃ σου; »

---

107 τοῦτον Pa 112-115 θεοτ. om. Pa

heirm. γ′ EE 104, n. 147, Andreae 116 τοῦ δεσπότου] τῆς τριάδος Pa MR I, 67 117 μεθέξετε θ. Pa 122 ἴδεν cdd. 126 νῦν] μοι Cd

---

122-127 Jos. 5,13-14

* Τοῦ Ἰουδαίων ἔθνους ἄρχων πάλαι
ὑπὸ Θεοῦ καθέστηκας,
Χριστιανῶν δὲ νῦν βοηθός,
ἀρχιστράτηγε, καὶ ῥύστης
τῶν ἀναγκῶν ῥυόμενος
αὐτοὺς καὶ τῶν θλίψεων.

Οἱ ἐν πελάγει ὄντες νοσημάτων
καὶ σάλῳ χειμαζόμενοι
πειρατηρίων παντοδαπῶν
τῷ τεμένει ὡς λιμένι
σοῦ, Μιχαήλ, προστρέχομεν
γαλήνης πληρούμενοι.

* Ἀπαγωγῇ βιαίᾳ τοὺς εἰς ἔθνη
ἀλλόφυλα τυγχάνοντας
καὶ δουλωθέντας ἐλεεινῶς
ἐπανάγαγε ἐν τάχει
ἐκδυσωπῶν τὸν ὕψιστον
Θεόν, ἀρχιστράτηγε.

* Μεγαλωσύνην δῶμεν τῷ Κυρίῳ,
τῷ δόντι ἡμῖν πρόμαχον
καὶ ἐν ταῖς θλίψεσι βοηθὸν
ἀρχιστράτηγον τὸν μέγαν,
δι' οὗ βαρβάρων πάντοτε
ἀθέων λυτρούμεθα.

Ἀπὸ περάτων ἤθροισται λαός σοι
καὶ δῆμος πολυάριθμος·
πάντων ἐκπλήρωσον τὰς εὐχάς,

---

128 ἔθνος Pa 136 πηρατηρίων Cc Pa 138 προστρέχωμεν Pa 140-151 trop. « Ἀπαγωγῇ ... » et « Μεγαλωσύνην ... » inverso ordine disponuntur in MR I, 68 140 ἐν ἔθνη Cc 144 ἐκδυσωπὸν Pa

---

128 PG 140, 1229: ... οὗτοι δὲ ἄρχοντες καὶ προασπισταὶ τοῦ Ἰσραὴλ πρὸς Θεοῦ διατετάχατο...
147 EA 7 (1887), 387: ... Μιχαὴλ ὁ ἀλκιμώτατος μαχητὴς καὶ πρόμαχος καὶ προασπιστὴς τῶν ἀγαπώντων τὸν Κύριον...

---

134 IV Mac. 7,1 152-157 Cfr. vv. 79-85 et 192-198

πᾶσι δίδου τὰς αἰτήσεις
παρακαλῶν τὸν εὔσπλαγχνον
Θεόν, ἀρχιστράτηγε.

θεοτ. * Ὁ Δανιὴλ σε ὄρος μέγα γράφει,
ὁ Ἀμβακοὺμ δέ, ἄχραντε,
ὄρος κατάσκιον ἀρεταῖς
καὶ Δαβὶδ τετυρωμένον·
ἐκ σοῦ Θεὸς σεσάρκωται
τὸν κόσμον λυτρούμενος.

f. 152v ᾠδὴ δ'. *Ἀκήκοεν ὁ προφήτης*

* Σενναχειρὶμ ὥσπερ πάλαι
f. 153 λαὸν πολὺν κατέστρω||σας θείᾳ προστάξει,
τοὺς τῆς Ἄγαρ οὕτω σύντριψον
πολεμοῦντας
καὶ κατεπεμβαίνοντας
λαῷ ταπεινῷ,
Μιχαὴλ ἀρχάγγελε.

* Ὡς φοβερόν σου τὸ εἶδος,
ὡς θαυμαστὸν τὸ κάλλος σου, Μιχαήλ, ὄντως,
ὡς ὑπέρλαμπρος ἡ δόξα σου,
ἣν δεικνύεις
πᾶσι τοῖς ποθοῦσί σε,
τελῶν, ἐνεργῶν
ἄπειρα θαυμάσια.

---

155 πάντων Pa 156 παρακαλῶ Pa 158 γράφη Cc Pa γράφει μέγα MR I, 68 160 ἀρεταῖς] ἀληθῶς Pa 162 ἐκ σοῦ] ἐξ οὗ Pa ἐξ οὗ ὁ MR
Post odem γ' Cd duo καθίσματα exhibet: « Τῶν οὐρανίων στρατιῶν... » MR I, 65 et « Αἱ οὐράνιαι δυνάμεις ὡς παρεστῶσαι », quod ineditum videtur
heirm. δ' in EE deest, idemque memoratur in TR, 66 165 κατέτρωσας Pa 168 καὶ κατεμβαίνοντας Pa 169 ταπεινῷ] τῷ πιστῷ MR I, 69 170 ἀρχάγγελε] ἀρχιστράτηγε MR 176 τ. ἐναργῶς Pa 177 ἄ. θαύματα Pa

---

158 Dan. 2,35 159-160 Hab. 3,3 161 Ps. 67,16-17 164-165 IV Regn. 19,35-36

* Περιπολεύων τὰ ἄνω
ἐπιφοιτᾷς ἑκάστοτε φρικτῶς τοῖς κάτω,
συμφορῶν πολλῶν καὶ θλίψεων
καὶ κινδύνων
πάντας ἐξαιρούμενος,
Θεοῦ λειτουργέ,
τοὺς προσκαλουμένους σε.

* Ἴδε ὁ τόπος ὁ θεῖος,
ἴδε τὸ καταφύγιον τῶν θλιβομένων,
ἴδε οἶκος ὁ πανάγιος,
ὃν ὁ μέγας
ὄντως ἀρχιστράτηγος
λιμένα πολλῶν
σωζομένων δείκνυσιν.

Ἀπὸ περάτων σε δῆμος
ἐπιφοιτῶν, πρωτάγγελε, τῷ σῷ τεμένει
ἱκετεύει ἐξαιτούμενος
λύσιν πάντων
τῶν παρενοχλούντων λαβεῖν·
τὰς τούτων εὐχὰς
πλήρωσον πρεσβείαις σου.

* Στῦλος πυρὸς καθωράθης
Ἀρχίππῳ τῷ θεόφρονι, ὅτε ἀπείροις
δῆμος ἄνομος κατέσπευδε
κατακλύσαι
ὕδασι τὸ τέμενος
τὸ σόν, ἀρχηγὲ
τῶν ἄνω δυνάμεων.

---

196 παραινοχλούντων Cc 202 καταλῦσαι Cc Cd

199-205 AB 8 (1889), 299: ... καὶ λοιπὸν ἔρχονται οἱ ἀσεβεῖς... ἄνδρες ὡσεὶ πεντακισχίλιοι... ὁ λαὸς τῆς ἀδικίας... ὅτι ὁ τόπος ἐπιτήδειός ἐστιν πρὸς καταποντισμὸν τοῦ ὕδατος... τότε ἐξῆλθεν ὁ δοῦλος τοῦ Θεοῦ (scil. ὁ Ἄρχιππος) καὶ ἔστη... ἔβλεπεν στῦλον πυρὸς ἀπὸ τῆς γῆς ἕως τοῦ οὐρανοῦ...

178-184 Cfr. vv. 397-404 192-198 Cfr. vv. 79-85 et 152-157

Τοὺς κληρωθέντας τῷ οἴκῳ
τῷ σῷ, Θεοῦ ἀρχάγγελε, καὶ ἐν αὐτῷ σε
καθ' ἑκάστην μεγαλύνοντας
οἴκους δεῖξον
θείαις ἱκεσίαις σου
Πατρὸς καὶ Υἱοῦ
καὶ ἁγίου Πνεύματος.

θεοτ. * Ὁ Γαβριὴλ σοι τὸ 'χαῖρε,
ἐκ τῶν ὑψίστων, πάναγνε, κομίζων ἦλθε·
σὺν αὐτῷ οὖν ἐκβοῶμέν σοι·
« χαῖρε πύλη,
μόνος ἣν διώδευσε
Χριστὸς ὁ Θεὸς
σώζων τὸ ἀνθρώπινον ».

f. 153v ᾠδὴ ε'. *Ἀνάτειλόν μοι, Κύριε,*

* Προγνόντες τὰ θαυμάσια,
ἃ ἔμελλες, πρωτάγγελε,
ἐπιτελεῖν ἐν τῷ τεμένει σου,
οἱ κήρυκες τοῦ Λόγου

---

215 σοι om. MR 217 ἣν Pa
heirm. ε' EE 106, n. 149, Andreae

220-226, 405-412 AB, 290-291: ... μετὰ ταῦτα ἔρχονται οἱ σεβαστοὶ κήρυκες τῆς ἀληθείας (scil. Φίλιππος καὶ Ἰωάννης) καὶ ἐκαθέσθησαν εἰς τόπον λεγόμενον Χαιρέτοπα, ἔνθα ἡ χάρις καὶ ἡ δωρεὰ καὶ τὰ θαύματα ἔμελλον ἀποδείκνυσθαι τοῦ ἁγίου καὶ ἐνδόξου ἀρχιστρατήγου Μιχαήλ· καὶ ποιήσαντες εὐχὴν ἐσήμαναν τῷ λαῷ λέγοντες ὅτι ἐνταῦθα μέλλει κατέρχεσθαι ὁ μέγας ταξιάρχης καὶ ἀρχιστράτηγος τῆς δυνάμεως Κυρίου καὶ ποιεῖν παράδοξα θαύματα. Ἐξῆλθον οὖν οἱ ἀπόστολοι καὶ ἐπὶ τὰς ἑτέρας πόλεις διδάσκοντες· καὶ εὐθέως ἔβλυσεν ἐν τῷ τόπῳ ἐκείνῳ ὕδωρ ἐπιτελῶν ἰάματα...

223-224 AA.SS. Sept. VIII (1762), 42: ... Ἀλλ' ἀρκτέον ὅθεν ἡ τοῦ κηρύγματος χάρις διὰ τῶν ἀποστόλων Φιλίππου καὶ Ἰωάννου, τοῖς πᾶσιν ἔθνεσι διεδόθη... τῶν τοῦ λόγου κηρύκων ἄλλων ἀλλαχοῦ τῆς οἰκουμένης περιθεόντων ... Cfr. etiam vv. 382-389.

---

213 Luc. 1,26

πᾶσι προκατήγγειλαν,
ὧν ἡμεῖς τὴν ἔκβασιν
καθορῶμεν τηλαυγῶς.

* Τῇ θεία εἰσηγήσει σου,
ἀρχάγγελε, ἀνίστησιν
οἶκον εὐκτήριον τῷ ὕδατι
τῷ βρύοντι τὴν χάριν,
εἰσβλέψας τὴν ἴασιν
τῆς παιδὸς ὁ πάλαι σου
βλασφημῶν τὰς δωρεάς.

Τῇ σκέπῃ τῶν πτερύγων σου
τοὺς δούλους σου περίσωζε
πειρατηρίων ἐκ παντοίων,
ἀρχάγγελε Κυρίου,
Μιχαὴλ πανάγιε,
τοὺς τῷ θείῳ οἴκῳ σου
προσιόντας εὐσεβῶς.

f. 154 * || Προσέλθετε, ἀρύσασθε
χάριν ὁμοῦ καὶ ἔλεος·
τῶν ἰαμάτων ἡ ἀέναος
πηγὴ πρόκειται πᾶσιν,
ἣν ὁ ἀρχιστράτηγος
θείαις ἐπινεύσεσιν
ἐφανέρωσεν ἡμῖν.

---

226 τηλαυγῶς] ἐναργῆ Pa MR I, 70   227 εἰσηγήσι Pa   228 ἀρχάγγε Cc   233 δωρεᾶς Cc Pa   234-240 hoc trop. in marg. praebet Pa, manu posteriore scriptum   239 τῷ om. Pa   241 προσέλθατε Cc   241-247 hoc trop. in marg. cd. Pa manus posterior scripsit

---

227-233 AB, 291-293: ... ἦν δέ τις ἀνὴρ... ἀσεβὴς καὶ εἰδωλοθύτης· οὗτος ἔσχεν θυγατέρα... καὶ αὕτη ἦν ἄλαλος... μιᾷ δὲ τῶν ἡμερῶν ὡς ἐν ὁράματι τῆς νυκτὸς ἐπίσταται αὐτῇ ὁ ταξιάρχης Μιχαὴλ ... καὶ παραχρῆμα ἀνεβόησεν ἡ παῖς... καὶ ᾠκοδόμησεν ἐκεῖ εὐκτήριον ... καὶ ἐσκέπασεν τὸ ἅγιον ὕδωρ ἐκεῖνο...

* Τυφλοῖς τὸ βλέπειν δίδοται
καὶ τοῖς κωφοῖς ἐνώτισις,
χωλοῖς δὲ πᾶσιν εὐδρομία,
ἀλάλοις εὐφωνία
ἐν τῷ θείῳ οἴκῳ σου,
Μιχαὴλ πρωτάγγελε,
παροχεῦ τῶν ἀγαθῶν.

* Βαρβάρων θραῦσον φρύαγμα
ζητούντων σου τὸ ποίμνιον
ἐξαφανίσαι, ἀρχιστράτηγε,
τοὺς δέ γε συλληφθέντας
ὑπ' αὐτῶν ἀνάρρυσαι
αἰχμαλώτους πάντοτε
εὐφημεῖν σε σὺν ἡμῖν.

Μεγίστων, ἀρχιστράτηγε,
τὴν γῆν θαυμάτων ἔπλησας
μέγιστος ὢν ἐν τοῖς ὑψίστοις
Κυρίου παραστάτης·
διὸ δυσωποῦμέν σε
ἐκ μεγίστων θλίψεων
σῶζε πάντοτε ἡμᾶς.

θεοτ. * Ἀγγελικῶν δυνάμεων,
παρθένε, ὑπερέχουσα,
ὡς τετοκυῖα τῶν ἁπάντων
Θεὸν καὶ βασιλέα,
σὺν αὐτοῖς ἱκέτευε,
παναγία δέσποινα,
διασώζεσθαι ἡμᾶς.

---

249 ἐνώτησιν Cc   εὐήκοον MR   250 εὐδρομίαν Cc   251 εὐφωνίαν Cc   252 τῷ om. MR I, 70   271 ὡς] τὸν MR   τῶν] τὸν Cd   273 αὐταῖς MR

248-254 AA.SS., 42: ... τοσούτων καὶ οὕτως ὑπερφυῶν δωρεῶν καὶ χαρισμάτων ἠξίωσεν, ὥστε καὶ νεκροῖς τὸ ζῆν, καὶ τυφλοῖς τὸ ὁρᾶν, καὶ χωλοῖς εὐδρομίαν... χαρίζεσθαι...

255 EA, 392: ... τὰς φάλαγγας τῶν ἀπίστων ἐθνῶν ἡττᾶσθαι καὶ κατατροποῦσθαι παρασκευάζετε...

f. 154v ᾠδὴ ϛʹ. *Ζάλη με*
λογισμῶν καταλαβοῦσα

* Τοὺς πάλαι
βουληθέντας ἀφανίσαι
ποταμίοις ῥεύμασι
τὸ ὕδωρ τῆς εὐλογίας,
ὃ παρέσχες, ἀρχάγγελε, πιστοῖς,
ἀπέδειξας ἀπράκτους
ἐπιστασίᾳ φρικώδει σου.

* Πάλαι μὲν
Μωϋσῆς ἔπληξε πέτραν
καὶ ἐρρύη ὕδατα,
νῦν δέ σου ῥήξαντος πέτραν
κατεπόθησαν ῥεῖθρα ποταμῶν,
εἰσέτι μαρτυροῦντα
τὸ θαῦμα, θεῖε ἀρχάγγελε.

* Τὸ εἶδος
καὶ ἡ φύσις σου πυρίνη,
πιστοὺς μὲν φωτίζουσα,
φλογίζουσα δὲ ἀπίστους,
ἀρχιστράτηγε θείων λειτουργῶν,
προστάτα τῶν ἐν πίστει
εἰλικρινεῖ εὐφημούντων σε.

---

heirm. ϛʹ EE 107, n. 150, Andreae 282 φρικώδη cdd. 285 ἐρρύει Cc 288 ἡ ἔστι μαρτυροῦσα Cc 290-296 in loco trop. « Τὸ εἶδος... » Pa et MR I, 71 ponunt trop. « Οἱ πάλαι... » 296 εἰλικρινῆ Pa

---

283-289, 413-420 AB, 305-306: ... καὶ καθάπερ Μωϋσῆς ἐν τῇ ἐρυθρᾷ θαλάσσῃ ἐκτείνας τὴν χεῖρα διὰ τῆς ῥάβδου τὴν θάλασσαν διεχώρισεν, οὕτως καὶ ὁ μέγας ταξιάρχης Μιχαὴλ ὁ ἀρχιστράτηγος ἐκτείνας τὴν δεξιὰν αὐτοῦ ὡς ἐν δείγματί φησιν ῥάβδου κατέχων ἔδωκεν εἰς κεφαλὴν τῆς στερεᾶς πέτρας· καὶ εὐθέως ἐρράγη ἡ στερεὰ πέτρα...

290-293 AB, 297: ... ἄλλοι δὲ προσερχόμενοι ἔβλεπον φλόγα πυρὸς ἐξερχομένην ἀπὸ τοῦ ὕδατος ἐπὶ τὰ πρόσωπα αὐτῶν...

---

283 Ex. 17,6 283-289 Cfr. vv. 413-420

* Οἱ πάλαι
τῇ μανίᾳ τῶν εἰδώλων
ζόφον περικείμενοι
κακοπιστίας τῷ θείῳ
προσερχόμενοι οἴκῳ σου τὸ φῶς
τῆς γνώσεως εὐχαῖς σου
περιφανῶς ἐκομίζοντο.

* Τὴν θείαν
τοῦ δεσπότου εὐσπλαγχνίαν
ἐν πᾶσι μιμούμενος
ὀρέγεις ταπεινοῖς χεῖρα
καὶ ἴᾶσαι συντρίμματα ψυχῶν
καὶ παύεις τὰς ὀδύνας
τῶν προστρεχόντων σοι, ἅγιε.

Στῦλόν σε
φωτοφόρον ὡς κατεῖδεν
Ἄρχιππος ὁ ἔνδοξος
ἐξέστη τῇ διανοίᾳ
μὴ τολμῶν ἀτενίσαι τηλαυγῶς
φωτὶ τοῦ σοῦ προσώπου,
ὦ Μιχαὴλ ἀρχιστράτηγε.

θεοτ. * Τόμον σε
προεώρα ὁ προφήτης,
ἐν ᾧ Λόγος γέγραπται
δακτύλῳ Πατρός, παρθένε,
ὃν ἱκέτευε βίβλῳ τῆς ζωῆς
ἡμᾶς καταγραφῆναι
τοὺς εὐσεβῶς σε δοξάζοντας.

---

299 ζόφῳ Cc 301 τὸ φῶς] σαφῶς Cc 302 τῆς γνώσεως] τὴν ῥῶσιν ταῖς Cc 308 ἴασαι Pa 311-317 hoc trop. tantum in cd. Ae invenitur, cett. cdd. id silent 318 Τόμων σε Pa

---

297-303 AB, 292: ... διότι πολλοὶ τῶν ἑλλήνων ἐκεῖ προσέτρεχον καὶ θεραπευόμενοι ἐπίστευον εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν...

318-320 Is. 8,1

f. 155 ᾠδὴ ζ'. *Τῇ εἰκόνι τῇ χρυσῇ*

* Συνεστῶτά σε ποτὲ
ὁ Δανιὴλ ὡς κατεῖδε
δειλίᾳ ὅλως ληφθεὶς πεφόβηται
καί, τοῖς ποσὶ τοῖς σοῖς προσπελάσας,
συνετίζεται σαφῶς
μυστηρίων ἀφανῶν
τὴν δήλωσιν κραυγάζων·
« εὐλογητὸς ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

Τοὺς ἐν πίστει τῷ σεπτῷ
καὶ παναγίῳ ναῷ σου
προσερχομένους καὶ ἀνυμνοῦντάς σε
πειρατηρίων σῶζε παντοίων,
δαιμονικῶν ἐπιφορῶν
ἀπροσδοκήτων τε κακῶν
καὶ πάσης ἐπηρείας
ἐπερχομένης ἡμῖν,
πρωτάγγελε Μιχαήλ.

* Τοὺς ἐθνῶν ἐπαγωγαῖς
ἀπαγομένους δεσμίους
εἰς τόπους λίαν μακρὰν τυγχάνοντας,
σὲ δὲ προστάτην προσκαλουμένους,
ἀρχιστράτηγε Θεοῦ,

Post odem ς' Cd κονδ., quod inc. Ἀρχιστράτηγε Θεοῦ... MR I, 71, et οἴκους sex praebet, quorum primus inc. Ἔφης φιλάνθρωπε... MR I, 71; ceteros quinque editos invenies in PAS I, 538

heirm. ζ' EE 107, n. 150, Andreae; heirm. integrus traditur in Cd 327 λιφθεὶς Cc λειφθεὶς Pa πεφόβητο Cc 329 συνετίζετο Cc -ετε Pa 330 τῶν μυστηρίων MR I, 72 332, 350, 368, 377 post εὐλογητὸς orat. varie intermittunt cdd. 334-342 hoc trop., sed in ordine quartum, tantum Ae praebet 343 ἀπαγωγαῖς Cd Pa

---

325-326 Dan. 8,15-27

προσεπανάγεις ἐν χαρᾷ
κραυγάζοντας πάντοτε·
« εὐλογητὸς ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

* Τῶν ἀγγέλων οἱ χοροὶ
κατανοοῦντές σε πόθῳ
χοροστασίαις βροτῶν ὑμνούμενον
χαρᾶς πληροῦνται ἀδιαδόχου
καὶ δοξάζουσι Θεόν,
τὸν διὰ σπλάγχνα οἰκτιρμῶν
τοὺς κάτω συνάψαντα
τοῖς οὐρανίοις μυστικῶς,
ἀρχάγγελε Μιχαήλ.

f. 155ᵛ || Τῶν πυρίνων λειτουργῶν
νεύσεσι θείαις πρωτεύων
πᾶσαν διέρχῃ τὴν γῆν τὸ βούλημα
ἀποπληρῶν τοῦ παντοδυνάμου
καὶ πλουσίαις δωρεαῖς
τοὺς πιστοὺς καταπλουτῶν
βοῶντας, ἀρχάγγελε·
« εὐλογητὸς ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

* Ποῖος τόπος ἀμοιρεῖ
τῶν σῶν ἀπείρων θαυμάτων;
ποία σε πόλις οὐκ ἔχει πρόμαχον;
ποία ψυχὴ καταπονουμένη
οὐ καλεῖ σε βοηθὸν
τὸν ἀρχιστράτηγον Θεοῦ
χαρμονικῶς βοῶσα·

---

349 πάντοτε] εὐθύμως MR 358 τοὺς] τὰ Cd 359 οὐρανοῖς MR 367 post ἀρχάγγελε Pa pergit ὁ τ(ῶν) 373 καταπονουμένη] -μένων MR

363-364 Cfr. vv. 397-398 370-378 Cfr. vv. 72-78 et 86-92

« εὐλογητὸς ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν; »

* Πλανωμένων ὁδηγός,
ἀδικουμένων προστάτης,
ὀλιγοψύχων παραμυθία τε,
χειμαζομένων ὑπὸ πνευμάτων
γαληνότατος λιμήν,
ἁμαρτωλῶν ἐγγυητής,
νοσούντων ἐπίσκεψις,
ἐσκοτισμένων φωστὴρ
σὺ εἶ, ἀρχάγγελε Θεοῦ.

θεοτ. * Τὸν σωτῆρα καὶ Θεὸν
καὶ λυτρωτὴν καὶ δεσπότην
σαρκὶ τεκοῦσα, πάναγνε δέσποινα,
τοῦτον ἀεί, ἄχραντε, δυσώπει,
ὅπως λύσιν τῶν δεινῶν
καὶ πολλῶν ἁμαρτιῶν
τὴν ἄφεσιν λάβωμεν
ὑμνολογοῦντες αὐτοῦ
τοὺς ὑπὲρ νοῦν οἰκτιρμούς.

f. 156 ᾠδὴ η'. *Γῆ καὶ πάντα τὰ ἐν αὐτῇ*

* Γῆν διέρχῃ ὡς ἀστραπὴ
βούλημα τὸ θεῖον ἐκπληρῶν,
περιπολεῖς τοὺς οὐρανοὺς
προηγούμενος τῶν ἀγγέλων,
τὸ κλέος σου μέγα
ὑπὲρ νοῦν τε τὰ ἄπειρα θαύματα,
ἅπερ ἐπὶ πᾶσαν
φρικτῶς τελεῖς τὴν κτίσιν.

---

377 post εὐλογητὸς Pa add. εἶ   394 ἄφησιν MR   395 αὐτῶν Pa   heirm. η' EE 107, n. 150, Andreae   397 ἀστραπῇ Cc   402 τε] δὲ Pa MR I, 73   404 φρικτῶς] φαιδρῶς Pa   τῇ κτίσῃ Cc

* Οἱ αὐτόπται τοῦ δι' ἡμᾶς
σώματι φανέντος ἐπὶ γῆς,
Φίλιππος ὁ πανευκλεὴς
καὶ ὁ μέγιστος θεολόγος,
ἐμπνεύσεσι θείαις
τὴν ἀέναον χάριν δεξάμενοι
σοῦ τῶν ἰαμάτων,
προλέγουσιν ἐμφρόνως.

* Ῥάβδῳ πάλαι ὁ Μωϋσῆς
ἔτεμε τὴν θάλασσαν· καὶ νῦν
ὁ ἀρχιστράτηγος Θεοῦ
τῇ δυνάμει τῇ ἀοράτῳ
ὡς ῥάβδῳ φανείσῃ
τὰ ἀτάκτως φερόμενα ὕδατα,
ὥσπερ ἐν χωνείᾳ,
τῇ πέτρᾳ παραπέμπει.

Καθὼς ἔφησε Μιχαήλ,
ὁ μέγιστος ἐν πάσαις γενεαῖς,
τὸ θεῖον τέμενος αὐτοῦ
διαμένει θεοσεβείαις
ἀπείροις ἐκλάμπον
καὶ λιμὴν τῶν ἐν ζάλῃ δεικνύμενον,
ἐν ᾧ τῶν ἁπάντων
δοξάζομεν δεσπότην.

---

410 δεξάμενοι] προκατάγγελε Pa   πρωτάγγελε MR   412 ἐμφρόνως] πανσόφως MR   415 Θεοῦ om. MR   418 ἀτάκτος Pa   419 χωνεῖα Pa   421-428 hoc trop. denuo scriptum est manu posteriore in marg. Pa, sed Ὡς pro Καθὼς ostendit   424 διαμένῃ Cc Pa   θεοσεβείαις] θεοσημείαις Cd Pa   425 ἐκλάμπον scripsi: ἐκλάμπων cdd.   426 δεικνύμενος Cd Pa

---

405-412 AA.SS., 43: ... οἱ τοῦ Λόγου αὐτόπται... θαυματουργοῦσιν ἐπισκιαζούσης ἐκεῖσε καὶ θείας χάριτος πρότερον, ταῖς τοῦ μεγάλου ἀρχιστρατήγου Μιχαὴλ ἐντεύξεσι καὶ πρεσβείαις...

---

413 Ex. 14,16,21

* Ὡς παμμέγιστος οὐρανὸς
δείκνυται ὁ οἶκος ὁ σεπτὸς
f. 156ᵛ || τοῦ τῶν ἀγγέλων ἀρχηγοῦ,
ἐν ᾧ θαύμασιν ὥσπερ ἄστροις
φωτίζονται πᾶσαι
τῶν πιστῶν αἱ καρδίαι δοξάζουσαι
τὸν ἀγωνοθέτην
Θεὸν εἰς τοὺς αἰῶνας.

* Ὥσπερ πάλαι τοῦ Βαλαὰμ
τὴν ἄλογον ἐκώλυσας ὁρμὴν
τῇ τοῦ ἀλόγου, στρατηγέ,
ἀπειλῇ σου φρικωδεστάτῃ,
υἱοὺς τοὺς τῆς Ἄγαρ
κινουμένους ἀλόγως ἑκάστοτε
καθ' ἡμῶν ἀπράκτους
ἀπόδειξον εὐχαῖς σου.

θεοτ. * Πῦρ ἐκύησας οὐδαμῶς
φλογίζον σου, παρθένε, τὴν νηδύν,
Λόγον ἐγέννησας Πατρὸς
ἐξαιρούμενον ἀλογίας
τοῖς λόγοις τοῦ πλάνου
ὑπακούσαντας καὶ παρακούσαντας
τοῦ πεποιηκότος
Θεοῦ τοῦ φιλανθρώπου.

f. 157 ᾠδὴ θ'. *Ἐποίησε κράτος*

* Ὡς ὤφθης ἀνθρώποις
διὰ σπλάγχνα οἰκτιρμῶν

435 τὸν ἀγαθοδότην Pa MR I, 73 438 τὴν om. MR 440 τῶν ἀγγέλων φρικώδη στάσιν Pa τῶν ἀγγέλων ἐλλόγῳ στάσει MR ἀπειλῇ σου] ὁμηλία Cd 446 φλογίζων Cc Pa -ίσαν MR 449 τοὺς λόγους Cd MR
heirm. θ' EE 106, n. 149, Andreae

445-446 Ex. 3,2

ἐπέστησας ἀγγέλους τούτοις, Λόγε,
διαφυλάττειν αὐτοὺς
ἀπὸ βλάβης πονηρᾶς,
μεθ' ὧν Μιχαὴλ τὸν θαυμαστόν·
δι' οὗ σε δυσωποῦμεν
πᾶσιν ἡμῖν δώρησαι
ἱλασμὸν πταισμάτων.

Δαιμόνων ἐφόδους
ἀφανίζεις ἐμφανῶς,
βαρβάρων δὲ τὰ θράση καταπαύεις,
καθαίρεις πάθη βροτῶν,
ἀποπαύεις συμφοράς,
χωλοὺς ἀνορθοῖς καὶ χορηγεῖς
φῶς τοῖς μὴ καθορῶσιν,
ἀρχάγγελε τῶν λειτουργῶν
τῶν ἐπουρανίων.

Ἡ κρήνη προχέει
ἰαμάτων ποταμούς,
ἀρχάγγελε, ἣν πᾶσι τοῖς ἀνθρώποις
προέθηκας ἐκ πολλῶν
χρόνων τε καὶ γενεῶν,
ἐξ ἧς πᾶς γευόμενος πιστῶς
λαμβάνει τὴν ὑγείαν
ἀνυμνῶν τὸν λυτρωτὴν
καὶ Θεὸν τῶν ὅλων.

* Ἰσχύν τε καὶ κράτος
ὁ πιστός σε βασιλεύς,
πρωτάγγελε, καὶ σύμμαχον πρὸς ἔθνη
πολέμια καὶ δεινὰ

455 τούτους Cd 456 διαφυλάττων MR 459 διὸ Cc 462 Δαιμόνων] Δαιδόνων Pa 464 δὲ τ. θ.] τε τὰ θράσει Pa 466 συμφορᾶς cdd. 476 ἐξῆς Cc Pa γενώμενος πιστὸς Pa 480 τε] σε MR 481 σε] σου Cc

480 Job 12,16; Dan. 11,1

κεκτημένος, τὴν αὐτῶν
τροποῦται ἀπόνοιαν ἀεὶ
καὶ εὐχαριστηρίους
διὰ σοῦ τῷ πλαστουργῷ
ᾠδὰς ἀναπέμπει.

* Ὠδὴν προσφωνεῖ σοι
ἅπας πάντοτε πιστὸς
τῷ μέλποντι ἀπαύστως ἐν ὑψίστοις
σὺν μυριάσι πολλαῖς
τὴν τρισάγιον φωνήν·
προσάγαγε πάντας τῷ Θεῷ
ἐκ συμφορῶν καὶ πόνων
ἐκλυτρούμενος ἡμᾶς,
ἀρχηγὲ ἀγγέλων.

f. 157ᵛ * ‖ Σκιρτάτω ἡ κτίσις
ἀνυμνοῦσα μυστικῶς
τὸν μέγιστον ἀρχάγγελον Κυρίου·
ὑπάρχει γὰρ ὁδηγὸς
πλανωμένων καὶ λιμὴν
πολλῶν συμφοραῖς καὶ πειρασμοῖς
ἀεὶ χειμαζομένων
καὶ νοσούντων ἰατρὸς
καὶ θαυμάτων βρύσις.

* Ἡγίασας τοῦτον
τὸν σεβάσμιον ναὸν
καὶ ἔδειξας αὐτὸν πηγὴν θαυμάτων,
ἐν ᾧ ἑστῶτες ὁμοῦ
ἐκβοῶμέν σοι πιστῶς·
« ἀρχάγγελε, αἴτησαι ἡμῖν
ἁμαρτημάτων λύσιν,
συμφορῶν ἀπαλλαγὴν
καὶ πολλὴν γαλήνην ».

---

487 πλαστουργῷ] λυτρωτῇ Cd 489 προσφωνεῖ σοι] -νῆσοι Cc -νή σοι Pa 490 πιστῶς Cc Cd 491 μέλποντι] μέλλοντι Pa 504 ἀεὶ] κακῶς MR I, 79 515 πολλῶν Pa

θεοτ. * Φανεῖσα, παρθένε,
πλατυτέρα οὐρανῶν
ἐχώρησας Θεὸν ἀνερμηνεύτως,
ὃν ἀσωμάτων χοροὶ
ἀνυμνοῦσι μυστικῶς·
αὐτὸν οὖν ἱκέτευε, ἁγνή,
πάντας ἡμᾶς σωθῆναι
τοὺς σὲ μακαρίζοντας
φωναῖς ἀσιγήτοις.

8 NOV. *CANON* XIX

IN SANCTOS MICHAEL ET GABRIEL ARCHANGELOS

Crypt. Δ.α. III = Cd, ff. 41v-44
Vat. gr. 1072 = Vo, ff. 3v-6
Vat. gr. 2069 = Vb, ff. 47v-49

Ὁ κανὼν ὑπεραλφάβητος.

Ἦχος πλ. β΄.

ᾠδὴ α΄. *Ὡς ἐν ἠπείρῳ πεζεύσας*

Ἄρχων τῶν ἄνω ταγμάτων
θεοειδὴς
πεφυκὼς ἐν πνεύματι
τῷ τῶν ὅλων βασιλεῖ
καὶ Θεῷ παρίστασαι ἡμῖν
ἱλασμὸν ἁμαρτιῶν
ἀεὶ αἰτούμενος.

Βασιλικῇ λειτουργίᾳ
προσκαρτερῶν
τοὺς ἐν γῇ, ἀρχάγγελε,
λειτουργοὺς τοῦ σοῦ ναοῦ
ἀπὸ πάντων λύτρωσαι δεινῶν
ἱκετεύομεν τὴν σὴν
μεγαλειότητα.

tit. Τῇ ἑσπέρᾳ κανὼν ὑπὲρ ἀλφάβητος Cd Κανὼν εἰς τὸν ἀρχιστράτηγον Μιχαὴλ κατὰ A-B παρακλητικὸς Vo Εἰς τὸ ἀπόδειπνον κανὼν Vb
heirm. α΄ EE 159, n. 224, Joannis 2 φωτοειδὴς Vo 4 τῷ] τῶν Vb 5 ἡμῖν] ἀεὶ Vo 7 ἀεὶ] ἡμῖν Vo 8-9 Βασιλεικῶν προσταγμάτων / ἐγκαρτερῶν Vo 11 τοῦ σοῦ] σου τοῦ Vo 12-14 ἀπὸ πάσης λύτρωσαι ὀργῆς / καὶ φθορᾶς καὶ πειρασμῶν / τῇ μεσιτείᾳ σου Vo

Γῆν ἐπὶ πᾶσαν τὸ κλέος
περιφανῶς
τῶν θαυμάτων ᾄδεται,
ὧν ἡμέρας καὶ νυκτὸς
ἐν τῷ σῷ, ἀρχάγγελε, τελεῖς
θαυμαζόμενος λαμπρῶς
τεμένει πάντοτε.

θεοτ. Δεδοξασμένη, παρθένε,
ἡ τῶν πιστῶν
δόξα καὶ κραταίωμα,
τῶν ἀγγέλων ἡ χαρά,
σὺν αὐτοῖς ἱκέτευε χαρᾶς
αἰωνίου καὶ ζωῆς
ἀξιωθῆναι ἡμᾶς.

ᾠδὴ γ΄. *Οὐκ ἔστιν ἅγιος ὡς σύ,*

Διόλου νεύσει πρὸς Θεὸν
ἄτρεπτος διαμένεις,
ἀρχηγὲ τῶν ἀγγέλων,
καὶ ἡμῖν τοῖς ταπεινοῖς
τρεπτοῖς καὶ ἀλλοιωτοῖς
βοηθείας
χεῖρα νέμοις πάντοτε.

Ἑώρα πάλαι Ἰησοῦς
φοβερόν σου τὸ εἶδος
καὶ μαθὼν ὅστις πέλεις
μετ᾽ ἐκπλήξεως βοᾷ·
« τί μοι προστάττεις τῷ σῷ
νῦν οἰκέτῃ,
θεῖε ἀρχιστράτηγε; »

17 ᾄδεται in ᾄδετε sup. lin. corr. in Vo 20 λαμπρῶς] πιστῶς Vo 21 τεμένη π. Vo 26 χαρᾶς] ζωῆς Vo 27 ζωῆς] χαρᾶς Vo
heirm. γ΄ EE 159, n. 224, Joannis 30 διαμένει Vb 35 χεῖραν Cd Vb νέμης Vo 40 τί μοι π.] τί οὖν προστάσσεις Vo 41 νῦν οἰκέτι Vo

36-42 Jos. 5,13-14

Ζωῆς μελλούσης κοινωνοὺς
τοὺς πολλαῖς ἁμαρτίαις
τὰς ψυχὰς νεκρωθέντας
ἀνάδειξον τῇ ζωῇ
τῶν ζώντων παρεστηκὼς
μετὰ δόξης,
θεῖε ἀρχιστράτηγε.

θεοτ. Ἐν ὥρᾳ δίκης φοβερᾶς
εὕροιμί σε, παρθένε,
ῥυομένην παντοίας
τιμωρίας τὸν πολλὰ
ἀφρόνως πράξαν⟨τα⟩ δεινὰ
καὶ κολάσει
πάσῃ ὑποκείμενον.

f. 42 ‖ Κάθισμα.

Ἦχος β'. Πρός· *Ἡλιοῦ ἐμιμήσω*

Ἀρχηγὲ ἀσωμάτων, πάντων προστάτα,
τοὺς τῷ θείῳ σου οἴκῳ πίστει καὶ πόθῳ
ἐκ πειρασμῶν καὶ κινδύνων καὶ θλίψεων
⟨— ´ — ´ — — ´ — — ´ — —⟩
καὶ ἐκ πάσης στενώσεως
Χριστὸν ὑπὲρ ἡμῶν ἀεὶ ἱλεούμενος.

ᾠδὴ δ'. *Χριστός μου δύναμις,*

Ἡλίῳ ἔοικας
ὑπὲρ τὸν ἥλιον
ἀποπέμπων ἀκτῖνας

46 τῇ ζωῇ] πρὸς ζωὴν Vo 47 τῷ ζῶντι Vo 50-56 θεοτ. om. Cd Vb 51 εὕρομεν Vo 52-53 παντοίαις τιμωρίαις 54 πράξαντα scripsi: πράξαν Vo
heirm. καθ. HC, 316 Κάθ. om. Vo; idem post ς' odem collocat Vb 4 versus desideratur
heirm. δ' EE 159, n. 224, Joannis 57 Ἡλίου Vo

43 I Pet. 5,1

θεοειδεῖς,
Μιχαὴλ ἀρχάγγελε,
καὶ καταυγάζων τὰς ἡμῶν
διανοίας θείᾳ χάριτι.

Θεοῦ πρωτάγγελε,
Θεοῦ διάκονε,
βοηθὲ τῶν ἐν θλίψει,
ἁμαρτωλῶν
μέγα καταφύγιον,
τῆς συνεχούσης με δεινῆς
ἁμαρτίας ἐλευθέρωσον.

Ἰδοὺ ὁ μέγιστος
ναός σου, μέγιστε
ἀρχιστράτηγε δόξης,
πάντων πιστῶν
ἔστι καταφύγιον,
ἐν ᾧ τὰς λύσεις τῶν δεινῶν
μεσιτείᾳ σου λαμβάνομεν.

θεοτ. Οὐ κατεκαίετο
ἐν τῷ φλογίζεσθαι
ἐν φλογὶ πυρὸς βάτος
σοῦ τὸν φρικτὸν
τόκον προχαράττουσα·
οὐ γὰρ ἐφλέχθης τὴν νηδύν,
πῦρ τεκοῦσα, παναμώμητε.

60 φωτοειδεῖς Vo 62 καὶ καταυγάζοντας ἡμᾶς Vb 62-63 τὰς ἡμῶν διανοίας] τῶν πιστῶν τὰς καρδίας Vo 64 πρωτάγγελε] ἀρχάγγελε Vo 71 μέγιστος] ἔνδοξος Vo 75-77 propter homoioteleuton cd. Vo repetit vv. 68-70 77 μεσιτείᾳ] μεσιτείας Vb μεσιτείαις Vo; cfr. v. 84 81 φρικτὸν] σεπτὸν Vo 83-84 ἐν ᾧ τὰς λύσεις τῶν δεινῶν / μεσιτείαις σου λαμβάνομεν Vo; cfr. vv. 76-77

78 Ex. 3,2

ᾠδὴ ε΄. *Τῷ θείῳ φέγγει σου, ἀγαθέ,*

Κατακοσμούμενος θεϊκαῖς,
οἷα στρατηγός, μαρμαρυγαῖς,
ὦ Μιχαὴλ ἀστραπόμορφε,
πᾶσι τοῖς ἀξίοις ὁρᾶσαι πάντοτε
βουλήματι τῷ θείῳ
διακονούμενος.

Λαὸν καὶ ποίμνην σου ἱεραῖς
σοῦ πρὸς τὸν Θεὸν καταλλαγαῖς
βαρβαρικῆς, ἀρχιστράτηγε,
ῥῦσαι μοχθηρίας καὶ μιαιφόνου χειρὸς
καὶ τῆς ἐκ τῶν δαιμόνων
παρενοχλήσεως.

f. 42v ‖ Μὴ παραδώῃς ἡμᾶς, Χριστέ,
ἔθνεσιν ἀθέοις καθ' ἡμῶν
συγκινουμένοις ἑκάστοτε,
τύχωσι μηδόλως τῆς προσδοκίας αὐτῶν,
ὁ μέγας δυσωπεῖ σε
νῦν ἀρχιστράτηγος.

θεοτ. Μόνη ἀνθρώπων καταφυγή,
μόνη τῶν ἀγγέλων χαρμονή,
θεοχαρίτωτε δέσποινα,
πάντοτε σὺν τούτοις τὸν εὐσυμπάθητον
δυσώπει αἰωνίου
χαρᾶς τυχεῖν ἡμᾶς.

---

heirm. ε΄ EE 159, n. 224, Joannis 87 ἀστραπόμορφε] ἀρχιστράτηγε Vo 88 ὠρᾶσαι Cd 89 τὸ θεῖον Vo 91 ἱερῶς Vo 93 ἀρχιστράτηγε] ἀναλώσεως Vo 95-96 κατὰ τῆς ἐγκειμένης / ὀργῆς φιλάνθρωπε Vo 103 Μόνη] Σὺ τῶν Vo καταφυγῆ Vo 104 χαρμονὴ] ἡ χαρᾷ Vo 106 σὺν τούτοις om. Vo 105-106 τὸν εὐσ. δυσώπει] δυσώπει τὸν εὐσ. Vo 107-108 ζωῆς τῆς αἰωνίου / ἀξιωθῆναι ἡμᾶς Vo

ᾠδὴ ϛ΄. *Τοῦ βίου τὴν θάλασσαν*

Νόων προηγούμενος
οὐρανίων, Μιχαήλ,
τοὺς ἐπὶ γῆς ἑκάστοτε
εὐεργετεῖς καὶ σώζεις ἐκ πειρασμῶν
καὶ πάσης στενώσεως
καθυπείκων τῇ νεύσει τοῦ Παντάνακτος.

Ξιφήρης ἱστάμενος
Ἰησοῦς ὁ τοῦ Ναυῆ
καὶ σοῦ τὸ εἶδος μέγιστον
κατανοήσας, μέγιστε Μιχαήλ,
εἰς γῆν κατεκλίνετο
« τί προστάττεις μοι — λέγων — ἀρχιστράτηγε »;

Ὁρῶντες τὰ θαύματα
τὰ παράδοξα ναῷ
τῷ σῷ ἐπιτελούμενα
ἐπιφοιτήσει σου θείᾳ καὶ φρικτῇ,
Θεοῦ ἀρχιστράτηγε,
δυσωποῦμέν σε πάντων ἡμῶν μνήσθητι.

θεοτ. Παχύτητι σώματος
τὸν ἀσώματον Θεόν,
θεοκυῆτορ, τέτοκας,
ὃν ἀσωμάτων τρέμουσιν οἱ χοροί,
μεθ' ὧν αὐτῷ πρέσβευε
τὰς ψυχὰς ἡμῶν σῶσαι ἀειπάρθενε.

---

heirm. ϛ΄ EE 159, n. 224, Joannis 111 τοῖς Vo 113 στενώσεως] κακώσεως Vo 120 προστάσσεις Vo 122-123 ναῷ τῷ σῷ] τῷ σῷ ναῷ Vo 124 σου θείᾳ] θείᾳ σου Vb 125 διὸ καὶ προστρέχωμεν Vo 129 ἐν σοὶ γαστρὶ ἐχώρησας Vo 131 αὐτῷ πρέσβευε] ἐκδυσώπησον Vo

---

115-120 Jos. 5,13-14

Κονδάκιον.

Ἦχος δ'. Πρός· *Ἐπεφάνης σήμερον*

Τῶν ἀγγέλων ἔξαρχοι

....

⟨Οἱ οἶκοι.⟩

Τῷ ἐπὶ θρόνου Χερουβὶμ

....

f. 43 Ὅταν ἐξ ὕψους ἡ ζωὴ

....

ᾠδὴ ζ'. *Δροσοβόλον μὲν τὴν κάμινον εἰργάσατο*

Παρεστώς σοι, ἀρχιστράτηγε, ἐδέετο
Δανιὴλ συνετίζεσθαι
θείαν ὅρασιν,
ἣν ἑώρα πνεύματος φωτὶ
λαμπόμενός τε καὶ μελῳδῶν·
« εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

Ῥῦσαι πάσης ἡμᾶς θλίψεως πρεσβείαις σου,
ἀρχάγγελε, δεόμεθα
καὶ ἰάτρευσον
τῶν σωμάτων τε καὶ τῶν ψυχῶν
ἡμῶν τὰ νοσήματα Χριστὸν
ἐκδυσωπῶν τὸν ἀγαθὸν
Θεὸν καὶ Κύριον.

Κονδ. et οἶκ. PAS I, 541-542
Κονδ. et οἶκ. om. Vo; οἶκ. « Τῷ ἐπὶ θρόνου Χερουβὶμ » om. Vb
heirm. ζ' EE 159, n. 224, Joannis 136 πνεύματι φωτὸς Vo 138, 159 post εὐλογητὸς orat. varie intermittunt cdd. 144-146 τῶν πίστει τιμώντων σε ἀεὶ / εὐλογητὸς εἶ ὁ Θεὸς / (ὁ τῶν πατέρων ἡμῶν) Vo

---

134-136 Dan. 8,15 140 Ps. 33,18

Σὲ προστάτην καὶ μεσίτην πρὸς τὸν Κύριον
ἐν πίστει προβαλλόμεθα,
ἐξελοῦ ἡμᾶς
ἐξ ἐθνῶν ἀθέων, Μιχαήλ,
ἀνθρώπων τε πάντων πονηρῶν
ἐπιζητούντων δολερῶς
κακοποιῆσαι ἡμᾶς.

f. 43v θεοτ. ‖ Παναγία μητροπάρθενε, κυήσασα
βουλῆς μεγάλης ἄγγελον,
αὐτῷ πρέσβευε
σὺν ἀγγέλοις πᾶσιν ἐκτενῶς
σωθῆναι τοὺς ψάλλοντας πιστῶς·
« εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

ᾠδὴ η'. *Ἐκ φλογὸς τοῖς ὁσίοις*

Τὴν θερμήν σου πρεσβείαν
ἡμῖν χορήγησον
καὶ ἐχθροῦ τῶν παγίδων
ἡμᾶς διάσωσον·
λάμψον φωτισμὸν
καθαρὸν ταῖς ψυχαῖς ἡμῶν,
ἵνα σε τιμῶμεν, ἀρχάγγελε Κυρίου.

Ὑφαπλοῦμέν σοι χεῖρας
καὶ γόνυ κλίνομεν
ἀγαθὸς πρὸς τὸν κτίστην
μεσίτης φάνηθι
πᾶσιν, ἀρχηγὲ

---

150 ἐθνῶν] ἐχθρῶν Vo 153 κακοποιῆσαι] τοῦ ἀπολέσαι Vo 156 αὐτῷ] τοῦτον Vo 159-160 εὐλογημένη ἡ θεὸν / σαρκὶ κυήσασα Vo
heirm. η' EE 159, n. 224, Joannis 167 ἀρχάγγελε Κυρίου] εἰς πάντας τοὺς αἰῶνας Vo 169 κλίνωμεν Vo 172 ἀρχηγὸς Vo

---

155 Is. 9,6

τῶν ἀγγέλων, δεόμεθα,
ὅπως ἡμᾶς σώσῃ
κινδύνων καὶ πταισμάτων.

Φαεινόν σε ἀστέρα
καὶ μέγαν ἥλιον
καταυγάζοντα κόσμον
θείαις λαμπρότησι
γνόντες, Μιχαήλ,
τοῦ Θεοῦ ἀρχιστράτηγε,
σκότους ἁμαρτίας
ῥυσθῆναι δυσωποῦμεν.

θεοτ. Ἡ τὸν Λόγον τῷ λόγῳ
κυοφορήσασα
τῶν ἀλόγων παθῶν με,
δέσποινα, λύτρωσαι
καὶ τὸν λογισμὸν
τῆς ψυχῆς μου φαιδρύνασα
λόγον ἀνυμνεῖν σε
παράσχου εἰς αἰῶνας.

ᾠδὴ θ'. *Θεὸν*
ἀνθρώποις ἰδεῖν ἀδύνατον

Χριστοῦ
τὸν μέγιστον ἀρχιστράτηγον,
τὸν πρεσβευτὴν
καὶ πάντων ἀγαθῶν ἀντιλήπτορα,
τὸν ἡμῶν σκεπαστήν, τὸν ῥυόμενον
πάσης ἡμᾶς ἀνάγκης,

173 δεόμεθα] γενόμενος Vo 174-175 σὲ ὑπερυψοῦμεν / ἀρχάγγελε Κυρίου Vo 180-181 Μιχαὴλ τοῦ Θεοῦ] τοῦ Θεοῦ Μιχαὴλ Vo 182-183 σὲ ὑπερυψοῦμεν / εἰς πάντας τοὺς αἰῶνας Vo 184 post Λόγον vacuum sex litterarum scriba cd. Cd reliquit 184 Ἡ τῷ λόγῳ τὸν Λόγον Vo 189 φαιδρύνουσα Vo 190-191 ἵνα σε δοξάζω / τὴν μόνην θεοτόκον Vo

heirm. θ' EE 159, n. 224, Joannis 192 Χριστοῦ] Θεοῦ Vo 195 ἀγαθῶν] τῶν πιστῶν Vo 196 ῥυόμενον] οὐράνιον Vo

τὸν συμπαθέστατον
καὶ φωταγωγὸν ἡμῶν πιστῶς
ὑμνολογήσωμεν.

Ψυχῶν
σωτῆρά σε ἐπιστάμεθα
καὶ ἰατρὸν
παθῶν σωματικῶν, ἀρχιστράτηγε,
f. 44 πο||λεμίων βαρβάρων ἀντίπαλον,
πρέσβυν, ἁμαρτανόντων,
σῶσον, οἰκτείρησον,
πάσης ἐξελοῦ ἡμᾶς ὀργῆς
ταῖς προστασίαις σου.

Ὡς φῶς,
ὡς ὄρθρος, ὡς μέγας ἥλιος
πᾶσαν τὴν γῆν
διέρχῃ, Μιχαὴλ ἀρχιστράτηγε,
καταυγάζων τοῦ κόσμου τὰ πέρατα,
λύων δαιμόνων σκότος,
παύων τὰ σκάνδαλα,
πάντας ἀβλαβεῖς διατηρῶν
τοὺς ἀνυμνοῦντάς σε.

θεοτ. Ἐκ σοῦ
τὴν σάρκα Θεὸς ἀνέλαβε
καὶ τοὺς βροτοὺς
δι' οἶκτον, παναγία, ἐθέωσε
καὶ ἀγγέλοις συνῆψεν ὡς εὔσπλαγχνος,
μεθ' ὧν, ἁγνή, δυσώπει
πάσης στενώσεως,
πάσης περιστάσεως ἡμᾶς
ἀπολυτρώσασθαι.

205-209 τῶν πιστῶν καταυγάζων τὸ πλήρωμα / λύεις δαιμόνων σκότος / παύεις τὰ σκάνδαλα / πάντας ἀβλαβεῖς διατηρῶν / τῇ μεσιτείᾳ σου Vo; cfr. vv. 214-218 206 πρέσβειν Cd πρεσβεύειν Vb 211 ὡς μέγας, ὡς ὄρθρος ἥλιος Vb 214-218 πολεμίων βαρβάρων ἀντίπαλος / πρέσβυς ἁμαρτανόντων / σῶσον οἰκτείρησον / πάσης ἐξελοῦ ἡμᾶς ὀργῆς / τῇ μεσιτείᾳ σου Vo; cfr. vv. 205-209 225 στενώσεως] κακώσεως Vo 227 ἀπολυτρώσασθε Cd Vb

8 NOV. *CANON* XX

IN SANCTAM MATRONAM

Synaxarium, 203-205: Μνήμη τῆς ὁσίας ⟨μητρὸς⟩ ἡμῶν Ματρώνης. Αὕτη ἦν ἐπὶ Λέοντος τοῦ μεγάλου καὶ Βηρίνης τῆς αὐτοῦ γαμετῆς· ὑπῆρχε δὲ ἐκ Πέργης τῆς Παμφυλίας. Συναφθεῖσα δὲ ἀνδρὶ ὀνόματι Δομετίῳ καὶ μήτηρ μιᾶς παιδὸς γενομένη, ἀνέρχεται ἐν Κωνσταντινουπόλει μετὰ τοῦ οἰκείου ἀνδρὸς δεκαπέντε οὖσα ἐτῶν· καὶ γενομένη συνήθης παρθένῳ τινὶ ὀνόματι Εὐγενίᾳ καὶ τὴν αὐτῆς ζηλώσασα πολιτείαν, οὐκ ἀφίστατο τῶν ἐκκλησιῶν τοῦ Θεοῦ. Ἔχουσα δὲ τὸν πρὸς Θεὸν αὐτῆς ἔρωτα θερμότερον, παραδίδωσι τὴν θυγατέρα αὐτῆς γνωρίμῳ τινὶ γυναικὶ ὀνόματι Σωσάννῃ· καὶ ἀκούσασα· « Ὅστις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτὸν καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθείτω μοι· » ἐνεδύσατο στολὴν ἀνδρικὴν καὶ ἀπῆλθεν εἰς τὸ τοῦ ὁσίου Βασιανοῦ μοναστήριον ὡς ἐν σχήματι εὐνούχου καὶ συνέβαλλε τοῖς μοναχοῖς. Ὁ δὲ Βασιανὸς γνοὺς τῷ πνεύματι γυναῖκα αὐτὴν εἶναι καὶ παρὰ τοῦ ἀνδρὸς ἐπιζητουμένην, πέμπει αὐτὴν εἰς Ἱεροσόλυμα, εἶτα εἰς Βηρυτόν· καὶ αὖθις ἐλθοῦσαν εἰς Κωνσταντινούπολιν παραδέχεται καὶ προτρέπει μένειν ἐν ἰδιαζούσῃ μονῇ, ἥτις κατ' ἐπώνυμον αὐτῆς μέχρι τοῦ νῦν λέγεται· βιώσασα δὲ περὶ τὰ ἑκατὸν ἔτη σχεδόν, ἐν εἰρήνῃ πρὸς Κύριον ἐξεδήμησε.

Crypt. Δ.α. XIII = Cc, ff. 150v-157v

Ὁ κανών.

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Τῷ ἐκτινάξαντι ἐν θαλάσσῃ*

Ἀποθεμένη, μήτηρ ὁσία,
τῶν γυναικῶν τὸ ἀσθενὲς
καὶ πνευματικῶς ἐνδυσαμένη ἀνδρείαν ἰσχύν,
κατέβαλας ἐν Χριστῷ
τὴν τοῦ ἐχθροῦ πολυμήχανον ἀπάτην.

tit. Ἕτερος κανὼν τῆς ὁσίας Ματρώνης
heirm. α' EE 229, n. 328, Germani

f. 151 ‖ Εὐαγγελικῶς ἐπ' ὤμων, ὁσία,
σὺ ἀραμένη τὸν σταυρόν,
ὅλην τῷ Κυρίῳ σεαυτὴν ἀνατέθηκας
καὶ γέγονας ἀκλινὴς
τῆς οὐρανῶν βασιλείας ὁδοιπόρος.

Τῆς καθαρᾶς σου ὄντως καρδίας
καὶ τὸ τοῦ βίου σου σεμνὸν
πασῶν τῶν ἀρετῶν σε μητέρα ἀνέδειξε·
πλουσίως γὰρ διὰ σοῦ
τῶν θεϊκῶν εὐποροῦμεν χαρισμάτων.

θεοτ. Τὴν ἀκατάφλεκτον ἐν Σιναίῳ
βάτον ἑώρα Μωϋσῆς
καὶ τὴν σὴν γαστέρα προετύπου, παρθένε ἁγνή·
ἐκύησας γὰρ τὸ πῦρ
τὸ τῆς θεότητος ἀκαταφλέκτως.

f. 151v ᾠδὴ β'. *Πρόσεχε,*
οὐρανέ, καὶ λαλήσω
καὶ ἀνυμνήσω Χριστὸν

Τὸν πόθον σου
πρὸς Θεὸν κεκτημένη,
μήτηρ ἀείμνηστε,
τὸν πολυτάραχον βίον
διέφυγες ἑνωθεῖσα αὐτῷ.

Μετήνεγκας
ἀρετὰς εἰς ἀνδρείαν,
μήτηρ, τὸ θήλαιον·
πολυτρόπως γὰρ πᾶσαν
κατέβαλες τοῦ ἐχθροῦ τὴν ἰσχύν.

6 ἐπώμων 18 προετύποι
heirm. β' EE 226, n. 324, Germani, metrica ipsius autem tropariis sequentibus aegre aptatur 30 κατέβαλας

6-7 Matth. 16,24; Marc. 8,34; Luc. 9,23 16-17 Ex. 3,2 30 Ez. 32,12

Πρό⟨σ⟩σχες μοι
ὁ παρέχων τῷ κόσμῳ
τὴν σὴν εἰρήνην, Χριστέ,
καὶ τὴν ἀχλὺν τῆς ψυχῆς μου
διάλυσον τῆς ὁσίας εὐχαῖς.

θεοτ. * Ἄχραντε,
θεοτόκε παρθένε,
μόνη πανύμνητε,
τὸν υἱόν σου δυσώπει
σωθῆναι τοὺς ἀνυμνοῦντάς σε.

f. 152v || ᾠδὴ γ'. *Στερέωσον ἡμῶν*

Μνήμην εὐσεβῆ
μητρὸς ἐπιτελοῦντες
ὕμνους τῷ Θεῷ
προσοίσωμεν ἀξίους
τῷ συνεργήσαντι ταύτην τοῦ ἀντιπάλου
τὰς πολυπλόκους καθελεῖν μηχανάς.

Σὺ ὡς ἱερὰ
τῆς ἄνω πολιτείας
Ἱερουσαλὴμ
πολίτης ἀνεδείχθης
προσκυνητὴς τοῦ Κυρίου τῶν παθημάτων
καὶ καθαιρέτης ἰσχυρὰ τοῦ ἐχθροῦ.

Ὑπόθεσις ἡμῖν
πραγμάτων παραδόξων
ὁ βίος σου, σεμνή,
σωτήριος ἐδείχθη·
τοὺς γὰρ ῥαθύμους ἀνίστησι πρὸς ἀνδρείαν
ὑπομονὴν τοῖς ἐν ἀνάγκῃ δεικνύς.

31 Πρόσχες μοι 32 τὸν κόσμον cd. 36-40 θεοτ. Anth. I, υξζ'; AHG I, 75; cfr. etiam in hoc vol. canonem X, 46-50
heirm. γ' EE 229, n. 328, Germani; idem est qui in eodem EE 224, n. 321, et Joanni tribuitur 52 ἰσχυρᾶς cd.

θεοτ. * Χαῖρε τοῦ Θεοῦ
εὐρύχωρον χωρίον·
χαῖρε κιβωτὲ
τῆς νέας Διαθήκης·
χαῖρε ἡ στάμνος, ἐξ ἧς τὸ μάννα ἐδόθη
πᾶσι βροτοῖς τὸ ἐπουράνιον.

f. 153 ᾠδὴ δ'. *Οὐρανοὺς ἐκάλυψε, Κύριε, ἡ ἀρετή σου*

Ὡς πύργος, ὁσία, ὁ οἶκος τῆς ἀσκήσεώς σου
εὐφραίνων δείκνυσι
τοῦ βίου τὴν ἔλλαμψιν.

f. 153v || Τῷ βασιλεῖ, ὁσία, Χριστῷ ἀκολουθήσασα
καὶ βασιλίδας ἔπεισας
τοὺς τρόπους μιμήσασθαι.

Ὁ τὴν ὁσίαν Ματρῶναν δοξάσας ἐπὶ γῆς
Θεὸς κἀμὲ ἐλέησον
καὶ σῶσον ὡς φιλάνθρωπος.

Ἐκ τῶν ἔργων ἔχουσα, μήτηρ, τὸ θαρρεῖν
ἀπαύστως πρέσβευε
σωθῆναι τὰς ψυχὰς ἡμῶν.

θεοτ. Ἡ σαρκὶ τεκοῦσα, παρθένε, τὸν τῶν ὅλων Θεόν.
αὐτὸν ἱκέτευε
σωθῆναι τὰς ψυχὰς ἡμῶν.

f. 154 ᾠδὴ ε'. *Ὀρθρίζοντες βοῶμέν σοι, Κύριε,*

Στῦλον φωτοφόρον τὸν βίον σου
κεκτημένοι,
Ματρῶνα, οὐ βλαπτόμεθα
τῶν πειρασμῶν τοῦ ἐχθροῦ ἡμῶν.

59-64 θεοτ. PaR, 634 63-64 χαῖρε ἡ ἔγχρυσος στάμνος, ἐξ ἧς τὸ μάννα / πᾶσιν ἐδόθη τὸ οὐράνιον PaR
heirm. δ' EE 227, n. 325, Joannis 70 μιμήσασθε 77-79 θεοτ. cfr. AHG VII, 189
heirm. ε' EE 226, n. 324, Germani

Ὁδὸν πρὸς σωτηρίαν τὸν βίον σου
ἐγνωκότες,
ὁσία, τὴν ποίμνην σου
ἀκολουθεῖν σοι ἀξίωσον.

Πρὸ τέλους ἐκ τῶν τρόπων, θεόφρον,
ἐθαυμαστώθης
δεικνύντος τοῦ Θεοῦ ἡμῶν
τὴν μετὰ θάνατον δόξαν σου.

θεοτ. * Παρθένον μετὰ τόκον ὑμνοῦμέν σε,
θεοτόκε·
σὺ γὰρ τὸν Θεὸν Λόγον
σαρκὶ τῷ κόσμῳ ἐκύησας.

f. 154ᵛ ᾠδὴ ϛʹ. Πρός· *Ἄσωμεν...*
Κύριε τοῦ ἐλέους,
ἄκουσον φωνῆς ἡμῶν, δεόμεθα.
ὡς τῷ πάλαι προφήτῃ
Ἰωνᾷ δεομένῳ καὶ σῶσόν με.

Ὡς τρυφὴν ἐγκρατείας
καὶ πτωχείας πλοῦτον, ἀξιύμνητε,
τὸν βίον σου ὁρῶντες
πατρικῆς εὐφροσύνης πληρούμεθα.

f. 155 ‖ Καύχημα τῆς μονῆς σου
καὶ τῆς οἰκουμένης ἐγκαλλώπισμα
διαλάμπουσα, μήτηρ,
ὡς ἀνέσπερος ἥλιος φαίνεις ἡμῖν.

92-95 θεοτ. MR I, 183; cfr. etiam in hoc vol. canonem XVI, 73-76 heirm. ϛʹ ineditus videtur, sed rhythmo simillimus est heirmo αʹ odes EE 224, n. 321, Joannis

---

97 II Cor. 8,2

θεοτ. Χαῖρε ἅγιον ὄρος,
χαῖρε οὐρανόθρονον στερέωμα
τοῦ ἡλίου τῆς δόξης,
χαῖρε δούλη καὶ μήτηρ Χριστοῦ τοῦ Θεοῦ.

f. 155ᵛ ᾠδὴ ζʹ. *Ὁ ἐν ἀρχῇ*
τὴν γῆν θεμελιώσας

Ὁ τοῖς πιστοῖς
σωτηρίας λιμένα
τῆς ὁσίας τὸν βίον ἀναδείξας,
εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας,
Κύριε, ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Ἀσκητικῇ
καρτερίᾳ, ὁσία,
τὴν τοῦ ἐχθροῦ πανουργίαν νικῶσα,
στεφάνῳ δόξης κατεκοσμήθης
ὑπὸ Χριστοῦ τοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν.

Οἱ τὰς ψυχὰς
νοσοῦντες ἐκ πταισμάτων
ψυχωφελὲς ἰατρεῖον εὑρόντες
τῶν ἀρετῶν σου τὴν πολιτείαν,
ἐπαξίως, ὁσία, πάντες τιμῶμέν σε.

θεοτ. * Ὁ ἐν γαστρὶ
τῆς παρθένου οἰκήσας
καὶ ἐν αὐτῇ τὸν Ἀδὰμ ἀναπλάσας,
εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας,
Κύριε, ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

---

heirm. ζʹ EE 226, n. 323, Germani 111, 126 post τοὺς orat. varie detruncat cd. 120 ψυχωφελῆ 123-127 θεοτ. MR V, 116; cfr. etiam in hoc vol. canones X, 176-180 et XVI, 114-120

---

116 I Pet. 5,4

f. 156v ᾠδὴ η΄. *Τὸν τοῦ παντὸς δημιουργὸν*
καὶ σωτῆρα τῶν ψυχῶν ἡμῶν,
ἱερεῖς ⟨εὐλογεῖτε
εἰς πάντας τοὺς αἰῶνας.⟩

Εἰς γενεὰν καὶ γενεὰν
τὸ μνημόσυνόν σου μένει, σεμνή,
μετ' ἐγκωμίων ἐν πίστει,
ὃ τελοῦμεν ἐν τῇ δόξῃ σου.

Τῇ φερωνύμῳ ἑαυτῆς
σεμνυνομένη ἐνδοξότητι
εἰς οὐρανοὺς ἀνηνέχθης,
Ματρῶνα παμμακάριστε.

Εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ δοξάζων τοὺς δοξάζοντάς σε
καὶ ταῖς εὐχαῖς τῆς ὁσίας
τῇ σκέπῃ σου συντηρῶν ἡμᾶς.

θεοτ. Τὸν ἐν τῷ πόκῳ Γεδεὼν
τὴν παρθένον προτυπώσαντα,
ἱερεῖς, εὐλογεῖτε
εἰς πάντας τοὺς αἰῶνας.

f. 157v ᾠδὴ θ΄. *Μεγαλύνομέν σε*
τὴν πανάμωμον...

Ἀσκητικοῖς ἀγῶσι
καθαρθεῖσα τὴν ψυχὴν καὶ τὸ σῶμα, σεμνὴ
ἀείμνηστε, γέγονας
Θεοῦ οἰκητήριον.

heirm. η΄ ineditus; species tamen videtur illius qui in ΕΕ (135-136, n. 189, Germani) nobis patet 129 μένη 142 post εὐλογεῖτε cetera om. cd.
heirm. θ΄ ΕΕ 226, n. 323, Germani

128-129 Ps. 101,13; 134,13 137 I Regn. 2,30 140 Jud. 6,37-39

Τῶν θαυμάτων χάριν
ἐπαξίως σοι Χριστὸς ἐδωρήσατο·
αὐτῷ γὰρ ἠκολούθησας
ἀνδρείῳ φρονήματι.

Ὁ Θεὸς τῇ πρεσβείᾳ
τῆς ὁσίας σου Ματρώνης, φιλάνθρωπε,
δώρησαι τοῖς δούλοις σου
πταισμάτων συγχώρησιν.

θεοτ. Χαῖρε πύλη ἁγία,
τῷ Θεῷ ἀνεῳγμένη τῷ μόνῳ σοφῷ,
ἐν ᾗ ἐπεσκίασε
τὸ Πνεῦμα τὸ Ἅγιον.

9 NOV. *CANON* XXI

IN SANCTAM EUSTOLIAM

Synaxarium, 207-208: Εὐστολίας. Αὕτη ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Μαυρικίου, γέννημα καὶ θρέμμα τῆς Ῥωμαίων πόλεως τυγχάνουσα καὶ γονέων εὐσεβῶν καὶ πιστῶν καὶ ἐν αὐταρκίᾳ βιούντων. Ἥτις ἐξ ἁπαλῶν ὀνύχων νηστείαις καὶ εὐχαῖς σχολάζουσα καὶ ἑαυτὴν τῷ Θεῷ προσέχουσα, πάντα καταλιποῦσα ἐνὶ σεμνείῳ ἐξέδωκε γυναικῶν παρθενίᾳ διαλαμπουσῶν καὶ συναρίθμιος αὐταῖς γενομένη ἐπὶ πλεῖον ἐπηύξησε τοὺς θείους καρπούς· αὕτη θείῳ ἔρωτι πυρπολουμένη καὶ μὴ στέγουσα, καταλιποῦσα τὴν Ῥωμαίων, τὴν Κωνσταντινούπολιν καταλαμβάνει. Καὶ περιερχομένη τοὺς θείους καὶ σεβασμίους οἴκους..... ὀψὲ ἐν συντυχίᾳ γίνεται νεάνιδός τινος τοὔνομα Σωπάτρας, ἥτις ἦν θυγάτηρ Μαυρικίου τοῦ βασιλέως. Αὕτη περιπλακεῖσα τῇ Εὐστολίᾳ καὶ κατασπαζομένη, ἱκέτευεν ἔχειν αὐτὴν μητέρα πνευματικὴν καὶ σώματος καὶ ψυχῆς φύλακα. ..... Αἰτησαμένη δὲ τόπον τινὰ ἐπιτήδειον παρὰ τοῦ ταύτης πατρὸς καὶ βασιλέως καὶ περιποιησαμένη οἴκημά τι, ἐν αὐτῷ κατασκηνοῖ ἅμα τῇ ἀοιδίμῳ Εὐστολίᾳ. Πολλαὶ γὰρ πρὸς αὐτὰς φοιτήσασαι παρθένοι εὐσεβεῖς σὺν αὐταῖς τὸν σκληρὸν καὶ ἐπίπονον βίον μετήρχοντο. Ἡ δὲ μακαρία Εὐστολία πλείστοις ἔτεσιν ἀγωνισαμένη καὶ πολλοῖς αἴτιος σωτηρίας γενομένη μετ' εἰρήνης πρὸς Κύριον ἐξεδήμησεν, τὴν τῶν ἰαμάτων χάριν παρὰ Θεοῦ λαβοῦσα καὶ πᾶσι τοῖς χρήζουσι παρεχομένη .....

Crypt. Δ.α. XIX = Cu, ff. 34-35v
Paris. gr. 259 = Pa, ff. 88-93

Ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε·
Ὠδαῖς σε μέλπω τῆς στολῆς ἐπώνυμε.

Ἦχος β'.

ᾠδὴ α'. *Τὴν Μωσέως ᾠδὴν*

Ὦ ψυχὴ τῶν καλῶν
τῇ ἀπραξίᾳ γυμνωθεῖσα,

---

tit. Τῇ αὐτῇ ἡμέρα κανὼν τῆς ἁγίας Εὐστολίας φέρων... Cu Ὁ κανὼν κοινὸς (scil. Ὀνησιφόρου, Πορφυρίου καὶ Ματρώνης) ποίημα Ἰγνατίου Pa
heirm. α' EE 42, n. 57, Andreae

τὸν στεγάζοντα Θεὸν
δυσώπει ὕδασιν ὑπερῷα,
τῇ περιστολῇ σου με φαίδρυνον.

f. 34v || Διαβᾶσα, σεμνή,
τῷ λογισμῷ τὴν κάτω κτίσιν,
ἀπεκλήρωσας τὸν νοῦν
τοῖς ἀσωμάτοις καὶ νοουμένοις·
ὅθεν σὺν αὐτοῖς αἰωνίως τρυφᾷς.

Ἀπαθείας χιτὼν
ἐξυφανθεὶς τοῖς σοῖς ἱδρῶσι,
τὴν ψυχὴν ταῖς ἀρεταῖς
λευχειμονοῦσαν παραδεικνύει
σκότει λογισμῶν μὴ φθαρεῖσαν, σεμνή.

Ἰατρεῖον ψυχῶν
ταῖς ἀρεταῖς ἐνστησαμένη,
ἐκκαθαίρεις τῶν παθῶν
τὴν σηπεδόνα τῇ χειρουργίᾳ,
ἔνδοξε, σαφῶς τῇ τοῦ πνεύματος.

ᾠδὴ β'. *Πρόσεχετε, λαοί μου, τὸν νόμον μου*

Σεμνύνασα τὸν τρόπον τῷ βίῳ σου
δόξης οἰκητήριον,
ἀξιέραστε, τῆς ἀνωτάτω·
ὅθεν ἀπολαύεις τῆς ὄντως ζωῆς.

---

5 περιστολῇ] περιβολῇ Pa 6-10 trop. om. Pa 17 τὰς ἀρετὰς Pa heirm. β' EE 42-43, n. 57, Andreae 21-32 odem β' om. Pa
21-23 secundum cd. periodus sententia prima caret

11-15 AA.SS. IV (1925), 217 (219): ... δι' ἐγκρατείας καλῶς ἐτολύπευσεν, ἐξ ἧς τὴν ἠλακάτην στροφῶσα καὶ τὴν ἀγάπην λαβοῦσα συνέριθον ἐξύφηνεν ἐν ἑαυτῇ τῆς ἀρετῆς τὸν χιτῶνα... καὶ ἅπαν τὸ σῶμα ταῖς ἀρεταῖς περιφράξασα...

3-4 Ps. 103,2-3

Σώματος ἀσθενείᾳ θηλύμορφος
κλίνασα τὸν ἄρχοντα
τὸν ἀσώματον εἰς γῆν ἀσκήσει,
ἐρρώσθη, σῶτερ, τῇ ἰσχύι τοῦ κράτους σου.

Ἐρρώσθης τῇ ἀγάπῃ τοῦ κτίσαντος·
δραμοῦσα κατέλαβες
εἰς ὀσμὴν αὐτοῦ τῶν ἀρωμάτων,
ἐξ ὧν τὴν ποίμνην σου σεπτῶς εὐωδίασας.

ᾠδὴ γʹ. *Στειρωθέντα μου τὸν νοῦν*

Μελῳδήσας ὁ Δαβὶδ
θυγατέρα σε καλεῖ
τοῦ βασιλέως,
τῇ τοῦ σώματος στολῇ
τὸ ὡραῖον τῆς ψυχῆς
προδιαγράφων σοι.

Ἐνυμφεύθης τῷ Χριστῷ
καὶ εἰσῆλθες σὺν αὐτῷ
ἐν τῷ νυμφῶνι,
τῷ ἐλαίῳ τῆς ἁγνῆς
πολιτείας σου φαιδρὰν
λαμπάδα φέρουσα.

Λευχειμονοῦσα τὴν ψυχὴν
τὸ ζοφῶδες τῆς σαρκὸς
ἀντεστρατεύσω
καὶ ὑπέταξας καλῶς
καὶ καθήλωσας αὐτὸ
φόβῳ τοῦ κτίστου σου.

---

heirm. γʹ EE 43, n. 57, Andreae 45 Λευσχημονοῦσα Cu 49 αὐτὸ (sup. lin.)] σαφῶς Pa

---

25 II Cor. 12,9 28 Eph. 1,19; 6,10 33-35 Ps. 44,10 39-44 Matth. 25,10

θεοτ. * [Μακαρία εἶ, σεμνή,
ἡ ἐκ ῥίζης Ἰεσσαί,
ἐξ ἧς ἡ ῥάβδος
καὶ τὸ ἄνθος ὁ Χριστὸς
κατὰ σάρκα δι' ἡμᾶς
ἀναβλαστήσασα.]

ᾠδὴ δʹ. *Τὴν ἐκ παρθένου σου γέννησιν*

Παρθένος νύμφη θεάρεστος
σοῦ τῷ πόθῳ τρωθεῖσα,
τῇ ἀσκήσει μυστικῶς
ἐφεπομένη καὶ στέργουσα, σῶτερ, ἐβόα·
« ὦ νυμφίε Λόγε,
ποῦ ποιμαίνεις; ποθῶ σε·
ποῦ κοιτάζεις;
ποῦ τὰ θρέμματα καλεῖς; »

Ὡς νυμφικῆς ὡραιότητος
ἀψευδέστατον κάλλος
βλέπων φέρουσαν Χριστὸς
ὁ τῆς ἁγνείας τὸν ἄζυγα θεσπίσας βίον,
f. 35 νύμφη, ἐκ||βοᾷ σοι·
« ἐν τῇ ἄνω χορείᾳ
καὶ ποιμαίνω
καὶ τὰ θρέμματα καλῶ ».

Τὴν ἀκοὴν θελγομένη δὲ
τῇ φωνῇ τοῦ νυμφίου

51-56 θεοτ. PeR, 97; θεοτ. expunxi; unicum enim totius canonis θεοτ. est, quod litteram initialem ad acrostichidem non attinet; idem cd. Pa om. 51 εἶ] ἡ Cu 56 ἀναβλαστήσας Cu
heirm. δʹ EE 43, n. 57, Andreae 62 ποιμένεις Cu 63 κοιτάζῃ Pa 73-80 trop. om. Pa

---

57-64 AA.SS., 217: . . . καὶ δὴ προκόπτουσά τε καὶ ἐπὶ τὰ κρείττω προβαίνουσα θείῳ τὸν νοῦν ἀνεπτέρωται ἔρωτι . . .

52-56 Is. 11,1 54 Dan. 11,7 61-63 Cant. 1,7

ἠκολούθησας, σεμνή,
καὶ τῇ ἀσκήσει ἐγκράτειαν κατατρυφῶσα
ἔθρεψας τὸ πνεῦμα
καὶ συνήφθης τῷ κάλλει
τῆς ψυχῆς σου
τῷ νυμφίῳ καὶ Θεῷ.

ᾠδὴ ε'. *Τὴν ἀχλὺν τῆς ψυχῆς μου*

Ἠλλοτρίωσαι κόσμου,
ἠξίωσαι δὲ τῆς ἄνω
συνταγῆς τῶν ἀσωμάτων,
μεθ' ὧν μετ' ἤχους χορεύεις
ἑορτάζουσα φαιδρῶς.

Συλλαβοῦσα τὸν φόβον
ἐν τῇ γαστρὶ τοῦ Κυρίου,
σωτηρίας θεῖον πνεῦμα,
ἐπὶ τῆς γῆς, Εὐστολία,
τίκτεις πράξεις ἀγαθάς.

Σὺ τῆς ἀμώμου παστάδος
ἐνδότατον νῦν χορεύεις,
τρανοτέρως δὲ τοῦ κάλλους
ἐναπολαύεις τοῦ κτίστου
καὶ νυμφίου σου Χριστοῦ.

ᾠδὴ ς'. *Βυθῷ ἁμαρτημάτων*

Τῇ δρόσῳ τῶν ἀγώνων
τὴν φλόγα τῶν παθῶν
ἐναπεμάρανας· ὅθεν καὶ ἔτυχες

heirm. ε' EE 43, n. 57, Andreae 83 συνταγῆς ex συνταγεὶς correctum a scriba in Cu 84 μετήχου Pa 91-95 trop. om. Pa
heirm. ς' EE 43, n. 57, Andreae

84-85 Ps. 9,7

τῆς ἄνω νυμφαγωγίας ἀληθῶς·
κἀμοῦ τὴν ἀχλὺν τοῦ πταίσματος
λῦσον λάμψασά μοι φῶς.

Ὁ Λόγος μακαρίζει
τοὺς πνεύματι πτωχοὺς
καὶ τοὺς πραεῖς καὶ πεινῶντας τὸν ἔλεον,
πενθοῦντας καὶ τῇ καρδίᾳ καθαρούς,
δι' ὧν σύ, σεμνή, βαδίσασα
μακαρίζῃ ἀληθῶς.

Λουτῆρα τῶν δακρύων
ἀνοίξασα, σεμνή,
κηλῖδα πᾶσαν ἀπέσμηξας, πάνσεμνε·
διό σε καλεῖ πλησίον ὁ Χριστός,
ὡς μώμου παντὸς ἐλεύθερον
κάλλος φέρουσαν αὐτῷ.

ᾠδὴ ζ'. *Τὰ Χερουβὶμ μιμούμενοι*

Ἡ πρὸς ἀρχὰς ὁπλίσασα
σῶμα καὶ ἐξουσίας
ἐπάλαισας τοῦ σκότους
τὸν κοσμοκράτορα, σεμνή,
ὅτι οὐ σαρκικά σου τὰ ὅπλα καὶ ἔρημα·
πνεύματι γὰρ καθωπλισμένη βοᾷς·
« ὁ ὑπερύμνητος καὶ δεδοξασμένος
εἰς πάντας τοὺς αἰῶνας ».

Σὺ τὴν ψυχὴν ἐλάμπρυνας
κάλλεσιν ἀϊδίοις·
καὶ γὰρ ἀπεξεδύσω

99 τῆς] νῦν τῆς Pa 101 μοι φῶς ex correctione scribae Cu 104 τὸν ἔλαιον Cu 109 σεμνὴ] θερμῶς Pa 110 ἀπέσμιξας cdd.
heirm. ζ' EE 43, n. 57, Andreae 115 καὶ ἐξουσίας] κατεξουσίας Cu 118 ἔρημα] ἔρρηξας Pa 120, 128, 136 post ὑπερύμνητος orat. varie intermittunt cdd.

102-105 Matth. 5,3-8 111-113 Cant. 4,7 114-117 Eph. 6,12 118 II Cor. 10,4 120-121 Dan. 3,53-56

τὸ τῆς ἰλύος ἐμπαθὲς
καὶ νῦν ἐν ἀληθείᾳ τρυφᾷς τὰ ἀπόρρητα,
Εὐστολία, καὶ σὺν ἀγγέλοις βοᾷς·
« ὁ ὑπερύμνητος καὶ δεδοξασμένος
εἰς πάντας τοὺς αἰῶνας ».

Ἐν τῷ λειμῶνι, πάναγνε,
τῆς ἁγνείας τραφεῖσα,
εὐθήνησας ἐν τέκνοις
τῆς ἀρετῆς τῷ πυκασμῷ
f. 35v καὶ τῇ τῆς ἐγκρατείας || τρυφῇ ἐπαυξήσασα
νῦν ἀγάλλει καὶ σὺν αὐτοῖς ἐκβοᾷς·
« ὁ ὑπερύμνητος καὶ δεδοξασμένος
εἰς πάντας τοὺς αἰῶνας ».

ᾠδὴ η'. *Τὸν ἐν τῇ βάτῳ Μωσεῖ*

Πηγὴν εὑροῦσα Χριστόν,
τῶν παθῶν τὴν ὑλώδη
ἀπεξήρανας χύσιν
καὶ ἐφύτευσας ψυχὴν
κατάκαρπον ὡς ξύλον,
ὦ Εὐστολία, πόθῳ
αὐτοῦ ταῖς διεξόδοις.

Ὡς τῆς ἀγήρω ζωῆς
ἀληθῶς δραξαμένη,
ἱκετεύουσα λῦσον
τῶν πταισμάτων με, σεμνή,
ὑμνοῦντα, εὐλογοῦντα
καὶ ὑπ⟨ερυψοῦντα
Χριστὸν εἰς τοὺς αἰῶνας⟩.

---

130 λειμῶνι] λιμένη Cu 134 τῇ τῆς ἐ. τρυφῇ] τῆς σῆς ἐ. τρυφῆς Cu
heirm. η' EE 43, n. 57, Andreae 150-151 om. cdd.

128-129, 136-137 Dan. 3,53-56 142-144 Ps. 1,3

Ναὸς ἐδείχθης Θεοῦ
ἀρετῶν ἐν τῇ πέτρᾳ
τὴν ψυχὴν πηξαμένη
καὶ καθεῖλες τοῦ ἐχθροῦ
μετ' ἤχους ἀκροπόλεις
καὶ νῦν συνεπαγάλλῃ
ταῖς ἄνω κατοικίαις.

ᾠδὴ θ'. *Ὑπὲρ πᾶσαν ἔννοιαν*
λόγῳ τὸν Λόγον τοῦ πατρός,
παρθενομῆτορ ἄχραντε,
συλλαβοῦσα ἀφράστῳ τρόπῳ
διπλοῦν αὐτὸν τέτοκας·
Θεὸς καὶ ἄνθρωπος γὰρ
ὑπάρχει ὁ σαρκωθείς·
διό σε πάντες μεγαλύνομεν.

Ὑπὲρ δόξαν σώματος
ἐπεμελήσω τῆς ψυχῆς
καὶ τῷ Χριστῷ παρέστησας,
Εὐστολία, ἀκηλίδωτον·
διὸ κατοπτεύουσα
αὐτοῦ τὸ κάλλος ἀεὶ
αἴτησαι τὸν ἱλασμὸν
καὶ τὴν εἰρήνην ταῖς ψυχαῖς ἡμῶν.

Μοναζόντων γέγονας
ἀπαραλόγιστος κανὼν
τῆς ἐγκρατείας στάθμη τε
ἀρετῆς καὶ προσευχῆς ἀληθοῦς·
διὸ δόξης ἔτυχες
τῆς ἀπροσίτου, σοφή,
τοῦ κτίστου σου καὶ Θεοῦ
εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν.

---

156 μετήχους Cu μετήχου Pa
heirm. θ' EE 42, n. 56, Andreae cognomine Τυφλοῦ; heirm. in marg. cd. Cu scriptus est 2 τοῦ πατρὸς] ἐν γαστρὶ Pa 5 αὐτὸν] ἡμῖν Pa 6 Θεὸς] Θεὸν Cu 169 τε] δὲ Pa

Ἐν ἁγίοις, ἅγιε,
Τριὰς ἁγία καὶ Θεέ,
ταῖς ἱκεσίαις στήριξον
τῆς ὁσίας σου τῆς πίστεως
τρανῶς τὸ κεφάλαιον
καὶ τῷ τῆς ποίμνης λαῷ
καὶ πᾶσι τὸν ἱλασμὸν παράσχου·
σὲ γὰρ ἀνυμνοῦμεν ἀεί.

---

post v. 174 hoc trop. profert Pa: Τῷ τῆς σῆς δεσπόζοντι / κληρονομίας, βασιλεῦ, / ᾧ τὰ σκῆπτρα, Κύριε, / δεξιᾷ σου, παντοκράτορ, / οὐρανόθεν δέδωκας / τὴν ἀλαζόνα ὀφρῦν / ὑπόταξον δυναμῶν / αὐτὸν τῷ κράτει τῆς ἰσχύος σου   182 ἀεί] Χριστέ Cu

IN SANCTAM THEOCTISTAM LESBIAM

Synaxarium, 205-208: Θεοκτίστης τῆς Λεσβίας. Ταύτης ὑπῆρχεν ἡ πατρὶς Λέσβος, πόλις Μίθυμνα, ἔχουσα τὸ πολίτευμα μοναδικόν. Αὕτη ἐπὶ νηπίᾳ τῇ ἡλικίᾳ παρὰ τῶν συγγενῶν ἐδόθη εἰς παρθενῶνα· περιεβάλετο οὖν τὸ μοναχικὸν σχῆμα...... Κρῆτες ἐπιδραμόντες τῇ νυκτί, ὧν ἡγεῖτο ὁ Νήσιρις ἐκεῖνος, πάντας ἐκείνους κἀκείνην συνέλαβον· ἕωθεν οὖν προσορμήσαντες τῇ νήσῳ ταύτῃ καὶ προσαγαγόντες τοὺς αἰχμαλώτους τὰ τιμήματα διετίθεντο. Ἡ δὲ Θεοκτίστη λάθρα πρὸς τὴν ὕλην χωρήσασα ἀνεύρετος ἦν· αὕτη οὖν ἔκτοτε ἐκεῖσε μείνασα καὶ λιμῷ καὶ παγετῷ καὶ καύσωνι προσπαλαίσασα, θερμίοις καὶ λαχάνοις ἀγρίοις τρεφομένη καὶ ὑπὸ μηδενὸς ὁρωμένη διήρκεσεν ἐπὶ ἔτη λε΄ Θεῷ μόνῳ προσομιλοῦσα καὶ τῇ πανάγνῳ Θεοτόκῳ. Τοῦ δὲ λε΄ χρόνου τελεσθέντος, κατά τινα οἰκονομίαν κυνηγός τις..... εἰσῆλθεν ἔν τινι τῆς Θεοτόκου ναῷ..... καὶ εὐξάμενος καὶ μικρὸν ἀνανεύσας εἶδε κατὰ τὸ δεξιὸν τῆς ἁγίας τραπέζης μέρος ὥσπερ κρόκην ὑπ' ἀνέμου ῥιπιζομένην ἢ ὡς ἱστὸν ἀράχνης· ὡς δὲ προβὰς διαγνῶναι τὸ γινόμενον ἠβουλήθη, ἤκουσε φωνῆς λεγούσης· « Στῆθι, ἄνθρωπε, καὶ μὴ πλησιάσῃς· αἰσχύνομαι γὰρ γυνὴ οὖσα θεαθῆναί σοι ». ..... καλυψαμένη ..... δὲ τοῦτο περιεβάλετο, τῷ σταυρῷ τειχίσασα ἐφάνη τῷ κυνηγέτῃ, τὸ μὲν εἶδος γυνὴ τὸ δὲ φαινόμενον ὑπὲρ ἄνθρωπον, ἡ θρὶξ λευκή, πρόσωπον μέλαν, δέρματι μόνῳ συνέχουσα τὴν τῶν ὀστῶν ἁρμονίαν, τὸ δὲ ὅλον ἦν σκιά. ..... ταῦτα, ἐξειποῦσα τῷ κυνηγέτῃ καὶ ἀξιοῦσα κομίσαι μερίδα τοῦ τιμίου σώματος καὶ αἵματος τοῦ Χριστοῦ. Ὡς δὲ πάλιν ὁ ἀνὴρ ἐπανῆκε φέρων τὰ θεῖα μυστήρια, αὕτη ἐπευξαμένη μετέλαβεν, εὐχαριστίαν τῷ Θεῷ ἀναπέμψασα. Αὐτὸς δὲ ἀπελθὼν καὶ θηρεύσας καὶ ταχὺ πάλιν πρὸς τὸ ποθούμενον ἀνελθών, εὗρεν αὐτὴν κειμένην νεκράν. .....

Crypt. Δ.α. XIX = Cu, ff. 35v-37v

Ὁ κανών.

Ἦχος πλ. β΄.

ᾠδὴ α΄. *Κύματι θαλάσσης*

Ἡ τῶν ἐγκοσμίων
καὶ ὑπερκοσμίων

---

tit. Τῇ αὐτῇ ἡμέρα κανὼν τῆς ἁγίας Θεοκτίστης τῆς Λεσβίας et in marg. manu posteriore ἐν τοῖς θ(εοτοκίοις) ὁ Ἰωάννης
heirm. α΄ EE 164, n. 231, Cassiae

Τριὰς ἀναίτιος,
αἰτία πάντων δὲ
παρεκτικὴ ἐκ μὴ ὄντων,
Θεοκτίστη, ἐξελέξατο
μητρικῆς νηδύος σε
σκεῦος πανευχρηστότατον.

Τῆς ἐνεγκαμένης
καὶ τῆς σῆς πατρίδος
ἀσκητηρίου τε
f. 36 || καὶ τῶν παρθένων χοροῦ
ἑαλωκυῖαν, παρθένε,
ὡς στρουθίον ἀνερρύσατο
τῆς παγίδος Κύριος
Ἀράβων θηρευσάντων σε.

Ῥώμη θεαρχίας
τῆς πανευκλεεστάτης
ῥυσθεῖσα, πάνσεμνε,
πειρατηρίου ἐχθρῶν
ὅλην ἀνέθηκας, μῆτερ,
τὴν ἐλπίδα σου πρὸς Κύριον,
θείῳ τρεφομένη τε
καὶ σκεπομένη ῥήματι.

θεοτ. Ὅλον με σὸν λάτρην,
παρθένε Μαρία,
σὺ καθαγίασον
ψυχῇ τε καὶ σώματι
καὶ ἐνδιαίτημα δεῖξον
ἀκηλίδωτον τοῦ πνεύματος
ταῖς θεοπειθέσι σου
καὶ μητρικαῖς ἐντεύξεσιν.

---

5 ἐκμιόντων 20 πηρατηρίου 17-18 Ῥώμη θεαρχία καὶ πανευκλεεστάτη

---

14 Ps. 123,7 19-20 Ps. 17,30 23-24 Matth. 4,4

ᾠδὴ γ'. *Σὲ τὸν ἐπὶ ὑδάτων κρεμάσαντα*

Ἔρως ὁ θεῖος, μῆτερ,
κατέφλεξε
σὴν ψυχήν, πανοσία·
ὅθεν ὑπεριδοῦσα
καὶ ἀφειδήσασα σώματος,
κόσμῳ καὶ κοσμοκράτορι
συνανεσταύρωσο
μόνῳ ζῶσα τῷ Κυρίῳ σου.

Ὁ χαρίτων ταμίας
ταῖς χάρισιν
ἱερὰν καταστέφει
σὴν κάραν τοῖς ἀγγέλοις
ἀναδεικνύς σε ἐφάμιλλον,
οἷα σαρκὸς καὶ αἵματος
σχεδὸν ἀμέτοχον
βίον ἄυλον βιώσασαν.

Κατὰ τοῦ ἀντιπάλου
χωρήσασα
καὶ γυμνὴ συμπλακεῖσα,
διαίτῃ οὐρανίῳ
διαιτηθεῖσα τὸ πρότερον,
ἀλειψαμένη χρίσματι,
τοῦτον κατέρραξας
θείῳ σθένει καὶ τῇ χάριτι.

θεοτ. Ἵλαθί μοι, παρθένε
πανάχραντε,
φιλάγαθε Μαρία,

---

heirm. γ' EE 164, n. 231, Cassiae 43 καταστέφη

38-40 Gal. 6,14; 2,20

ἵλεων τετοκυῖα
τὸν ἐπὶ πάντων Θεὸν ἡμῶν,
ὃν ταῖς λιταῖς εὐΐλατον
ἐν ὥρᾳ κρίσεως
γενέσθαι μοι καθικέτευε.

ᾠδὴ δ'. *Προκατιδὼν ὁ προφήτης*

Ἰταμωτάτων Ἀράβων
ἀπαγωγῆς βιαίας, θεόνυμφε,
ῥυσθεῖσα, χαριστήρια
λύτρα λυτρωτῇ
ῥύσια καὶ ἄποινα προσήγαγες
ἐνθεαστικώτατα ἐφύμνια
καὶ ταῦτα Χριστὸς δῶρα προσήκατο.

Σὺ κατευωδιασθεῖσα
τοῦ κενωθέντος μύρου αἰσθήσεις σου
ἡδυπνόοις ἀρώμασιν
ἔθου κραταιὰν
ἀγάπησιν βοῶσα τῷ σῷ νυμφίῳ·
« ἐγὼ ἄνθος, κρίνον τῶν κοιλάδων σου
ἀνὰ μέσον εἰμὶ θυγατέρων σου ».

Τὰ σκηνώματα τὰ ὄντως
Ἰσμαηλῖται Κηδὰρ καὶ ὀλέθρια
λελοιπότες ἐν Πάρῳ σε
ἔθεντο, σεμνή,
f. 36v φυλάκισσαν κα||θάπερ ἐν ἀμπελῶνι·
σὺ δὲ ἀμπελῶνα τοῦ Κυρίου σου
σταλάζειν γλυκασμὸν ἐξετέλεσας.

---

heirm. δ' EE 163, n. 229, [Theophanis]

75-76 Hab. 3,4 77-78 Cant. 2,1-2 79-84 Cant. 1,5-6 84-85 Am. 9,13; Joel 4,18

θεοτ. Ὡς κατεῖδεν ὁ προφήτης
τοῦ μυστηρίου σου τὸ ἀπόρρητον,
μητρόθεε, ἐβόησεν·
« ἥξει ὁ Θεὸς
ἐξ ὄρους κατασκίου δασέος »·
ὁ μονογενὴς υἱὸς γὰρ τοῦ Θεοῦ
ἐκ μήτρας σου ἁγνῆς προελήλυθεν.

ᾠδὴ ε'. *Πρὸς σὲ ὀρθρίζω*
τὸν δι' εὐσπλαγχνίαν

Αἱ παρακλήσεις
αἱ τοῦ παρακλήτου
παρεκάλεσαν, μῆτερ,
ψυχήν σου, Θεοκτίστη,
κατὰ τὸ πλῆθος
ὀδυνῶν σου· ηὐλίσθης ἐρήμῳ γὰρ
ὡς στρουθίον μονάζον ἐπὶ δώματος.

Γονιμωτάταις
καὶ θεοφιλέσιν
ἀρεταῖς τῆς ψυχῆς σου
ῥυθμίσασα δυνάμεις,
τῷ λογιστικῷ
καθυπέκλινας πάθη ἀλόγιστα,
Θεοκτίστη, παρθένων σεμνολόγημα.

Ἰσχὺν ὡς ἔγνω
περιπεφραγμένην
ὁ ἐχθρὸς τῶν δικαίων
σὲ ἀπεσκορακίσθη·

---

90 δασέως
heirm. ε' EE 163, n. 230, Cosmae 99 μονάζων

89-90 Hab. 3,3 99 Ps. 101,8

ὄχλος παθῶν δὲ
αὐστηρότητι βίου κατέπτηξαν
καὶ ὡς ἄγριοι θῆρες σοὶ εἰρήνευσαν.

θεοτ. Ἀνώτερόν μου
δεῖξον, θεομῆτορ,
ὑλικῆς προσπαθείας
νοῦν ἄυλον, παρθένε,
ὡς ἀνωτέρα
ὑλικῶν καὶ ἀΰλων δυνάμεων
φωτισμὸν καὶ εἰρήνην μοι βραβεύουσα.

ᾠδὴ ϛ'. *Συνεσχέθη,*
ἀλλ' οὐ κατεσχέθη

Ῥαντισμοῖς σου
καὶ ῥείθροις αἱμάτων
ἕλος ἐφοινίσσετο
ποδῶν ἐμπεπαρμένων
ταῖς ἀκάνθαις καὶ τῶν σῶν πελμάτων,
τὴν παρθενίαν
ἁγνὴν φυλαττούσης σου
πανακήρατον τῷ σῷ νυμφίῳ·
ὥσπερ στρουθίον γὰρ
χεῖρας τῶν θηρευτῶν
καὶ ὥσπερ δορκὰς βρόχον ἐξέφυγες.

« Ἐν Κυρίῳ
νῦν ἀγαλλιάσθω
— τὰς χαριστηρίους φωνὰς

---

heirm. ϛ' EE 164, n. 231, Cosmae

121-125 Joannou, 17:... ἕως ταῖς πέτραις καὶ τοῖς ὀξέσι τῶν ξύλων περιπείρασα τοὺς πόδας κατέκοψα, τοῖς τε αἵμασι τὴν γῆν κατεμίανα...

129-130 Ps. 123,7 131 Prov. 6,5 132-142 Is. 59,17; 61,10

ἐβόας — ἡ ψυχή μου·
σωτηρίου γὰρ καὶ εὐφροσύνης
ἐνέδυσέ με
θεῖον περιβόλαιον,
ὡς νυμφίος δὲ οἰκείαν νύμφην
πεποικιλμένην
δόξης καταστολὴν
τὴν τῆς ἀφθαρσίας κατεστόλισεν ».

θεοτ. Νέμοις πᾶσι
τοῖς σὲ θεοτόκον
εὐσεβοφρονοῦσι πιστοῖς
καὶ τὸν ἐκ σοῦ τεχθέντα
τοῦ Θεοῦ υἱὸν πρὸ τῶν αἰώνων
ἀφράστῳ τρόπῳ
γεννηθέντα, πάναγνε,
ἀγαλλίασιν καὶ εὐφροσύνην
καὶ εὐεξίαν ψυχῆς,
f. 37 ‖ λύσιν ἁμαρτιῶν,
δόξης ἀϊδίου τὴν ἀπόλαυσιν.

ᾠδὴ ζ'. *Ἄφραστον θαῦμα!*
ὁ ἐν καμίνῳ ῥυσάμενος

Σῶμα παρθένον,
ἁγνὴν ψυχὴν συντηρήσασαν
ἡ εὐθύτης κράζει καὶ βοᾷ·
« ἰδοὺ ὁ χειμὼν
θλίψεων παρῴχηκε·
τῆς βασιλείας
δεῦρο νῦν εἰς νυμφῶνας
καὶ θαλάμους τερπνοὺς θαλαμηπόλος ».

---

heirm. ζ' EE 164, n. 231, Cosmae

157-158 Cant. 2,11

Ἆσμα ᾀσμάτων,
ἀνειλημμένη τὰ ἅγια
τῶν ἁγίων ἀχράντοις χερσί,
δόξαν τῷ πατρὶ
ᾖσας χαριστήριον·
« νῦν ἀπολύεις
σὴν δούλην μελῳδοῦσαν·
'λυτρωτά, ὁ Θεὸς εὐλογητὸς εἶ, ».

θεοτ. Νύμφην ἁγνήν σε
Θεοῦ πατρὸς καταγγέλλομεν
καὶ μητέρα τοῦ Ἐμμανουήλ,
ἔμψυχον ναόν,
θεῖον ἐνδιαίτημα
τοῦ παναγίου
πνεύματος, ᾧ βοῶμεν·
« λυτρωτά, ὁ Θεὸς εὐλογητὸς εἶ ».

ᾠδὴ η΄. *Ἔκστηθι φρίττων, οὐρανέ,*

Αἱ θυγατέρες τῆς Σιὼν
αἱ ὑπερκόσμιαι
καὶ τῆς Ἱερουσαλὴμ
ἀλλήλαις
« ἐξέλθετε, ἴδετε
— διεκελεύοντο —·
ἰδοὺ ἡ παρθένος Θεοκτίστη
τῷ βασιλεῖ παρέστη
ἀκηράτῳ νυμφίῳ

---

heirm. η΄ EE 164, n. 231, Cosmae 186 ἀκειράτω

162-169 Joannou, 19: ... πεσοῦσα δ' εἰς γῆν ἐκείνη, τὸ θεῖον ἀπέλαβε καὶ θρήνοις καὶ δάκρυσι τὴν γῆν καταβρέχουσα ἔλεγε· νῦν ἀπολύεις τὴν δούλην σου, δέσποτα, ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου...

---

167 Luc. 2,29

καὶ Θεῷ τῶν ὅλων
καὶ κτίστῃ τῶν αἰώνων ».

Ἵστασαι βλέπουσα, σεμνή,
ἀπαυγασμάτων σου
καὶ ἐμφάσεων ὁμοῦ
τῶν τῇδε
ἐμφαντικωτέρας νῦν
τὰς ἀποδείξεις τρανὰς
καὶ τηλαυγεστέρας· ἐφετῶν γὰρ
παρέστης ἀκροτάτῳ
καὶ ἐφέσεως ἔστης
ἀγαλλιωμένη
εἰς πάντας τοὺς αἰῶνας.

θεοτ. Ἡ καλλονὴ τοῦ Ἰακὼβ
καὶ κλῖμαξ ἔμψυχος,
ἣν ἑώρα μυστικῶς,
ἡ βάτος
Μωϋσέως ἄφλεκτος,
ἡ ῥάβδος τοῦ Ἀαρών,
ἡ κάμινος ἡ δροσοβολοῦσα,
ὄρος Θεοῦ τὸ πῖον
σὺ ὑπάρχεις, παρθένε,
ἀλάξευτον ὄρος,
ἐξ οὗ Χριστὸς ἐτμήθη.

ᾠδὴ θ΄. *Ξενίας δεσποτικῆς*

Ἅπαν ἐγκόσμιόν τε
καὶ ὑπερκόσμιον, μῆτερ,
εὐφραίνεται τῇ μνήμῃ
τῆς σῆς μεταστάσεως·

---

heirm. θ΄ EE 163, n. 229, [Theophanis]

---

200 Ps. 46,5 201 Gen. 28,12 203 Ex. 3,2 205 Num. 17,23
206 Dan. 3,50 207 Ps. 67,16 209 Dan. 2,34

ἑωσφόρος γὰρ ὡς ἀνατέταλκε
τὰς ψυχὰς καταφρυκτωροῦσα
τῶν ἐν πίστει καὶ πόθῳ
μακαριζόντων σε.

Ἵλαθι, θεοφόρε,
θεόνυμφε Θεοκτίστη,
ἐμοὶ τῷ ὑμνηπόλῳ
f. 37v || καὶ ὑμνηταῖς τοῖς σοῖς,
τοῖς πόθῳ ἀνευφημοῦσί σε,
πρεσβεύουσα πρὸς τὸν δεσπότην
κληρουχίας μερίδος
ἀξιωθῆναι τῆς σῆς.

Νόμοις τῶν ἐγκωμίων
οὐχ ὑποβέβηκε δόξα
ἡ θεαρχικωτάτη,
ἧς κατηξίωνται
οἱ Θεῷ εὐαρεστήσαντες·
ὑπὲρ ἔννοιαν γὰρ καὶ αἰσθήσεις,
ὡς καὶ πᾶσιν ἀγγέλοις
ἐστὶν ἀπρόσιτος.

θεοτ. Σταυρῷ σου τῷ τιμίῳ,
ζωαρχικώτατε Λόγε,
πρεσβείαις τῆς μητρός σου
πάντων ἁγίων τε
ὕψωσον τὸ κέρας χριστιανῶν
ἐκκλησίαις εἰρήνην βραβεύων,
βασιλεῦσι καὶ δήμῳ
καὶ στρατοπέδῳ ἰσχύν.

---

242 στρατοπαίδω

---

239 I Regn. 2,1,10

IN SANCTOS APOSTOLOS PATROBAM, HERMAM, LINUM, GAIUM ET PHILOLOGUM

Synaxarium, 194: Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων ἀποστόλων ἐκ τῶν ο', Πατρόβα, Ἑρμᾶ, Λίνου, Γαΐου καὶ Φιλολόγου. Οὗτοι ὑπῆρχον ἐκ τῶν ἑβδομήκοντα μαθητῶν καὶ ἀποστόλων. Καὶ ὁ μὲν Πατρόβας... ἐπίσκοπος Ποτιόλων ἐγένετο, πολλοὺς βαπτίσας καὶ προσαγαγὼν τῷ Χριστῷ. Ὁ δὲ Ἑρμᾶς... ἐπίσκοπος Φιλιππουπόλεως ἐγένετο. Ὁ δὲ Λῖνος μετὰ Πέτρον τὸν ἁγιώτατον ἀπόστολον τῆς μεγάλης Ῥώμης ἐπίσκοπος ἐχρημάτισεν. Ὁ δὲ Γάϊος... μετὰ τὸν ἅγιον Τιμόθεον ἐπίσκοπος Ἐφέσου ἐγένετο. Ὁ δὲ Φιλόλογος, οὗ καὶ αὐτοῦ ὁ αὐτὸς ἀπόστολος μέμνηται, ἐπίσκοπος Σινώπης ἐγένετο ὑπὸ Ἀνδρέου τοῦ πρωτοκλήτου τῶν ἀποστόλων. Καὶ ἐπισκοπήσαντες ἐν ταῖς δηλωθείσαις πόλεσι καὶ πλείστους πειρασμοὺς καὶ θλίψεις διὰ τὸν τῆς εὐσεβείας λόγον ὑπομείναντες καὶ πολλοὺς προσαγαγόντες τῷ Χριστῷ, ἐτελειώθησαν.

Crypt. Δ.α. XIII = Cc, ff. 161v-167

Ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε·
Πιστῶς ἐπαινῶ τοὺς σοφοὺς ἀποστόλους· Ἰωσήφ.

Ἦχος γ'.

ᾠδὴ α'. *Θαυμαστῶς ἐνδόξως*

Πολυθέου πλάνης,
σοφοί, λύσαντες
σκότος χαλεπὸν
τῷ φέγγει τῆς ἐνθέου
ὑμῶν διδασκαλίας,
ἀπόστολοι, πρὸς φέγγος
μετέβητε ὄντως τὸ νοητόν.

---

tit. Ἕτερος κανὼν τῶν ἀποστόλων φέρων...; nomen hymnographi Ἰωσήφ, in marg. scriptum, e tropariorum litteris initialibus θ' odes deducitur

heirm. α' EE 76, n. 108, Andreae; heirm. Θαυμαστὸς EE 3 χαλεπῶν

Ἱερεῖς Κυρίου,
σοφοὶ κήρυκες,
θεῖοι λειτουργοί,
διδάσκαλοι καὶ μύσται
ἐθνῶν, φαιδροὶ φωστῆρες,
ἀπόστολοι, δειχθέντες,
ὑπὸ πάντων νῦν μακαρίζεσθε.

Συνελθόντες πίστει
Ἑρμᾶν, Γάιον,
τοὺς πανευκλεεῖς
καὶ Λίνον καὶ Πατρόβαν,
Φιλόλογόν τε ἅμα,
τοὺς θείους ἀποστόλους
τοῦ Κυρίου ἀνευφημοῦμεν ᾠδαῖς.

θεοτ. Τὴν Θεοῦ παστάδα,
τὸ ἀλατόμητον
ὄρος εὐσεβῶς,
τὴν ἔμψυχον νεφέλην,
τὴν τράπεζαν τὴν θείαν,
τὴν ἄχραντον παρθένον
καταχρέως νῦν μακαρίσωμεν.

f. 162 ᾠδὴ β΄. *Ὡς ὄμβρος ἐπ᾽ ἄγρωστιν*

Ὡς κάλαμοι ἔμψυχοι
πλαξὶ τῶν καρδιῶν καλλιγραφεῖτε
τὸν καινότατον, σοφοί, πνεύματος νόμον.

Συνόμιλοι πέλοντες
τῶν ἄνω λειτουργῶν, τοὺς ἐπιγείους
οὐρανόφρονας, σοφοί, ἀποτελεῖτε.

---

heirm. β΄ EE 73, n. 104 vel 81, n. 114, Andreae 18 hic et in sqq. Πατροβᾶ(ν, ς) cd.

8-10 Is. 61,6 23-24 Dan. 2,34 29 Ps. 44,2

Ἐπὶ πᾶσαν ἔδραμε
τὴν γῆν ὑμῶν ὁ ἔνθεος φθόγγος
καταυγάζων εὐσεβῶν τὰς διανοίας.

f. 162v θεοτ. ‖ Παρθένε ἀμόλυντε,
παντός με μολυσμοῦ τῆς ἁμαρτίας
ἀποκάθαρον ῥοπῇ τῆς σῆς πρεσβείας.

ᾠδὴ γ΄. *Στερεώθητι, ψυχή,*
ἐν Κυρίῳ τῷ Θεῷ

Ἀναλάμψαντες φωτὶ
τοῦ κηρύγματος, σοφοί,
τὴν κτίσιν φρυκτωρεῖτε
τὸ σκότος διώκοντες
τὸ βαθύτατον.

Ἱερεῖς καὶ λειτουργοί,
μαθηταὶ καὶ ὑπουργοὶ
Κυρίου γεγονότες,
πιστοὺς ἐφωτίσατε
θείᾳ χάριτι.

f. 163 ‖ Ναοὶ ἔμψυχοι Θεοῦ
πεφυκότες, θεουργοί,
τεμένη τῶν ἀθέων
δυνάμει τοῦ πνεύματος
κατεστρέψατε.

θεοτ. Ὡς καλὴν ἐν γυναιξὶ
καὶ γεννήτριαν Θεοῦ
ὑμνοῦμεν, παρθένε,

---

heirm. γ΄ EE 71, n. 102, Andreae 53 τεμένει

35-36 Ps. 18,5 46 Is. 61,6

τὸ ʽ χαῖρέ, σοι κράζοντες
ὡς ὁ σεπτὸς Γαβριήλ.

f. 164

ᾠδὴ δʹ. *Τὸ κατάσκιον ὄρος*
Ἀμβακοὺμ προεώρα

Τοὺς σοφοὺς ἀποστόλους
καθάπερ ἵππους ἑώρα
θαλάσσῃ ἐπιβαίνοντας
τῇ κοσμικῇ προφήτης ποτὲ
ταύτης τὰ ὕδατα πικρὰ
συνταράσσοντας
ταῖς θείαις ἐπομβρίαις τοῦ Λόγου.

Οἱ ἀκράδαντοι στῦλοι
τῆς τοῦ Χριστοῦ ἐκκλησίας,
Φιλόλογος, Πατρόβας, Ἑρμᾶς,
ὁ Λίνος τε καὶ Γάιος
ἀνευφημείσθωσαν ἱεροῖς [τε]
μελῳδήμασι
συνόντες τοῖς ἀΰλοις ἀγγέλοις.

Ὑπερθέου Τριάδος
καταυγαζόμενος φέγγει,
Πατρόβας Ποντιόλων σαφῶς
τὴν ἐκκλησίαν ἴθυνε
φωταγωγῶν ταύτην ἱεροῖς
τοῖς διδάγμασι
καὶ σκότους ἀγνωσίας ἐξαίρων.

θεοτ.

Σέ, πανθαύμαστε κόρη,
ἀκατανόητον θαῦμα
ὑπάρχουσαν ὡς τέξασαν

heirm. δʹ EE 77, n. 108, Andreae 72 ἱερεῖς τε expunxi

59-60 Luc. 1,28 62-65 Hab. 3,15

Θεὸν ἀκατανόητον,
κατανοήσας προφητικῶς
χορὸς πόρρωθεν
ἐδήλου μυστικοῖς ἐν συμβόλοις.

f. 164ᵛ

ᾠδὴ εʹ. *Τὸ φῶς σου τὸ ἀνέσπερον, Χριστέ,*

Σαρκὶ φανερωθέντα ἐπὶ γῆς
τὸν τοῦ παντὸς ποιητὴν
ἔθνεσί τε καὶ λαοῖς
ἐκηρύξατε, χριστοκήρυκες,
θεῖοι αὐτοῦ μαθηταὶ δειχθέντες.

Ὁ ἱερὸς Ἑρμᾶς ἱερουργῶν
τὸ εὐαγγέλιον
Φιλιππουπόλεως
θεῖος πρόεδρος ἐχρημάτισε
καὶ πλουτιστὴς πάντων πενομένων.

Φωστῆρες τῶν ἐν σκότει τῶν δεινῶν,
σωτῆρες πάντοτε
ἀπολλυμένων ὑμεῖς
ἀνεδείχθητε, θεοκήρυκες,
καὶ ὁδηγοὶ τῶν πεπλανημένων.

θεοτ.

Ὁ Λόγος διὰ λόγου ἐν τῇ σῇ
γαστρὶ ἐσκήνωσε
f. 165
καὶ σὰρξ ἐ‖γένετο
καὶ ἐθέωσε τὸ ἀνθρώπινον
μήτηρ Θεοῦ, μ⟨— — — — ́ —⟩.

heirm. εʹ deest in EE; invenies autem editum in PaR, 207 96 Φιλιπποπόλεως 108 codicis exsectionis causa versus sex syllabis caret; fort. scribendum μόνη θεοτόκε

ᾠδὴ ϛ΄. *Βυθός μοι τῶν παθῶν ἐπανέστη*

f. 165v ‖ ⟨Υ—́ — ὁ π⟩ανεύφημος Λίνος
καθέδραν τὴν τοῦ ⟨— — — —́⟩σας
μετὰ τὴν Πέτρου φωνὴν
καὶ ἐν Χριστῷ ⟨— — — —⟩ὸν
καὶ πρὸς ζωὴν ἀληθῆ ὁδηγήσας.

⟨Σ— —́ —⟩ γλυκασμὸς ἀνεφάνη,
ὡς ὄρος ὁ θεόφρων ⟨Πατρόβας⟩
καὶ Ποντιόλων δειχθεὶς
νεύσει Θεοῦ ποιμὴν ⟨— — —́⟩
⟨ἐ⟩φώτισε τοὺς πιστοὺς θείοις λόγοις.

⟨Α—́ — — —⟩ ίαν διδάσκων
ἀδίκους ἀποφαίνων δικαί⟨ους
Γάιος ὁ⟩ἱερός,
ὡς μαθητὴς Χριστοῦ ἀληθής,
Ἐφεσίων ⟨— — —́ — —⟩ν θρόνον.

θεοτ. * Π⟨ρεσβείαις⟩ τῆς ἀχράντου μητρός σου
καὶ πάντων προφητ⟨ῶν καὶ⟩ μαρτύρων
καὶ ἱερῶν μαθητῶν,
Λόγε Θεοῦ, ⟨παράσχ⟩ου ἡμῖν
εἰρήνην καὶ ἱλασμὸν τῶν πταισμάτων.

f. 166 ᾠδὴ ζ΄. *Τρεῖς παῖδες ἐν καμίνῳ*

Οἱ λόγῳ ἰδιῶται
τῇ ἐνθέῳ σοφίᾳ δὲ
γραμματεῖς τε καὶ σοφοὺς ἀλάλους δείξαντες

---

heirm. ϛ΄ EE 73, n. 104, Andreae; corruptio folii nonnullas syllabas litterasque substrahit: vv. 109, 110, 112, 114, 115, 117, 119, 120, 121, 123, 125, 127 124-128 θεοτ. ETh, 281
heirm. ζ΄ EE 79, n. 111, Germani

129-130 Act. 4,13; II Cor. 11,6

Πατρόβας, Γάιος, Λίνος,
Φιλόλογός τε καὶ Ἑρμᾶς
μακαριζέσθωσαν.

Στειρεύουσαν τὴν κτίσιν
εὐσεβείας ἐδείξατε
εὐτεκνοῦσαν ζωτικῷ λόγῳ τῆς πίστεως,
υἱοὶ πατρὸς οὐρανίου
συγκληρονόμοι τε Χριστοῦ,
θεῖοι ἀπόστολοι.

Τὰ ῥεύματα τῆς πλάνης
παντελῶς ἐξηράνατε
f. 166v ‖ ὑετίζοντες πιστοὺς λόγον σωτήριον
καὶ μελῳδοῦντες, θεόπται·
« εὐλογητὸς εἶ ὁ Θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

θεοτ. Ὁ λόγῳ τοὺς αἰῶνας
ὡς Θεὸς ἐργασάμενος
διὰ λόγου ἐν τῇ σῇ γαστρὶ ἐνοίκησε
τοὺς ὑπαχθέντας ἀλόγως
ἀνακαλούμενος, ἁγνή,
πλάνης τοῦ ὄφεως.

⟨ᾠδὴ η΄. ....

Λ.........................
....

Ο.........................
....

Υ.........................
....

---

139 συγκληρονόμη 143 υἱετίζοντες 152 excisio folii odem η΄ et nonnullos versus odes θ΄ nobis ademit

---

138-139 Rom. 8,17

Σ.........................
....

ᾠδὴ θ΄. *Ἐν Σιναίῳ τῷ ὄρει κατεῖδέ σε*

Ι..........................
....
....
....
....
....
....
....

Ω— —́ — — —́   — — —́ — —
— — —́ — — — —́
— — —́ — — —́ — — —́ — —⟩

f. 167 ‖ καθιστᾷ περιφανῶς
πρόεδρον τῆς Σινώπης
ἀνιέρου σώζοντα
πλάνης, ἀπόστολε,
δῆμον καὶ λαὸν εὐπειθῶς σοι προστρέχοντας.

Συνελθόντες Ἑρμᾶν ἐπαινέσωμεν,
τὸν ἀπόστολον Χριστοῦ
καὶ Φιλόλογον, Λίνον καὶ Γάιον
καὶ Πατρόβαν τὸν σοφόν,
τὰ ἀμόλυντα σκεύη
⟨— —́ — — —́ — —⟩
τοὺς ἐκριζώσαντας
πλάνης τὰς ἀκάνθας ἐκ γῆς θείᾳ χάριτι.

Ἠκυρώσατε ἄθεα δόγματα
ἐξαπλούμενα ἐν γῇ
καὶ τὴν πίστιν Χριστοῦ ἐκυρώσατε,
δι᾽ ἧς ἔθνη καὶ λαοὶ

---

heirm. θ΄ EE 74, n. 104, Andreae 165 Συνόπης 169 Συνελθῶτες
174 versus desideratur 180 fort. scribendum ἔθνεσι καὶ λαοῖς vel in v. 182
ὤφθησαν pro ὤφθητε

φωτισμῷ ἀληθείας
ἰσάγγελοι ὤφθητε,
θεῖοι ἀπόστολοι·
ὅθεν καταχρέως ὑμᾶς μακαρίζομεν.

θεοτ. Φῶς τεκοῦσα ἐθνῶν ἀπολύτρωσιν,
φώτισόν μου τὴν ψυχὴν
σκοτισθεῖσαν τοῖς δεινοῖς παραπτώμασι
τῇ τοῦ ὄφεως βουλῇ,
ὅπως ἐν τῷ φωτί σου
ἀεὶ εἰσπορεύωμαι
καὶ μεγαλύνω σε
τὴν μεγαλυνθεῖσαν, ἁγνή, ἐκ πασῶν γενεῶν.

---

190 εἰσπορεύσομαι

180-184 Luc. 2,32 191 Luc. 1,48

IN SANCTOS VICTOREM ET STEPHANIDEM

Synaxarium, 211-214: Βίκτωρος. Οὗτος ἤθλησεν ἐπὶ Ἀντωνίνου βασιλέως Ῥωμαίων καὶ Σεβαστιανοῦ δουκὸς ἐν τῇ Ἰταλίᾳ. Ἀναγκασθεὶς γὰρ τὸν Χριστὸν ἀρνήσασθαι καὶ μὴ πεισθείς, πρῶτον θλάττεται τοὺς δακτύλους, ἕως οὗ ἐξαρθρωθέντες τῆς δορᾶς ἐξεπήδησαν· εἶτα εἰς κάμινον ἐμβάλλεται ἐκκαυθεῖσαν καὶ διαρκέσας ἐν αὐτῇ ἡμέρας γ', ἐξῆλθεν ἀβλαβής· καὶ μετὰ ταῦτα δηλητήρια φάρμακα πιεῖν ἀναγκάζεται, ἃ καὶ σφραγίσας ἀπέδειξεν ἀνενέργητα, ὡς ἐν τούτῳ καταπλαγέντα τὸν ταῦτα κατασκευάσαντα προσελθεῖν τῷ Χριστῷ· μετὰ ταῦτα ἐκσπᾶται τὰ νεῦρα καὶ ἐκπυρωθέντι ἐλαίῳ ἐπιχέεται. Καὶ ἀναρτηθεὶς λαμπάσι καταφλέγεται καὶ κονίαν μετ᾽ ὄξους ἀναγκάζεται δέξασθαι τῷ στόματι καὶ τοὺς ὀφθαλμοὺς ἐξορύττεται, κατὰ κεφαλῆς κρεμᾶται ἐπὶ ἡμέραις τρισί· εἶτα τὴν δορὰν ἀφαιρεῖται καὶ τότε τὸ πνεῦμα αὐτοῦ τῷ Θεῷ παρατίθεται. — Στεφανίδος. Αὕτη στρατευομένου τινὸς ὑπάρχουσα γαμετὴ καὶ τὸν Χριστὸν ἄνωθεν σεβομένη, ἀποβαλοῦσα δὲ τὸν ἄνδρα ἑξκαιδεκαετὴς καὶ ἐν μονώσει καὶ χηρείᾳ διάγουσα, ἐν τῷ βλέπειν τὸν ἅγιον Βίκτωρα τὰ ὑπὲρ ἄνθρωπον πάσχοντα ἐμακάριζεν αὐτόν, τοῖς νοεροῖς ὀφθαλμοῖς δύο στεφάνους ὁρῶσα φερομένους ἐξ οὐρανοῦ, ὧν ὁ μείζων ἡτοίμαστο τῷ μακαρίῳ Βίκτωρι. Προσαχθεῖσα δὲ τῷ ἡγεμόνι καὶ τὸν Χριστὸν Θεὸν καὶ ποιητὴν πάντων ὁμολογήσασα, ἐκταθεῖσα τὰς χεῖρας δύο φοίνιξι βίᾳ καμφθεῖσι προσεδέθη· ὧν ἀφεθέντων καὶ πρὸς τὴν ἰδίαν ἀποκλινάντων ὁρμήν, αὐτὴ διαιρεῖται καὶ εἰς δύο μερίζεται τμήματα, καὶ οὕτως τὴν ψυχὴν Θεῷ ἀποδίδωσιν.

Crypt. Δ.α. XIII	= Cc,	ff. 170^{v}-176
Vat. gr. 2	= V,	ff. 108^{v}-110^{v}
Mess. gr. 138	= Mb,	ff. 32-36^{v}
Paris. gr. 259	= Pa,	ff. 108^{v}-113

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Ἀθλητὰ Βίκτορ, τήνδε τὴν ᾠδὴν δέχου· Ἰωσήφ.

Ἦχος δ'.

ᾠδὴ α'. *Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος*

Ἀΰλῳ φωτὶ τοῦ θείου πνεύματος
καταυγαζόμενος,
ὡς ἀθλητὴς καὶ μάρτυς ἱερός,
ἱεραῖς σου δεήσεσι
τοὺς ὑμνητάς σου φώτισον,
Βίκτωρ θεόφρον, παμμακάριστε.

Θαλάσσῃ τῶν ἱερῶν αἱμάτων σου,
μάρτυς, ἐβύθισας
τὸν νοητόν, θεόφρον, Φαραὼ
καὶ τὰ τούτου στρατεύματα
καὶ πρὸς Θεὸν ἀνέδραμες
νίκης βραβεῖα κομισάμενος.

Λαμπτῆρα φωτοφανείᾳ πνεύματος
περιλαμπόμενον
ἡ ἐκκλησία ἔχει σε ἀεί,
ταῖς τῶν ἄθλων σου λάμψεσι
καὶ τῶν θαυμάτων πάντοτε
φωτιζομένη, παναοίδιμε.

---

tit. Ἕτερος κανὼν τῶν μαρτύρων Βίκτωρος καὶ Στεφανίδος φέρων ... Cc Ὁ κανὼν τοῦ ἁγίου Βίκτωρος καὶ Στεφανίδος φέρων ... V Ἕτερος κανὼν εἰς τοὺς ἁγίους Μηνᾶν, Βίκτωρα καὶ Βικέντιον φέρων ... Mb Ἕτερος κανὼν τῶν ἁγίων μαρτύρων Μηνᾶ, Βίκτωρος, Βικεντίου καὶ Στεφανίδος φέρων ... Pa; nomen hymnographi Ἰωσὴφ e tropariorum litteris initialibus odes θ' deducitur

heirm. α' EE 94, n. 133, Joannis 1 τοῦ θείου πνεύματος] τὸν νοῦν λαμπόμενος Mb 2 καταυγαζόμενος] τοῦ θείου πνεύματος Mb 6 παμμακάριστε] παναοίδιμε Mb 13 φωτοφανείᾳ πνεύματος] φωτοφανῆ τοῦ πνεύματος V φωτοφανείας πνεύματι Pa

---

7-10 Ex. 15, 4-5

θεοτ. Ἡ μόνη τὸν πλαστουργὸν κυήσασα
καὶ τοῦ παντὸς ποιητὴν
καινοτομοῦντα φύσεις ἐπὶ σοὶ
ὑπὲρ φύσιν, πανύμνητε,
ἁμαρτιῶν με λύτρωσαι
καὶ τῆς κολάσεως ἐξάρπασον.

f. 171 ᾠδὴ γ'. *Εὐφραίνεται ἐπὶ σοὶ*

Τὸ δόγμα τὸ δυσσεβὲς
ὡς εὐσεβείας ἐραστὴς ὤλεσας
καὶ καρτερῶς ἤθλησας
καὶ νικητικῶς ἐστεφάνωσαι.

Ἀνάπτων θείῳ πυρὶ
τῶν διωκτῶν πυρκαϊὰν ἔσβεσας
σοῖς ἱεροῖς αἵμασι,
μάρτυς ἀθλοφόρε πανεύφημε.

Βαδίζων θείαν ὁδὸν
τὴν πρὸς τὸν κτίστην, ἀθλητά, φέρουσαν
πλάνης δεινὰ βάραθρα
καὶ τὰς ἀνοδίας ἐξέκλινας.

θεοτ. Ἰάτρευσόν μου τὸν νοῦν
κεκακωμένον τοῖς δεινοῖς πάθεσι
καὶ τὴν ψυχήν, ἄχραντε,
θείᾳ καταφαίδρυνον χάριτι.

---

19 κυήσασα] τῆς φύσεως V Mb Pa 20 κυοφορήσασα V Mb Pa 21 καινοτομοῦνται Cc
heirm. γ' EE 94, n. 133, Joannis 25 τοῦ δυσσεβοῦς Mb vv. 37-38 similes sunt primis duobus versibus troparii, quod editum est in MR III, 412 39 ψυχήν μου V post odem γ' καθίσματα quinque praebet Cc; ex illis hoc, quod inc. Τῶν βασάνων τὰ εἴδη ..., ad hunc canonem refertur; idem κάθ. cdd. Pa et Mb in principio acolouthiae praebent

f. 171v Κάθισμα.

Ἦχος πλ. δ'. Πρός· *Τὴν σοφίαν τοῦ Λόγου*

Τῶν βασάνων τὰ εἴδη τὰ φοβερὰ
ὡς τρυφὴν ἐλογίσω, Βίκτωρ σοφέ,
ἐλπίσι νευρούμενος
τῶν μελλόντων, θεόπνευστε·
Στεφανίς σε ὅθεν ἀθλοῦντα ὡς ἤσθετο
ἑαυτὴν θυσίαν Κυρίῳ προσήγαγεν,
ἥτις προσδεθεῖσα
τοῖς φυτοῖς ἐμερίσθη
καὶ στέφανον ἤρατο
ἐκ Θεοῦ ἀμαράντινον,
μεθ' ἧς, μάρτυς πολύαθλε,
πρέσβ(ευε Χριστῷ τῷ Θεῷ
τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι
τοῖς ἑορτάζουσι πόθῳ
τὴν ἁγίαν μνήμην σου).

f. 172 ᾠδὴ δ'. *Δι' ἀγάπησιν, οἰκτίρμον, τῆς σῆς εἰκόνος*

Καρτερίᾳ τὰς βασάνους καθυπομένων
καὶ τοῦ Θεοῦ τὸν πόθον
ὡς σωτήριον φέρων
φάρμακον, ἐξέκλινας
ἰὸν τὸν τοῦ ὄφεως.

Τῇ τοῦ πνεύματος νευρούμενος δυναστείᾳ
προσαφῃρέθης, μάρτυς,
τὰ τοῦ σώματος νεῦρα
καὶ τὴν τοῦ ἀλάστορος
ἰσχὺν ἐξενεύρωσας.

---

heirm. καθ. MR I, 68
heirm. δ' EE 97, n. 138, Joannis 43 φέρον Pa

f. 172v ‖ Ὁλοκαύτωμα εὐῶδες τῷ ποιητῇ σου
ἐθελουσίᾳ γνώμῃ
προσηνέχθης μὴ θύσας
δαίμοσι, πανεύφημε·
διό σε γεραίρομεν.

θεοτ. Ῥιπιζόμενον τῷ λαίλαπι τῆς κακίας
καὶ τῶν παθῶν τῷ σάλῳ
ποντιζόμενον σῶσον,
ἄχραντε, τὸν δοῦλόν σου
πρὸς σὲ καταφεύγοντα.

ᾠδὴ ε'. *Σύ, Κύριέ μου, φῶς*

Τῇ θέρμῃ τῆς Χριστοῦ
ἀγαπήσεως, ἔνδοξε,
πυρούμενος, δριμυτάτην
τοῦ πυρὸς τιμωρίαν
γηθόμενος ὑπήνεγκας.

f. 173 ‖ Ἡ χάρις τοῦ Θεοῦ
ὡς γλυκεῖα τῷ λάρυγγι
σοῦ γέγονε τὴν πικρίαν
τῶν ἀμέτρων βασάνων
κουφίζουσα, μακάριε.

---

52 ἐθελουσίῳ γ. V Mb Pa 56 Ῥιπιζόμενον] Ῥαπιζόμενον Mb
heirm. ε' EE 94, n. 133, Joannis 65 Βικέντιε πολύαθλε Mb

51-54 PG 115, 264: εἶπεν αὐτῷ ὁ δούξ· ἐπίθυσον λοιπόν... Ὁ ἅγιος Βίκτωρ εἶπεν· οὐ τὸ σὸν θέλημα ποιῶ... καὶ εὔχομαι προσαγαγεῖν αὐτῷ (scil. τῷ Θεῷ) θυσίαν καθαρὰν καὶ ἁγνήν...

52-54 PG 115, 260: Ἐγὼ ὑπὲρ τοῦ μὴ θῦσαι ἡδέως βασανίζομαι...

66-70 PG 115, 264: Καὶ ἐκέλευσεν πάλιν ὁ δοὺξ κονίαν μετὰ ὄξους εἰς τὰ βραγχεῖα αὐτοῦ ἐμβληθῆναι καὶ τούτου γενομένου ὁ ἅγιος Βίκτωρ εἶπεν· τὸ ὄξος καὶ ἡ κονία ἐμοὶ ὥσπερ μέλι καὶ κηρίον εἰσὶ διὰ τὸν Χριστόν...

---

67 Ps. 118, 103

Νομίμως ὡς Χριστοῦ
στρατιώτης ἠγώνισαι
κρεμάμενος καὶ λαμπάσι
τὸ ἁγνότατον σῶμα,
θεόφρον, φλογιζόμενος.

θεοτ. Διάσωσον, ἁγνή,
ἐπηρείας τοὺς δούλους σου
καὶ κλύδωνος ἁμαρτίας
καὶ παθῶν ἀτιμίας
καὶ πάσης περιστάσεως.

ᾠδὴ ϛ'. *Θύσω σοι*
μετὰ φωνῆς αἰνέσεως, Κύριε,

Ἔφερες
ὀφθαλμῶν ἐκκεντήσεις στερρότατα
ἀποτυφλῶν τοὺς διώκτας
καὶ τὸ θεῖον φέγγος τρανότερον
κατοπτεύων
νοεροῖς ὀφθαλμοῖς, ἀξιάγαστε.

f. 173v ‖ Τὴν κάραν
τοῦ ἐχθροῦ ἐπὶ κάραν κρεμάμενος,
μάρτυς, συνέθλασας, Βίκτωρ,

---

heirm. ϛ' EE 94, n. 133, Joannis 88 κρεμάμενος] τεμνόμενος Mb

---

71-72 PG 115, 257: Ἐγὼ στρατιώτης εἰμὶ τοῦ μεγάλου βασιλέως Ἰησοῦ Χριστοῦ ...

73-75 PG 115, 264: ... ἐκέλευσεν πάλιν κρεμασθῆναι αὐτὸν ἐν τῷ ξύλῳ καὶ λαμπάδας πυρὸς προσενεχθῆναι...

82-86 PG 115, 264: ἐκέλευσε τοὺς ὀφθαλμοὺς αὐτοῦ ἐκκεντηθῆναι ... καὶ θεασάμενοι (οἱ στρατιῶται) αὐτὸν παραχρῆμα ἐτυφλώθησαν... τότε διὰ τῆς ἔνδον ὁράσεως πλέον ὁρῶ τοῖς τῆς ψυχῆς ὀφθαλμοῖς, ὡς εἶπεν Πέτρος ὁ ἅγιος ἀπόστολος, ὅτι ... οἱ ὀφθαλμοὶ τῆς καρδίας τὸ φῶς τὸ ἀληθινὸν ὁρῶσιν...

71-72 II Tim. 2,3 88-89 Ps. 67,22

καὶ τοὺς πόδας ἴθυνας πρὸς πορείαν
βασιλείας
τῆς οὐρανῶν, παμμάκαρ, γηθόμενος.

Ἤλγησαν
καὶ πληγέντες εἰς τέλος ἀπώλοντο
οἱ ταῖς πληγαῖς σου, θεόφρον,
καὶ ταῖς ἀλγηδόσι πληγὰς ἀθέως
προστιθέντες,
ἀθλοφόρε Χριστοῦ γενναιότατε.

θεοτ. Νέκρωσον
τῆς σαρκός μου, παρθένε, τὸ φρόνημα,
ἡ τὸν Χριστὸν συλλαβοῦσα
τὸν τῇ θείᾳ, ἄχραντε, δυναστείᾳ
νεκρωθεῖσαν
τῶν ἀνθρώπων τὴν φύσιν ζωώσαντα.

f. 174v || ᾠδὴ ζ΄. *Ἐν τῇ καμίνῳ*

Ὡς στρατιώτης
τοῦ δυνατοῦ δυνάμει θείᾳ, σοφέ,
μάτην τοὺς αἰκίζοντάς σε ἀνηλεῶς
πηρωθέντας σελασφόροις σου,
μάρτυς, ἐφώτισας
ταῖς προσευχαῖς πιστῶς θαυμαζόμενος.

Δῆμος ἀγγέλων
σὲ καθορῶν μετὰ σώματος,
μάρτυς, ἀσωμάτους τρέποντα δυσμενεῖς

---

95 οἱ ταῖς] ἐν ταῖς V ταῖς γὰρ Mb 97 προτιθέντες V 98 γενναιότατα Mb 102 τὸν] τοῦ Mb 104 ζωώσαντα] θεώσαντος V
heirm. ζ΄ EE 94, n. 133, Joannis 107 μάτην] μάρτυς Mb Pa 108 πυρωθέντα V πειρωθέντας Mb 109 μάρτυς, ἐφώτισας] ἐφωταγώγησας Mb Pa 113 τρέποντας Cc

---

94 Job 20,7; Dan. 7,26 100 Rom. 8,6

καὶ τῇ νίκῃ στεφανούμενον
Θεὸν ἀνύμνησε
τὸν σὲ δυνάμει θείᾳ ὁπλίσαντα.

Ἠκονημένα
τῶν σῶν ῥημάτων βέλη, ἔνδοξε
μάρτυς, ἐν καρδίᾳ ἔπηξας τῶν ἐχθρῶν
καὶ νευραῖς τῆς καρτερίας σου
ἐναπηγχόνησας
δαιμονικὴν πληθύν, πανσεβάσμιε.

θεοτ. Νόμους, παρθένε,
καινοτομήσας τοὺς τῆς φύσεως
Λόγος τοῦ Θεοῦ ὁ ἄναρχος ὑπὲρ νοῦν
ἐξ αἱμάτων σου σεσάρκωται
καὶ βρέφος γίνεται
καὶ νεουργεῖ φθαρέντα τὸν ἄνθρωπον.

f. 175 ᾠδὴ η΄. *Χεῖρας ἐκπετάσας Δανιὴλ*

Δεσμούμενον βλέπουσα, σοφέ,
καὶ ἐναθλοῦντά σε
καρτερικώτατα,
βήματι πρόεισι χαίρουσα
Στεφανὶς ἀνευφημοῦσά σε
καὶ τῶν ὁμοίων σου γερῶν
ἐπιθυμοῦσα τυχεῖν
καὶ βοῶσα·
« πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον ».

---

114 ταῖς νίκαις Mb Pa 119 τῶν] σῶν Pa 125 ὁ ἄναρχος] συνάναρχος V
heirm. η΄ EE 94, n. 133, Joannis 132 πρόϊσι Cc πρώησι V πρόσεισι Mb Pa χαίρουσα] δέσποτα Pa 134 σοι Pa 137, 164 post πάντα orat. varie intermittunt cdd.

117-119 Ps. 44,6

Ἔστης πρὸ βημάτων ἀνδρικῶς
καταπαλαίουσα
τὸν πολυμήχανον,
οὐ δειλιάσασα θάνατον,
οὐ βασάνων τὸ ἐπίπονον·
διό σε στέφει, Στεφανίς,
κλήσει κατάλληλον
ἀφθαρσίας
ὁ ἀθλοθέτης Χριστὸς ἐστεφάνωσεν.

Χριστοῦ τοῦ ποιμένος ἡ ἀμνάς,
θηρῶν σπαράγματα
οὐκ ἐδειλίασας,
ἀλλὰ τοῖς φοίνιξιν, ἔνδοξε,
προσδεθεῖσα ἀνεπέτασας
πρὸς οὐρανοὺς ὥσπερ χρυσῆ
περιστερὰ ἀληθῶς
καὶ πρὸς θεῖον,
μάρτυς, νυμφῶνα κατέπαυσας χαίρουσα.

Ὄρθιον τὸ ὄμμα τῆς ψυχῆς
πρὸς τὸν δυνάμενον
σῴζειν σε ἔχουσα
πρὸς θείαν ἄνοδον κέχρησαι
ὥσπερ κλίμαξι τοῖς φοίνιξι
καὶ ἀνηνέχθης, Στεφανίς,
πρὸς ὃν ἐπόθεις Χριστὸν
μελῳδοῦσα·
« πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον ».

143 σε] σοι V Pa   στέφει] στέφος Mb   146 ἐστεφάνωσεν] ἐδωρήσατο Mb Pa   152 οὐρανὸν V   158 ἔχουσα] Κύριον V   159 κέχρησαι] ἔχουσα V   κέκλησαι Mb Pa   161 ἀνηνέχθη V   162 Χριστοῦ Pa

138-146 PG 115, 265: Ἐγὼ Στεφανὶς καλοῦμαι, ἧ στέφανος ἀπόκειται ἐν τοῖς οὐρανοῖς καὶ διὰ τοῦτο οὐκ ἐπιθύω, ἵνα κομίσωμαι αὐτὸν παρὰ τοῦ δικαίου καὶ ἀληθινοῦ ἀθλοθέτου Χριστοῦ...

f. 175ᵛ θεοτ. || Ὑπάρχων Θεὸς ἀληθινὸς
μορφὴν ἀνέλαβεν
ἀνθρώπου, πάναγνε,
ἐκ σοῦ ὁ ὕψιστος Κύριος
καὶ τὸν ἄνθρωπον ἐθέωσε
καὶ ἀπωσθέντα τῇ φθορᾷ
ἄφθαρτον ἔδειξεν·
ὅθεν πάντες
σὲ εὐλογοῦμεν, Μαρία θεόνυμφε.

f. 176 ᾠδὴ θ'. *Λίθος ἀχειρότμητος ὄρους*

Ἰσχὺν κραταιάν, ἀθλοφόρε,
τὴν ἀρραγῆ πίστιν κατέχων
μετὰ πλειοτέρας βασάνους
τὸν διὰ ξίφους ὑπέστης θάνατον
καὶ πρὸς Θεὸν ἀνέδραμες
νίκης στεφάνους κομισάμενος.

Ὤφθη σου τὸ τέλος εὐκλείαις
ταῖς θεϊκαῖς δεδοξασμένον,
Βίκτωρ ἀθλοφόρε παμμάκαρ·
κρουσθεὶς γὰρ ξίφει, γάλα ἀπέσταξας
καὶ τοὺς πιστῶς τιμῶντάς σε
πνευματικῶς, μάρτυς, διέθρεψας.

Σοῦ τοὺς παμμεγίστους ἀγῶνας
καὶ τὰς λαμπράς σου ἀριστείας

169 ἐθέωσεν] ἐφόρεσεν V (et in marg. manus posterior scripsit ἐθέωσεν)   heirm. θ' EE 94, n. 133, Joannis   174 ἀθλοφόροι Mb   175 τῇ Cc   176 πλειοτέρους Pa   183 γὰρ] τῷ V   185 μάρτυς] πάτερ Pa

183 PG 115, 268: ταῦτα εἰπόντος αὐτοῦ καὶ εὐξαμένου, ἐκρούσθη τῷ ξίφει καὶ ἐξῆλθεν αἷμα καὶ γάλα...

165-167 Phil. 2,6-7

μέγισται καλῶν ἀντιδόσεις
καὶ εὐφροσύνη καὶ ἀγαλλίασις
ἐν οὐρανοῖς, πανεύφημε
μεγαλομάρτυς, διεδέξαντο.

Ἡμεροφαεῖς ὡς ἀστέρες
ἀναδειχθέντες, ἀθλοφόροι,
πᾶσαν καταυγάζετε κτίσιν
δαιμόνων σκότος ἀποδιώκοντες·
διὸ φωταγωγήσατε
τοὺς εὐσεβῶς ὑμᾶς γεραίροντας.

θεοτ. Φρίττουσιν ἀγγέλων αἱ τάξεις
τὸ ὑπὲρ φύσιν ἐννοοῦσαι,
ἄχραντε, μυστήριον τῆς σῆς
κυοφορίας· Θεὸν γὰρ τέτοκας
καὶ ὡς υἱὸν ἐθήλασας
τὸν διατρέφοντα τὰ σύμπαντα.

---

188 μέγιστοι cdd. ἀντιδόσεις] ἀντίδωσιν Cc ἀντιδώσεις V Mb Pa
192-197 hoc trop. in ode ϑ′ canonis XXV (3) invenies vv. 378-383
194 καταυγάζεται V Pa 202 υἱὸν] θεὸν Cc Ἰησοῦν V

IN SANCTOS MENAM, VICTOREM ET VICENTIUM

Synaxarium, 211-214: Μηνᾶ. Οὗτος ὑπῆρχεν ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως, χώρας Αἰγυπτίων ὁρμώμενος. Ἐστρατεύετο δὲ ἐν τοῖς νουμέροις τοῖς λεγομένοις Ῥουτιλιακοῖς ὑπὸ Ἀργυρίσκῳ ἡγεμόνι ἐν τῷ Κοτυαείῳ Φρυγίας Σαλουταρίας. Μὴ ἀνεχόμενος δὲ καθορᾶν τὴν τῶν εἰδώλων πλάνην παρρησιαζομένην, εἰς τὸ ὄρος ἀνῆλθεν νηστείαις αὑτὸν καθαίρων καὶ προσευχαῖς. Ἱκανῶς δὲ στομώσας ἑαυτὸν καὶ τῷ θείῳ πόθῳ τὴν ψυχὴν ἀναφλέξας, κατελθὼν ἐκ τοῦ ὄρους καὶ στὰς ἐν μέσῳ τῶν εἰδωλολατρῶν, τὸν Χριστὸν ἀνεκήρυττεν· ὅθεν αἰκισθεὶς καὶ τριχίνοις ὑφάσμασι τὰς σάρκας καταξανθεὶς καὶ καυτῆρσι προσομιλήσας πυρὸς καὶ τριβόλοις, ἐν τῷ ἀφειδῶς κατὰ γῆς ἕλκεσθαι ἅπαν τὸ σῶμα διαλωβηθείς, τὴν διὰ ξίφους ἐδέξατο τελευτήν. — Βικεντίου διακόνου καὶ Οὐαλλερίου ἐπισκόπου. Οὗτοι ἐν Αὐγουστίᾳ πόλει τῆς Ἱσπανίας ὑπάρχοντες, ἤχθησαν παρὰ τὸ βῆμα Δατιανοῦ τοῦ ἄρχοντος· ὃς παραυτίκα καὶ σὺν πολλῇ τῇ ὕβρει ἐκέλευσεν αὐτοὺς εἰς πόλιν Βαλεντίαν σιδηρωθέντας ἀπαχθῆναι καὶ ζοφώδει καὶ δυσωδεστάτῃ φρουρᾷ καθειρχθῆναι. Μετὰ δέ τινας ἡμέρας ἐξαγαγὼν τὸν Βικέντιον, κελεύει ξέεσθαι· καὶ εὐθὺς ἀναρτηθεὶς ἐπὶ τοσοῦτον ξέεται, ὥστε τὴν τῶν σπλάγχνων διάπλασιν φανῆναι· εἶτα σταυρῷ καταπήγνυται κἀκεῖ προσηλωθεὶς ἀκινητί, κατὰ μέλος αἰκίζεται· εἶτα ἐκεῖθεν ἀποσπασθείς, στρεβλοῦται καὶ μαστίζεται καὶ τὰς πλευρὰς κατακαίεται. Ἔξαρθρος δὲ γενόμενος, ῥάβδους σιδηρᾶς πυρωθείσας καὶ φλογιζούσας δέχεται ἐπὶ τοῦ στήθους, ἕως οὗ διετάκη σχεδὸν ἅπαν αὐτοῦ τὸ σῶμα. Μετὰ ταῦτα ἀπορρίπτεται ἐν εἱρκτῇ, ὅτε θείας καὶ ἀγγελικῆς ὄψεως καταξιωθεὶς τὸ πνεῦμα τῷ Θεῷ παρέθετο.

Crypt.	Δ.α. XIII	=	Cc,	ff. 170-175ᵛ
Mess.	gr. 138	=	Mb,	ff. 32-36
Paris.	Suppl. gr. 32	=	Sa,	ff. 73ᵛ-74ᵛ
Crypt.	Δ.α. XIX	=	Cu,	ff. 42ᵛ-44ᵛ
Paris.	gr. 259	=	Pa,	ff. 108ᵛ-113

Ὁ κανών.

Ἦχος δ'.

ᾠδὴ α'. *Χοροὶ Ἰσραὴλ ἀνίκμοις ποσὶ*

Λαὸς ἱερὸς Μωσεῖ σὺν κλεινῷ
καὶ σὺν Μαριὰμ γυναικὶ σοφῇ καὶ προφήτιδι
οὐ βυθὸν ἐρυθραῖον,
ἀλλὰ νῦν Μηνᾶ τοῦ ἀθλητοῦ διεξιόντες
θάλασσαν ἀγώνων ἐνδόξως
ᾄσωμεν τῷ Θεῷ ἡμῶν ὅτι δεδόξασται.

Θυμὸν ἀπειλῆς καὶ ζῆλον ὀργῆς
πνέων ἐμμανῶς ὁ λοιμὸς καὶ ἄνομος τύραννος
ὡς Χριστοῦ στρατιώτη
ἀντισχεῖν ἠρέθισε, Μηνᾶ, τῆς εὐσεβείας,
ἧς φωστὴρ ἐδείχθης κραυγάζων·
« ᾄσωμεν τῷ Θεῷ ἡμῶν ὅτι δεδόξασται ».

« Ὅταν ὑψωθῶ ἑλκύσω βροτούς »
σύ, Χριστέ, προέφησας, ἔργῳ δὲ ἐτελείωσας·
τῶν μαρτύρων τὰς τάξεις
καὶ λαὸν περάτων ἐκ τῆς γῆς ἀνεκαλέσω
ἐν ἀγαλλιάσει βοῶντα·
« ᾄσωμεν τῷ Θεῷ ἡμῶν ὅτι δεδόξασται ».

---

tit. Ὁ κανὼν τοῦ ἁγίου Μηνᾶ καὶ Βικεντίου Cc; nomen hymnographi Ἰωάννου μοναχοῦ praebent cdd.; Pa autem nomen Κοσμᾶ μοναχοῦ refert; canon diversa traditione editus est in NS 28 (1933), 205-216; cfr. infra canonem XXV (3)

heirm. α' EE 102, n. 144, Cosmae 1 ἱερῶς Mb 4 ἀθλητοῦ] ἀθλοφόρου Sa 6,12,18 post τῷ orat. varie intermittunt cdd. 8 πνέων] πάντων NS 9 στρατιώτης Cc Sa Mb 10 ἠρέθισε] ἠρέτησας Cc Sa ἠρέθισας Mb ἠρήθησας Cu 11 ἧς] ὃς Cc 13-18 trop. om. Mb 14 προέφησας] προέφης Sa 16 προσεκαλέσω Cu 17 βοῶντα] λέγοντα Cu

---

1-6 Ex. 15, 1, 20 9 II Tim. 2,3 13 Joh. 12,32

θεοτ. * Ῥάβδος Ἀαρὼν βλαστήσασα
τὴν ἐξ Ἰεσσαὶ προετύπου ἀναφυεῖσαν ῥίζης
σὲ τὴν ἄφθαρτον ἄνθος
ἀνατείλασαν ἀνθρώποις, τὸν Θεὸν σεσαρκωμένον,
ὃν ὑπὲρ ἡμῶν, θεοτόκε,
πρέσβευε, ἀειπάρθενε, τῶν προστρεχόντων σοι.

f. 170v ᾠδὴ γ'. *Στήριγμα πιστῶν καὶ καύχημα*

Μᾶλλον τὸν Χριστὸν ἠγάπησας
καὶ εὐγενείας ὄλβον
τοῦ βίου τερπνὰ ἐμίσησας, μάρτυς Μηνᾶ·
διὸ μαρτύρων χοροῖς συναγελάζει.

Τρίβολοι δειναὶ τὰς σάρκας σου
καὶ τοῦ πυρὸς ἀπειλὴ
πλοκαί τε σειρῶν συνέσεισαν, μάρτυς Μηνᾶ,
f. 171 || τὴν δὲ ψυχήν σου Χριστὸς ἐδεξιοῦτο.

Ἄτρωτοι Χριστοῦ ὑπέρμαχοι,
Μηνᾶς καὶ Βίκτωρ ὁμοῦ
Βικέντιός τε ἐνθέως ἀθλήσαντες,
τὰς παρατάξεις ἐχθρῶν στερρῶς διεῖλον.

θεοτ. Σὺ εἶ τῶν πιστῶν τὸ καύχημα,
σὺ εἶ ἡ ἐλπὶς ἡμῶν
καὶ ἀντίληψις, θεοτόκε πανύμνητε,
καὶ ταῖς πρεσβείαις σου φυλαττόμεθα.

19-24 θεοτ. BZ 14 (1905) 520; θεοτ. om. Cc NS; aliud θεοτ. praebet Cu, quod invenies infra XXV (2), 19-24 24 τῶν ἀνυμνούντων σε B Z

heirm. γ' EE 101, n. 143, Cosmae 27 τοῦ] τὸν Sa τερπνῶν Sa ἐκμισήσας Mb μισήσας Sa 28 δι' ὧν Sa συναγελάζεις Mb 30 ἀπειλῇ Cc Sa Pa 31 πλοκαῖς Sa συνέσεισαν] συνέστειψαν Cu συνέση Pa 33-36 trop. om. Mb 35 ἐνθέως] καὶ Στεφανὶς ἐν Θεῷ Pa NS 36 στερρῶς om. Sa διεῖλον] διῆλθον Pa NS 37-40 θεοτ. om. Cc NS 38 ἡ om. Pa 40 καὶ σαῖς πρεσβείαις ἡμᾶς φύλαττε Sa

---

19 Num. 17,23 20-21 Is. 11,1

Κάθισμα.

Ἦχος δ'. Πρός· *Κατεπλάγη Ἰωσὴφ*

(α') Τὸν γενναῖον ἀθλητὴν
τῆς εὐσεβείας τοῦ Χριστοῦ
εὐφημήσωμεν πιστοὶ
πάντες Μηνᾶν τὸν ἀθλητὴν
ψαλμοῖς καὶ ὕμνοις καὶ ᾄσμασι καὶ ᾠδαῖς μυστικαῖς,
f. 171v || δι' οὗ ἡ τυραννὶς τοῦ ἀοράτου ἐχθροῦ
δυνάμει θεϊκῇ πᾶσα νενίκηται
καὶ νοσημάτων ἴασις πλουσίως
παρὰ Κυρίου δεδώρηται
τοῖς ὁλοψύχως προσερχομένοις
πάντοτε τῷ ναῷ σου.

Ἄλλο.

Ἦχος πλ. α'. Πρός· *Τὸν συνάναρχον Λόγον*

(β') Ἀδιστάκτῳ τῇ πίστει
οἱ ἀθλοφόροι Χριστοῦ
τῶν τυράννων τὰ θράση
καταβαλόντες στερρῶς,
νικηφόροι εὐσθενεῖς ἀνεδείχθησαν
καὶ τῶν βασάνων ἀμοιβὴν
τὴν τῶν θαυμάτων παροχὴν
ἐδέξαντο ἐκ τοῦ μόνου
Θεοῦ τοῦ ἀγωνοθέτου
καὶ δυσωποῦσιν εἰς τὸ σωθῆναι ἡμᾶς.

καθ. α' et β' tantum Cc praebet, ceteri cdd. om.   heirm. καθ. α' MR III, 388; heirm. καθ. β' HR, 230

Κάθ. α' 5 Col. 3,16

Ἄλλο.

Ἦχος πλ. δ'. Πρός· *Τὴν σοφίαν τοῦ Λόγου*

(γ') Ἡ τὸ πρὶν ἀγνωσίας
σκότει δεινῷ
....

Ἄλλο. Πρός· *Τὸ προσταχθὲν μυστικῶς*

(δ') Τῶν προσταγμάτων τοῦ ἐχθροῦ καταφρονήσας,
τοῖς δὲ προστάγμασι Χριστοῦ ἀκολουθήσας,
πρὸς σφαγὴν ἑκούσιον σαυτὸν παραδέδωκας
τὸ πάθος ἐξεικονίζων τοῦ ἀπαθοῦς
θανάτῳ ἀθανασίαν κληρονομῶν,
ἣν νομίμως ἀπείληφας
ὡς ἐννομώτατος, Μηνᾶ,
ἀθλοφόρος γενόμενος·
ὅθεν πίστει τιμῶμέν σε.

ᾠδὴ δ'. *Εἰσακήκοα τὴν ἔνδοξον*

Καταπλήττει σου, πανεύφημε,
ἡ πρὸς τυράννους παρρησία, Μηνᾶ,
τῶν ἀσωμάτων ἀΰλων τάξεις,
f. 172 || ὡς ῥωμαλέῳ πίστει ἀνεκραύγαζες·
« δόξα τῇ δυνάμει **σου, Κύριε** ».

καθ. γ' in principio acolouthiae praebent Cu Mb Pa   καθ. δ' in initio acolouthiae refert Pa, ceteri cdd. om.; heirm. καθ. δ' HR, 223
5 ἀθανασίαν om. Cc, scriba autem spatium vacuum reliquit
heirm. δ' EE 102, n. 144, Cosmae   44 ἀνεκραύγαζες] καὶ ἐκραύγαζων Cu
45 post δόξα orat. varie intermittunt cdd.

Κάθ. δ' 6 Eph. 5,2

Ὡς ἀπτόητος ἐβόας
πρὸς τὸν τύραννον ὁμιλίᾳ, Μηνᾶ·
« ἰδοὺ εὑρέθην μὴ ἐρωτῶσιν,
ἐνεφανίσθην δὲ τοῖς μὴ ζητοῦσί με
στέφος μαρτυρίου κομίσασθαι ».

Ἡ εὐπρέπεια τοῦ οἴκου σου
ὡραϊσμένη καὶ πεποικιλμένη, Μηνᾶ,
ὑπὲρ χρυσίου καὶ λίθου κόσμον
τῇ τοῦ Κυρίου δόξῃ τε καὶ χάριτι
πᾶσιν εὐφροσύνην ἀστράπτουσα.

θεοτ. * Ἀπειρόγαμε θεόνυμφε,
ἡ τὸν σωτῆρα δεξαμένη σαρκί,
σὲ ἀνυμνοῦμεν, δεδοξασμένη,
καὶ ἀσιγήτως οὕτω σοι κραυγάζομεν·
« χαῖρε προστασία τῶν δούλων σου ».

f. 172v ᾠδὴ ε΄. *Ὁ τοῦ φωτὸς διατμήξας*
τὸ πρωτόγονον χάος

Ἀθλητικῶς διαπρέψας,
ὡς χρυσὸς ἐν πυρὶ δὲ
δοκιμασθείς, Μηνᾶ, προσηνέχθης Θεῷ
σκεῦος ἐκλεκτόν,
ἐν ᾧ τὸ αἷμα
τοῦ Χριστοῦ σοι κεράννυται.

---

46 ἐβόας] ὑπὲρ Θεοῦ Sa Mb ὑπάρχει σου Cu Pa NS 47 μέσον πρὸς τυράννους ὁμ. M. Sa μέσον τυράννους παρρησίᾳ Μηνᾶ Mb ἡ πρὸς τυράννους ὁμιλία Μηνᾶ Cu Pa NS 49 ἀνεφανίσθην Sa 50 κομήσασθε Cc 52 καὶ Cc: ceteri cdd. om. 53 χρυσίον Pa NS 54 Κυρίου] Θεοῦ Mb 55 ἀστράπτοντος Cu Mb 56-60 θεοτ. MR V, 31; θεοτ. om. Cc NS 57 τεξαμένη Pa MR 59 ἀσιγήτοις Sa οὕτω] ὕμνοις Sa ὕμνον MR 60 τῶν δούλων σου] τοῦ γένους ἡμῶν Pa Sa
heirm. ε΄ EE 102, n. 144, Cosmae 64 ἐκλεκτὸν] ἐκλογῆς Sa Pa NS 65 αἷμα Cc: μέθυ ceteri cdd. 66 σοι κεράννυται] σου -νυσαι Sa συγκεράννυται Cu Mb

---

48-49 Is. 65,1; Rom. 10,20 51 Ps. 25,8 53 Ps. 18,11 62-63 Sap. 3,6; Sir. 2,5 64 Act. 9,15

Τοῖς σοῖς οἰκέταις καὶ λάτραις
ἐπορθρίζουσι, μάρτυς,
τῇ φωταυγεῖ καὶ θείᾳ σου μνήμῃ, Μηνᾶ,
καὶ σὲ αἰτοῦσι
παράσχου χάριν
δεξιᾶς ἐξ ἀφθόνου σου.

Τῆς ἀσεβείας χειμάρρους
ἐν τοῖς ῥείθροις αἱμάτων
Μηνᾶς ὁμοῦ καὶ Βίκτωρ γενναίως μεθ᾽ ὧν
καὶ Βικέντιος
κατακλύσαντες,
πιστῶν καρδίας ἤρδευσαν.

θεοτ. * Ἐν τῷ ὠδίνειν σε, κόρη,
τὰ μητέρων διέδρας
ὑπερφυῶς, ἐπεὶ συλλαβοῦσα Θεὸν
τέτοκας σαρκί·
διό σε πάντες
θεοτόκον δοξάζομεν.

f. 173 ᾠδὴ ϛ΄. *Ἦλθον εἰς τὰ βάθη τῆς θαλάσσης*

Ἱδρώτων σου ῥεύμασι συμμείξας
τὴν τῶν ἀγώνων κόνιν
σεαυτὸν ναόν, μάρτυς, ἀγήρω
ἐν οὐρανοῖς,
Μηνᾶ, ᾠκοδόμησας
τοῦ Χριστοῦ σου ἐνδιαίτημα.

Ἀγάλλου, Μηνᾶ· ἡ ἐκκλησία
πανηγυρίζει γάρ σου

---

68 ἐπορθρίζουσοι Cc 69 τὴν φωταυγῆ καὶ θείαν σου μνήμην Μηνᾶ Cu 72 σου] σε Cc 73-78 trop. om. Cu Mb 75 Μηνᾶ Cc 77 κατακλύσαντες] -κλείσαντες Cc -κλυσάντων Sa -βλύσαντες NS 79-84 θεοτ. MR V, 37; θεοτ. om. Cc NS 80 διέδρας] οὐκ ἔγνως MR 84 θεοτόκον] ἐπαξίως MR δοξάζομεν] γινώσκομεν Sa Mb
heirm. ϛ΄ EE 96, n. 135, Joannis 90 σου] σοι Cc 91 ἡ] τῇ Cc 92 γάρ σου] σοί γὰρ Cc σὺ γὰρ Mb γάρ σοι Sa

ὀρθοδόξως νῦν φιλευσεβοῦσα,
αἱρετικῶν
ἀσεβῆ θρησκεύματα
τῆς σῆς κώμης ἐκδιώκουσα.

Ἱδρῶσι τῆς θείας μαρτυρίας
Μηνᾶς καὶ Βίκτωρ θεῖος
καὶ Βικέντιος ἐν τῷ σταδίῳ
τὸν δυσμενῆ
ὡς καταποντίσαντες
τὸ τῆς νίκης στέφος ἔλαβον.

θεοτ. * Ἀστέκτου θεότητος χωρίον
ἡ καθαρὰ νηδύς σου
ἀναδέδεικται, ὦ θεομῆτορ,
ἣ ἀδεῶς
οὐρανῶν τὰ τάγματα
ἀτενίσαι οὐ δεδύνηται.

f. 173ᵛ Κοντάκιον.

Ἦχος δ'. Πρός· *Ἐπεφάνη σήμερον*

(α') Τῆς στρατείας ἥρπασε τῆς ἐπικήρου
....

Ὁ οἶκος.

(α') Μεγάλης πρόξενος ἡμῖν
....

95 ἀσεβῆ] δυσσεβῆ Cu 96 κώμης] ποίμνης Pa NS 97-102 trop. om. Cu Mb Pa NS 97 Ἱδρῶτι Sa 101 καταπατήσαντες Sa 103-108 θεοτ. MR V, 355; θεοτ. om. Cc NS; aliud θεοτ. praebet Cu, quod inc. Ἄβυσσός σε ἄβυσσον PaR, 284 105 θεομῆτορ] θεοτόκε Mb Sa Pa 106 ἣ] ἣν Sa 108 ἀτενίζειν Pa MR

Κοντ. α' TRM II, νζ', οἶκ. α' MR II, 116; in initio acolouthiae κοντ. et οἶκ. praebent cdd. Cu Mb Pa; ambo om. NS

Ἕτερον κοντάκιον τοῦ ἁγίου Μηνᾶ.

Ἦχος πλ. β'. Πρός· *Τῷ θρόνῳ ἐν οὐρανῷ*

(β') Φωστῆρες ἀειφανεῖς
δειχθέντες, ἀθληταί,
καταυγάζετε τὸ φῶς ταῖς ψυχαῖς
τῶν ἀνθρώπων τῇ χάριτι·
καὶ τὰς νόσους ἰώμενοι
τῷ Κυρίῳ κραυγάζουσιν·
« ἐπισπλαγχνίσθητι ὁ δωρούμενος
τοὺς στεφάνους τοῖς μάρτυσιν ».

Ὁ οἶκος.

(β') Ὕμνον ἐν κατανύξει
ἐγκαίνισον τῷ νοΐ μου,
ὁ πάντα νοῦν ὑπερέχων,
ἐν τῷ ψάλλειν καὶ δοξάζειν σε,
ὅπως ἐν ἐγκωμίοις
αἰνέσω ἀκατακρίτως
f. 174 ‖ Μηνᾶν τὸν σὸν ἀθλοφόρον
σὺν Βίκτωρι, ἀναμάρτητε·
ἐν γὰρ ἀγῶσι συνέχομαι βοῆσαι
φάσματα πολυέπαινα
τῶν ἀγώνων ἐπάξια·
διὸ ἀμφοτέρων τοὺς ἄθλους προβαλλόμενος
ἀναγκαῖον εἰπεῖν
τὰ ἀπαρχῆς τὰ τοῦ πανολβίου
καὶ τότε παράδοξα
τοῦ ἀθλητοῦ ὄντως καὶ μάρτυρος,
ἵνα εὕρωμεν δι' αὐτῶν
ἄφεσιν τῶν πταισμάτων
βοῶντες ἐν κατανύξει·
« οἰκτείρησον τὸν λαόν σου ⟨ὁ δωρούμενος⟩
τοὺς στεφάνους τοῖς μάρτυσιν ».

κοντ. β' et οἶκ. β' solus praebet Cc, ceteri cdd. om.

heirm κοντ. β' HR, 224 1 Φωστὴρ 3 καταυγάζεται οἶκ. 3 ὑπερέχον 9 ἀγῶνες 17 αὐτὸν 19 κατανοίξει 20 ὁ δωρούμενος addidi

ᾠδὴ ζ΄. *Ὁ ἐν ἀρχῇ ἄναρχος Λόγος*

Μαρτυρικὴ
πᾶσα χορεία
εὐστεφοῦσα, πανεύφημε,
συγχορεύει σὺν ἡμῖν
« εὐλογητὸς εἶ
— κράζουσα τῇ μνήμῃ σου —
ὁ Θεὸς τῶν πατέρων ἡμῶν ».

Τὴν τοῦ Μηνᾶ
ἔπαθλον νίκην
εὐφημήσωμεν ἅπαντες
μελῳδοῦντες σὺν αὐτῷ·
« εὐλογητὸς εἶ
καὶ ὑπερυψούμενος
ὁ Θεὸς τῶν πατέρων ἡμῶν ».

(τριαδ.) Τριαδικὸν
ὅπλον σε, μάρτυς,
κατ' ἐχθρῶν προβαλλόμεθα·
ἐστρατεύθης γάρ, Μηνᾶ,
Πατρὶ καὶ Λόγῳ
Πνεύματι ἁγίῳ τε,
τῷ Θεῷ τῶν πατέρων ἡμῶν.

θεοτ. Ὁ ἐν γαστρὶ
τῆς θεοτόκου
συλληφθεὶς εὐδοκίᾳ Πατρὸς
καὶ τὰ σύμπαντα πληρῶν

---

heirm. ζ′ EE 96, n. 136, Joannis 109 Μαρτυρικῇ Sa 114 καὶ ὑπερυψούμενος Cu 114 τῇ μνήμῃ] τὴν μνήμην Pa Sa 115 post Θεὸς orat. varie intermittunt cdd. 121-122 κράζοντα Mb Sa 121 post ὑπερυψούμενος orat. varie intermittunt cdd. 128 καὶ ἁγίῳ πνεύματι Cu τε om. Cc 129 post Θεῷ orat. varie intermittunt cdd. 130-136 θεοτ. om. Cc Cu NS 132 ὑπὲρ φύσιν σαρκούμενος Pa

εὐλογητὸς εἶ
καὶ ὑπερυψούμενος
ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

f. 174v ᾠδὴ η΄. *Λυτρωτὰ τοῦ παντός, παντοδύναμε,*

Στεφανίτης, Μηνᾶ, ἀναδέδειξαι·
τοὺς ἐχθροὺς τῷ σταυρῷ τοῦ Κυρίου σου
καταβαλὼν γὰρ ᾔσχυνας
καὶ ἐβόας ἐν πίστει·
« πάντα τὰ ἔργα
εὐλογεῖτε, ὑμνεῖτε τὸν Κύριον ».

Θαυμαστὸς ὁ Θεὸς ἐν τῇ μνήμῃ σου,
ὁ πηγάζων ἡμῖν τοῖς λειψάνοις σου
τὰ τῶν ψυχῶν ἰάματα
καὶ σωμάτων βοῶσι·
« πάντα τὰ ἔργα
εὐλογεῖτε, ὑμνεῖτε τὸν Κύριον ».

Ὡς πορφύραν καὶ βύσσον τὰ αἵματα
ἡ ἐκκλησία στολίζεται σήμερον,
Μηνᾶ, Βίκτωρ, Βικέντιε,
τὰ ὑμῶν ἐκβοῶσα·
« πάντα τὰ ἔργα
εὐλογεῖτε, ὑμνεῖτε τὸν Κύριον ».

θεοτ. * Παρθενεύει γαστὴρ καὶ τεκοῦσα υἱὸν
εἰ καὶ δίχα σπορᾶς συλλαβοῦσα σαρκὶ
Θεὸν τὸν ἀπερίγραπτον,

135-136 Κύριε ὁ Θεὸς Mb; om. Sa 136 τῶν] ὁ τῶν Pa

heirm. η′ EE 96, n. 135, Joannis 138 τῷ σταυρῷ Cc: τοῦ σταυροῦ ceteri cdd. NS 140 ἐν πίστει] ἀπαύστως Cu παμμάκαρ Mb Pa NS ἀφόβως Sa 141 post ἔργα orat. varie intermittunt cdd. 144 τῶν λειψάνων Cc Cu Mb 147, 153 post πάντα orat. varie intermittunt cdd. 149-154 trop. om. Cu Mb Pa NS 155-160 θεοτ. NS 28 (1933), 332; θεοτ. om. Cc NS; aliud θεοτ. praebet Cu, quod inc. Ἐκ πλευρᾶς τοῦ Ἀδὰμ πλαστουργήσας σε PaR, 286 155 Παρθενεύεις γαστρὶ Sa NS, 332 156 εἰ] ἡ Mb

---

143 Ps. 67,36 149 Luc. 16,19

ἐν Πατρὶ συνανάρχῳ
Λόγον καὶ Πνεῦμα,
ὃν ὑμνοῦμεν τὰ ἔργα ὡς Κύριον.

f. 175v ᾠδὴ θ΄. *Λίθος ἀχειρότμητος ὄρους*

Ἠγάπησας μᾶλλον οὐχ ἧττον
ἢ ἠγαπήθης, ἀθλοφόρε,
τὴν ἠγαπημένην σου ψυχὴν
καθιερώσας τῷ ἐραστῇ σου Χριστῷ,
τῷ σὺν αὐτῷ δοξάσαντι
τὴν μαρτυρίαν σου, ἀοίδιμε.

Λυχνία φωτὶ τρισηλίῳ
ἀναπτομένη τῶν μαρτύρων
ὤφθη ἡ τρισάριθμος μονάς,
Μηνᾶς καὶ Βίκτωρ τε καὶ Βικέντιος,
πιστοὺς καταφωτίζουσα,
ἀχλὺν εἰδώλων ἀπελαύνουσα.

Προσδέχου τὸν αἶνον ὡς χρέος
ἐκ προθυμίας προϊόντα
— ὑπερβεβηκότα σε, Μηνᾶ,
ἡμῶν τὸν λόγον ἐπιγινώσκομεν —
καὶ ἀντιδίδως ἄμετρα
ἐκ θησαυρῶν σου τὰ χαρίσματα.

θεοτ. Ἀξίως σε πάντες μητέρα
τοῦ βασιλέως καὶ δεσπότου
πάλαι μὲν προφῆται εὐφήμουν,
ἀπόστολοι δὲ πίστει καὶ μάρτυρες
νῦν σὺν ἡμῖν δοξάζοντες
σέ, θεοτόκε, μεγαλύνουσιν.

---

160 ὑμνοῦμεν] ἀνυμνοῦμεν Mb   ὡς] τὸν Mb
heirm. θ΄ EE 94, n. 133, Joannis   164 καθιερώσας] ἀφιερώσας Cu Mb Pa NS   165 τῷ σὺν] πιστούς Sa   σὺν αὐτῷ] εὐκλεῶς Cu   167-172 trop. om. Cu Mb   173 αἶνον] ὕμνον Cu   174 προϊόντα] προσιόντα Cc   175 σε] γὰρ Pa NS   176 τοῦ λόγου Cu Mb Sa   178 θησαυρὸν Sa   179-184 θεοτ. cfr. in hoc vol. canon. VII, 214-220; θεοτ. om. Cc NS   179 Ἀξίως] Κυρίως Sa   180 δεσπότου] δεσπότην Sa   182 δὲ] τε Cu

IN SANCTOS MENAM, VICTOREM ET VICENTIUM

Crypt. Δ.α. XIX = Cu, ff. 42v-44v

Ὁ κανὼν Ἰωάννου μοναχοῦ.

Ἦχος δ΄.

ᾠδὴ α΄. *Χοροὶ Ἰσραὴλ ἀνίκμοις ποσὶ*

1-6 Λαὸς ἱερὸς Μωσεῖ σὺν κλεινῷ
.... = Cc 1-6

7-12 Θυμὸν ἀπειλῆς καὶ ζῆλον ὀργῆς
.... = Cc 7-12

13-18 « Ὅταν ὑψωθῶ ἑλκύσω βροτούς, »
.... = Cc 13-18

θεοτ. Ἰσχὺν δυσμενῶν καὶ θράσους ὁρμὰς
παῦσον σαῖς λιταῖς ἡ Θεόν, παρθένε, κυήσασα,
ὅτι μόνη ἐδείχθης
σὺ παρθένος ἐπὶ γῆς κυοφοροῦσα
καὶ σεσαρκωμένον τέτοκας
Κύριον καὶ Θεὸν ἡμῶν, μόνη ἀνύμφευτε.

ᾠδὴ γ΄. *Στήριγμα πιστῶν καὶ καύχημα*

25-28 Μᾶλλον τὸν Χριστὸν ἠγάπησας
.... = Cc 25-28

---

heirm. α΄ EE 102, n. 144, Cosmae   1 Μωσῆ συγκλεινῶ
heirm. γ΄ EE 101, n. 143, Cosmae; heirmum integrum praebet cd.

29-32 Τρίβολοι δειναὶ τὰς σάρκας σου
.... = Cc 29-32

f. 43 ‖ Σὺ τοῦ δυσμενοῦς τὴν ἔπαρσιν
τῇ ταπεινώσει τῇ σῇ
τελείως κατηδάφισας, μάρτυς Μηνᾶ,
τὰ στρεβλωτήρια στερρῶς ὑποίσας.

Σῶμά σου φθαρτὸν ταῖς μάστιξι
καὶ ταῖς ποιναῖς παραδούς,
διὰ βασιλείαν καὶ ζωὴν ἀθάνατον,
Βίκτωρ, μαρτύρων χοροῖς συναγελάζει.

θεοτ. 41-44 Σὺ εἶ τῶν πιστῶν τὸ καύχημα,
.... = Cc 37-40

ᾠδὴ δ'. *Εἰσακήκοα τὴν ἔνδοξον*

45-49 Καταπλήττει σου, πανεύφημε,
.... = Cc 41-45

50-54 Ὡς ἀπτόητος ὑπάρχει σου
.... = Cc 46-50

55-59 Ἡ εὐπρέπεια τοῦ οἴκου σου
.... = Cc 51-55

θεοτ. 60-64 Ἀπειρόγαμε θεόνυμφε,
.... = Cc 56-60

ᾠδὴ ε'. *Ὁ τοῦ φωτὸς διατμήξας*

65-70 Ἀθλητικῶς διαπρέψας,
.... = Cc 61-66

---

40 cfr. canon. XXV (1), v. 28
heirm. δ' EE 102, n. 144, Cosmae; heirmum integrum praebet cd.
heirm. ε' EE 102, n. 144, Cosmae

71-76 Τοῖς σοῖς οἰκέταις καὶ λάτραις
.... = Cc 67-72

Καρτερικῶς ὑπομείνας
τὰς ποινὰς τῶν βασάνων,
παρὰ Χριστοῦ ἐδέξω τὴν χάριν, Μηνᾶ,
τῶν ἰαμάτων,
ἀφθόνως πᾶσι
τοῖς ὑμνοῦσί σε νέμων αὐτά.

f. 43v ‖ Τροπαιοφόρος ἐφάνης
τοῦ σταυροῦ κεκτημένος
νῦν τὸ σημεῖον ἐν μέσῳ ἐχθρῶν
τῶν ἀοράτων
καὶ ὁρωμένων,
Βίκτωρ, μάρτυς πανένδοξε.

Δατιανὸν καταισχύνας
τὸν ἀλάστορα, μάρτυς,
ὡς τῶν ἀψύχων εἰδώλων ἐκδικητὴν
ἀναδειχθέντα,
Θεὸν κηρύξας,
ἀθλοφόρε Βικέντιε.

θεοτ. 95-100 * Ἐν τῷ ὠδίνειν σε, κόρη,
.... = Cc 79-84

ᾠδὴ ϛ'. *Ἦλθον εἰς τὰ βάθη τῆς θαλάσσης*

101-106 Ἱδρώτων σου ῥεύμασι συμμείξας
.... = Cc 85-90

Ἦλθες αὐχμηρὰν τὴν κόμην ἔχων
καὶ πιναρὰν ἐσθῆτα
ξένον θέαμα πᾶσι δεικνύων

---

89 καταισχύνας: fort. scribendum κατῄσχυνας; nam secundum cd. periodus sententia prima caret
heirm. ϛ' EE 96, n. 135, Joannis

καὶ τὸν Χριστὸν
Θεὸν καταγγείλας δὲ
τοὺς ἀθέους ἐμυκτήρισας.

113-118 Ἀγάλλου, Μηνᾶ· ἡ ἐκκλησία
.... = Cc 91-96

Ἀθλοῦντα ὁρῶσά σε ἀνδρείως
Στεφανὶς ἡ θεόφρων
μέχρις αἵματος συνήθλησέ σοι
διὰ παντὸς
σὺν σοὶ ἀπολαύουσα
βασιλείας, Βίκτωρ ἔνδοξε.

Τὸν δρόμον τετέλεκας ἀξίως
τὸν τῆς ἀθλήσεώς σου
καὶ τὸ στέφος τῆς νίκης ἐδέξω
ἐν οὐρανοῖς,
τρυφὴν τὴν ἀθάνατον,
ἀξιύμνητε Βικέντιε.

θεοτ. * Ἄβυσσός σε ἄβυσσον ἀρρήτων
τῆς εὐσπλαγχνίας, κόρη,
ἐκλεκτὴν ἀνέδειξε θαυμάτων·
καὶ γὰρ ἐκ σοῦ
ἀστραπῇ θεότητος
μαργαρίτης Χριστὸς ἔλαμψεν.

ᾠδὴ ζʹ. *Ὁ ἐν ἀρχῇ*
ἄναρχος Λόγος

137-143 Μαρτυρικὴ
f. 44 .... = Cc 109-115

131-136 θεοτ. PaR, 284 131 ἀρρήτως PaR
heirm. ζʹ EE 96, n. 136, Joannis; heirmum integrum praebet cd.

110-111 Act. 17,3 121 Hebr. 12,4 125 II Tim. 4,7-8
131 Ps. 41,7

144-150 Τὴν τοῦ Μηνᾶ
.... = Cc 116-122

151-157 Τριαδικὸν
.... = Cc 123-129

Δαιμονικὴν
ἅπασαν πλάνην,
Βίκτωρ μάρτυς, κατῄσχυνας
καὶ τυράννων τὸν θυμὸν
ἀνακραυγάζων·
« εὐλογητὸς εἶ
καὶ ὑπερυψούμενος ».

Ὥσπερ χρυσὸς
ἐδοκιμάσθης,
τῇ χωνείᾳ, Βικέντιε,
τῶν βασάνων λαμπρυνθείς,
ἀνακραυγάζων·
« ὁ ὑπερυψούμενος
⟨καὶ Θεὸς τῶν πατέρων ἡμῶν⟩ ».

Ὁ ἐν τρισὶν
ἀδιαιρέτοις
κηρυχθεὶς ὑποστάσεσιν,
ἐν οὐσίᾳ δὲ μιᾷ,
εὐλογητὸς εἶ
καὶ ὑπερυψούμενος
ὁ Θεὸς τῶν πατέρων ⟨ἡμῶν⟩.

ᾠδὴ ηʹ. *Λυτρωτὰ τοῦ παντός, παντοδύναμε,*

179-184 Στεφανίτης, Μηνᾶ, ἀναδέδειξαι.
.... = Cc 137-142

185-190 Θαυμαστὸς ὁ Θεὸς ἐν τῇ μνήμῃ σου,
.... = Cc 143-148

171 post ὑπερυψούμενος cd. tantum τῶν praebet et orat. intermittit
heirm. ηʹ EE 96, n. 135, Joannis

Προσενέγκας Θεῷ τὴν λατρείαν σου
.... = Pa 306-311

Τὴν ψυχήν σου ἀγάπῃ ἐλάμπρυνας
καὶ τὸ σῶμα ἀθλήσει ἐκόσμησας
καὶ ἀμφοτέρων εἴληφας
τὸν μισθὸν καὶ κραυγάζεις·
« πάντα τὰ ἔργα
εὐλογεῖτε ⟨Κυρίου τὸν Κύριον⟩ ».

Λουτρὸν θεῖον λουσθεὶς τοῦ βαπτίσματος
καὶ ἰδίῳ ἐν αἵματι δεύτερον
σὺ καθαρθείς, Βικέντιε,
τῷ Χριστῷ ἀναμέλπεις·
« πάντα τὰ ἔργα
εὐλογεῖτε Κυρίου τὸν Κύριον ».

θεοτ. * Ἐκ πλευρᾶς τοῦ Ἀδὰμ πλαστουργήσας σε,
ἐκ τῆς σῆς παρθενίας σεσάρκωται
ὁ τῶν ἁπάντων Κύριος,
ὃν ὑμνοῦντες βοῶμεν·
« πάντα τὰ ἔργα
εὐλογεῖτε Κυρίου τὸν Κύριον ».

ᾠδὴ θ'. *Λίθος ἀχειρότμητος ὄρους*

Ἠγάπησας μᾶλλον οὐχ ἧττον
f. 44v .... = Cc 161-166

Προσδέχου τὸν ὕμνον ὡς χρέος
.... = Cc 173-178

Ἡ μαρτυρική σε χορεία
καὶ προφητῶν καὶ ἀποστόλων

191-196 cfr. infra XXV (3) 209-214 θεοτ. PaR, 286 214 Κυρίου] ὑμνεῖτε PaR
heirm. θ' EE 94, n. 133, Joannis 215 ἧττων 227 μαρτυρικῇ

209 Gen. 2,21-22

ἐν ἐπουρανίαις ταῖς σκηναῖς,
Μηνᾶ ἀοίδιμε, ὑπεδέξατο
καὶ σὺν αὐτοῖς γηθόμενος
ὑπὲρ ἡμῶν Χριστὸν ἱκέτευε.

Τέλος τὸ μακάριον εὗρες
διὰ ἀγώνων σου καὶ πόνων,
τὴν τῶν οὐρανῶν βασιλείαν,
τὴν ζωαρχίαν τὴν ἀκατάλυτον,
τὴν χαρμονὴν τὴν ἄρρητον
τὴν δι' αἰῶνος, Βίκτωρ ἔνδοξε.

Ῥείθροις τῶν αἱμάτων τὴν φλόγα
τῆς ἀσεβείας κατασβέσας,
ἤρθης πρὸς μονὰς αἰωνίους
χοροῖς ἀγγέλων συναυλιζόμενος,
καρτερικῶς, Βικέντιε,
στέφανον νίκης κομιζόμενος.

θεοτ. Ἀξίως σε πάντες μητέρα
.... = Cc 179-184

11 NOV.

CANON XXV (3)

IN SANCTOS MENAM, VICTOREM, VICENTIUM, STEPHANIDEM ET IN SANCTUM THEODORUM STUDITAM

Synaxarium, 213-216: Θ ε ο δ ώ ρ ο υ ἡγουμένου τῶν Στουδίων. Οὗτος ὁ ὅσιος πατὴρ ἡμῶν Θεόδωρος ὑπῆρχεν ἐπὶ τῆς βασιλείας τοῦ ἀσεβεστάτου Κωνσταντίνου τοῦ Κοπρωνύμου, γονέων εὐσεβῶν Φωτινοῦ καὶ Θεοκτίστης. Οὗτος ἐκ παιδὸς ταῖς τῶν γραμμάτων ἐνασχοληθεὶς προσάγεται τέχναις· καὶ προβὰς τῇ ἡλικίᾳ διαμείβει γραμματικήν, φιλοσοφίαν καὶ ῥητορικὴν καὶ ἁπλῶς εἰπεῖν πᾶν κάλλος φράσεως ἀπηνθήσατο..... Τότε ..... ὁ μακάριος Θεόδωρος τὸ τῆς ἱερωσύνης ἀξίωμα παρὰ τοῦ μεγάλου ἀρχιερέως δέχεται, περισσῶς ἐκτήκων ἑαυτοῦ νηστείᾳ τὴν σάρκα καὶ τῇ μελέτῃ τῶν θείων γραφῶν. Τῷ δὲ τριακοστῷ πέμπτῳ χρόνῳ τῆς αὐτοῦ ἡλικίας, ... τὴν ἡγουμενείαν ..... ὑποδέχεται, ... Ὁ δὲ ἀποστείλας εἰς τὴν μονήν, μάστιξι σφοδροτάταις αἰκισάμενος τὸν ἀθλητὴν μεθ' ἑτέρων τριῶν ἀδελφῶν ἐν τῇ Θεσσαλονικέων ἐξορίζει. ..... Ἡ δὲ τούτου μήτηρ τῆς βασιλείας ἐγκρατὴς γεναμένη, τὸν ἐν ἐξορίᾳ ἀνακαλεῖται Θεόδωρον. ..... Τοῦ δὲ Νικηφόρου τῆς βασιλείας δραξαμένου, πάλιν ἐξορίᾳ παραπέμπεται Θεόδωρος ὡς μὴ δεχόμενος τὸν ἀπωσθέντα Ἰωσὴφ τῆς πατριαρχείας μετὰ τελευτὴν Ταρασίου· εἶτα ..... διαδέχεται Μιχαὴλ τὴν βασιλείαν. Ὃς πάντας τοὺς ἐν ἐξορίᾳ ἀνεκαλέσατο καὶ τὸν μέγαν Θεόδωρον. ..... Λέων, ... ἔπειτα βασιλεὺς ἀναγορεύεται. Οὗτος τῆς τοῦ Κοπρωνύμου μανίας διάδοχον ἑαυτὸν ἀποδεικνύς, (ἀνάθεμά σοι), ἔλεγεν μὴ δεῖν προσκυνεῖν εἰκόνα Χριστοῦ ἢ τῆς Θεοτόκου ἤ τινος τῶν ἄλλων ἁγίων. Διὰ ταύτην τὴν αἰτίαν ἐξορίζεται πάλιν ὁ μέγας Θεόδωρος ἐν τῇ τῆς Ἀπολλωνιάδος λίμνῃ· ἐκεῖθέν τε παραπέμπεται ἐν τῷ τῶν Ἀνατολικῶν θέματι χωρίῳ Βόνιτα προσαγορευομένῳ· ἐν ᾧ ὁ ἀθλητὴς παρὰ τοῦ βασιλικοῦ Ἀναστασίου πικρῶς ᾐκίσθη, ἑκατὸν μάστιγας ἐπὶ τῶν ὤμων δεξάμενος. Μετὰ δὲ τοῦτον ὁ τῆς ἀνατολῆς στρατοπεδάρχης σφοδροτάταις μάστιξι τοῦτον καθυπέβαλε, πλείω τῶν ἑκατὸν μαστίγων· καὶ μήπω τῆς τῶν τραυμάτων συνουλώσεως εὖ διατεθείσης, μετοικίζονται ἐκεῖθεν οἱ ὁμολογηταὶ πρὸς τὴν Σμυρναίων μητρόπολιν καὶ τῇ εἱρκτῇ ἐναπορρίπτονται καὶ τῷ βασανιστηρίῳ ξύλῳ ἐμβάλλονται. ..... ὅθεν καὶ οἱ ὁμολογηταὶ ἀνεκλήθησαν καὶ μικρὸν ἀνεθέντες τοῖς φίλοις συνῆσαν. Ὁ δὲ μακάριος Θεόδωρος ἀνακωχὴν τῶν πόνων λαβὼν μετὰ χρηστῆς ἐλπίδος ἀνεπαύσατο, τὸ πνεῦμα τῷ Θεῷ παραθέμενος. Οὗτος ὁ ἅγιος μακρὸς ἦν τῇ ἡλικίᾳ, κατάξηρος καὶ ὠχρὸς τὴν ὄψιν, μιξοπόλιος τὴν τρίχα καὶ ἐπιφάλακρος.

Cfr. atque synaxaria canonum XXIV et XXV (1).

Paris. gr. 259 = Pa, ff. 108v-113
Paris. gr. 267 = Ra, pp. 418-426
Vat. gr. 2309 = Vk, ff. 17-19v

Ὁ κανών.

Ἦχος δ'.

ᾠδὴ α'. *Χοροὶ Ἰσραὴλ ἀνίκμοις ποσὶ*

1-6 Λαὸς ἱερὸς Μωσεῖ σὺν κλεινῷ
.... = Cc 1-6

7-12 Θυμὸν ἀπειλῆς καὶ ζῆλον ὀργῆς
f. 109 .... = Cc 7-12

13-18 « Ὅταν ὑψωθῶ ἑλκύσω βροτούς, »
.... = Cc 13-18

* Φωτὶ θεουργῷ μαρτύρων δυὰς
καταυγαζομένη πλουσίως καὶ πόνων τὰ ἔπαθλα
τοῦτο γέρας λαβοῦσα
τῇ Τριάδι παρεστάναι καὶ ἡμῶν μεμνημένη
τῶν ἑορταζόντων αἰσίως
λύσατε τὴν σκοτόμαιναν τῶν καρδιῶν ἡμῶν.

* Βυθὸς ἱερῶν αἱμάτων σου
πόντον ἐρυθρὸν ἐκμιμεῖται, μάρτυς, τοῖς ῥεύμασιν·
ὡς ἐκεῖνος γὰρ πάλαι
τοὺς διώκτας συγκατέκλυσε βυθίσας παραδόξως,
οὕτω τῆς πικρᾶς τυραννίδος
ἔπαρσιν ὑπερήφανον σὺ κατεπόντισας.

* Αὐγάζων φαιδρῶς τῶν ἄθλων φωτὶ
πᾶσαν καταλάμπει τὴν κτίσιν ὄντως Βικέντιος
καὶ προτρέπεται πάντας

---

tit. Ὁ κανὼν Κοσμᾶ μοναχοῦ Ra; nomen Κοσμᾶ μοναχοῦ in marg. cdd. Pa et Vk scriptum est; hic canon, sine tropariis in S. Theodorum et θεοτ., editus est, e cd. Pa, in NS 28 (1933), 205-216

heirm. α' EE 102, n. 144, Cosmae; heirm. integrum praebet Ra
25-30 trop. om. Vk 26 πόντων Pa Ra 28 συγκατέκλεισε Ra

25-28 Ex. 14,27-28; 15,4-5

τὴν αὐτοῦ τιμᾶν πανήγυριν εὐσεβοφρόνως,
ἐν ᾗ συνελθόντες κράζομεν·
« ᾄσωμεν τῷ Θεῷ ἡμῶν ὅτι δεδόξασται ».

Φωτὸς ἀστραπαῖς, μακάριε,
ὅλος φωτισθεὶς καὶ τρανῶς ὁρᾶν ἀξιούμενος
τὸ ἀκήρατον κάλλος
καὶ ἡμᾶς νῦν αὐγασθῆναι ταῖς ἐκεῖθεν [πεμπομέναις] ἀκτῖσι
ἐν ἀγαλλιάσει ἀξίου
ψάλλοντας τῷ Θεῷ ἡμῶν ὅτι δεδόξασται.

Νικήσας παθῶν σκιρτήματα
καὶ τυραννικὰς ὁρμὰς ἐν ταὐτῷ ἐξεφαύλισας
ἀπαθεῖν ἀληθείᾳ
τῇ φαυλότητι τῶν τρόπων ἡρημένος, θεοφόρε,
καὶ νῦν σὺν ἀγγέλοις χορεύεις
στέμμασιν ἀναδούμενος τῆς ἀκηράτου ζωῆς.

θεοτ. 48-53 * Ῥάβδος Ἀαρὼν βλαστήσασα
f. 109v .... = Cc 19-24

ᾠδὴ γ'. *Στήριγμα πιστῶν καὶ καύχημα*

54-57 Μᾶλλον τὸν Χριστὸν ἠγάπησας
.... = Cc 25-28

58-61 Τρίβολοι δειναὶ τὰς σάρκας σου
.... = Cc 29-32

62-65 Ἄτρωτοι Χριστοῦ ὑπέρμαχοι,
.... = Cc 33-36

36, 41 post ἡμῶν orat. detruncant cdd. 37-47 haec trop. et sequentia omnia canonis in S. Theodorum om. Ra Vk NS 39 πεμπομέναις metri causa expunxi 45 ἡρημένας cd. 48-53 aliud θεοτ. praebet Vk = Cu 19-24
heirm. γ' EE 101, n. 143, Cosmae; heirm. integrum praebent Pa Ra
58-61 trop. om. Vk

---

59 Is. 29,8

* Πρόσταγμα δεινὸν ἡ τύραννος
ἀποθεσπίζει φωνὴ
σὲ τῆς ἀληθοῦς ἀφίστασθαι πίστεως,
ἀλλ' εἰς κενὸν ἠλπικὼς ᾐσχύνθη, μάρτυς.

* Ἔρωτι Θεοῦ ἀνήφθη σοι
πῦρ τὸ ἐγκάρδιον·
διὸ τῶν ἀσεβῶν ἐνέπρησας ἅπασαν
κακοπιστίας καλάμην, ἀθλοφόρε.

* Μύστης τοῦ Χριστοῦ γενόμενος
καὶ τῶν παθῶν κοινωνὸς
ὑπῆρξας αἰωρηθεὶς ἐπὶ ξύλου, σοφέ,
καὶ τοὺς ξεσμοὺς ἐνεγκὼν γενναιοφρόνως.

Ἔστεγες, σοφέ, τὰς μάστιγας,
ὥσπερ νιφάδων βολάς,
ὡς τὴν τοῦ Θεοῦ ἰσχὺν ἐνδυσάμενος
καὶ ζοφερὸν συγκλεισμὸν ἀδίκως, πάτερ.

Ζήλῳ ἀληθεῖ στομούμενος
τὴν θεομάχον ψυχὴν
λόγοις ἱεροῖς ὡς βέλεσιν, ὅσιε,
κατατιτρώσκεις, Θεόδωρε τρισμάκαρ.

θεοτ. 86-89 Σὺ εἶ τῶν πιστῶν τὸ καύχημα,
f. 110 .... = Cc 37-40

ᾠδὴ δ'. *Εἰσακήκοα τὴν ἔνδοξον*

90-94 Καταπλήττει σου, πανεύφημε,
.... = Cc 41-45

66-69 trop. om. Vk 69 ᾐσχύνθη] ἠλέχθη Ra 72 ἐνέπρισας Vk 74-77 trop. om. Vk 76 ὡραιωθεὶς Ra post odem γ' καθ., quod inc. Ἡ τὸ πρὶν ἀγνωσίας, praebet Ra; cfr. canonem XXV (1)
heirm. δ' EE 102, n. 144, Cosmae; heirm. integrum praebent Ra

---

72-73 Is. 5,24 75 II Cor. 1,7

95-99 Ὡς ἀπτόητος ἐβόας
.... = Cc 46-50

100-104 Ἡ εὐπρέπεια τοῦ οἴκου σου
.... = Cc 51-55

* Γενναιότητι τὰς μάστιγας
ὑπομεμένηκας, Χριστοῦ ἀθλητά,
τὸν θεῖον πόθον ἐπανορθοῦντα
καὶ συντηροῦντα ἔχων, Βίκτωρ ἔνδοξε,
κλέος ἀθλοφόρων καὶ καύχημα.

* Ἐνεδέδυσο τὴν ἄμαχον,
ἀκαταγώνιστε Χριστοῦ ἀθλητά,
ἰσχὺν καὶ ῥώμην καὶ κατεγέλας
τῶν ἐκνευρίζειν, μάρτυς, ἐγχειρούντων σε
στέγων ἀνδρικῶς τὸ ἐπίπονον.

* Ὡς ἀνίκητος ἐδείκνυσο
ἐν ταῖς βασάνοις, ὦ Βικέντιε,
τὴν τῶν εἰδώλων σαθρὰν ἀπάτην
καὶ τοῦ Χριστοῦ κηρύττων θεῖον ὄνομα!
ὅθεν σε τιμῶμεν ἐν ᾄσμασιν.

Δῶρον τίμιον δεδώρησαι,
Θεόδωρε, σὺ πρὸς Χριστοῦ τοῦ Θεοῦ
τῇ ἐκκλησίᾳ, τὰς ἀλλοκότους
κενοφωνίας, πάτερ, τοῖς σοῖς δόγμασι
πάσας εὐσεβῶς ἐκτρεπόμενος.

Τῇ ἐνστάσει τῆς ἀνδρείας σου,
Θεόδωρε, ἡ ἀλαζὼν καὶ πικρὰ
συγκατεσπάσθη ὀφρὺς τυράννου
καὶ παλαμναίᾳ γνώμῃ καὶ κακόφρονι
σὲ τὸν ἀθλητὴν κατῃκίζετο.

f. 110v θεοτ. 130-134 * ‖ Ἀπειρόγαμε θεόνυμφε,
.... = Cc 56-60

---

95 ἐβόας] ὑπάρχει σου Pa Ra   95-104 trop. om. Vk   105 τὰς] τοὺς Ra
110-114 trop. om. Vk   114 στέγειν NS   118 καὶ om. Ra

ᾠδὴ ε'. *Ὁ τοῦ φωτὸς διατμήξας*

135-140 Ἀθλητικῶς διαπρέψας,
.... = Cc 61-66

141-146 Τοῖς σοῖς οἰκέταις καὶ λάτραις
.... = Cc 67-72

147-152 Τῆς ἀσεβείας χειμάρρους
.... = Cc 73-78

* Τὴν τοῦ πυρὸς ἀλγηδόνα
τῷ πυρὶ τῆς ἀγάπης
σὺ στομωθεὶς ὑπέστης ἀνδρείᾳ ψυχῆς
μένων ἀκλινής·
ἡ γὰρ ἐλπίς σε
τῶν μελλόντων ἐκράτυνεν.

* Τὸν τοῦ Χριστοῦ στρατιώτην
ἀναρτώμενον ξύλῳ
καὶ πυρακτώσει φλογὸς αἰκίαι πολλαὶ
περιστοιχοῦσαι
τῆς ἀληθείας
οὐδαμῶς παρεκίνησαν.

* Ἐν τῇ εἱρκτῇ τῇ ζοφώδει
κεκλεισμένος ὑπάρχων
φωτοειδοῦς ἀπέλαυσας αἴγλης Θεοῦ
τὴν σὴν καρδίαν
ἐπιρρωννύντος,
ἀθλοφόρε Βικέντιε.

---

heirm. ε' EE 102, n. 144, Cosmae; heirm. integrum praebet Ra
141-152 trop. om. Vk   153 ἀλγηδόνα] -νος Ra   155 συστομωθεὶς NS
156 ἀκλινεῖς Ra   159-164 trop. om. Vk   160 ἀναρτούμενον Ra   161 πυρακτώσεις Ra   162 περιστυχοῦσαι Pa   περιστειχοῦσαι Ra   165 ζοφώδη Ra
167 ἀπήλαυσας Pa NS

---

159 II Tim. 2,3

Ῥῆμα Θεοῦ ἐνοικῆσαν
σῇ καρδίᾳ, παμμάκαρ,
ὥσπερ πηγὴν δὲ ταύτην δογμάτων, σοφέ,
οὖσαν δαψιλῆ
ἀναστομοῦσαν
τὰς αἱρέσεις κατέκλυσεν.

Περικαθαίρων τῷ λόγῳ
τῆς ψυχῆς τὸ ὑλῶδες
f. 111 || ἀσκητικαῖς παλαίστραις εὑρέθης αὐτῷ
σκεῦος ἱερὸν
τὰς λαμπηδόνας
δεδεγμένος τοῦ πνεύματος.

θεοτ. 183-188 Ἐν τῷ ὠδίνειν σε, κόρη,
.... = Cc 79-84

ᾠδὴ ϛ'. *Ἦλθον εἰς τὰ βάθη τῆς θαλάσσης*

189-194 Ἱδρώτων σου ῥεύμασι συμμείξας
.... = Cc 85-90

195-200 Ἀγάλλου, Μηνᾶ· ἡ ἐκκλησία
.... = Cc 91-96

* Ἐστέρει φωτός, ἀλλὰ τὸ κρεῖττον
σοὶ προεξένει, μάρτυς,
τὸ καθαῖρον ψυχὴν τῆς ἀγνοίας,
ὁ διωκτῶν
πάντων ἀπηνέστατος
ὀφθαλμῶν ἐκκοπτομένων σου.

* Ἐκρέμασο, μάρτυς, κάτω κάρᾳ
ὀλεθροτόκον ἅμα
καὶ ἀρχέκακον καὶ ἀποστάτην

---

heirm. ϛ' EE 96, n. 135, Joannis 189 ῥεύματα Ra 195-200 trop. om. Vk post v. 200 Ra praebet trop., quod inc. Ἱδρῶσι τῆς θείας μαρτυρίας = Cc 97-102; idem autem om. Pa et NS 201 Ἀστέρει Vk 203 ψυχῆς τῆς ἁγνείας Ra ἁγνείας Vk 207-212 trop. om. Vk 207 κάραν Ra 208 ἅμα] μάκαρ Ra

σὺ κεφαλὴν
καταθλῶν τοῦ δράκοντος
σοῖς γενναίοις ἀγωνίσμασιν.

* Τῷ πόθῳ πυρούμενος τοῦ κτίστου
τὰς πεπυρακτωμένας
σιδηρᾶς ῥάβδους ὑπήνεγκας γενναίως
τὰς τοῖς σεπτοῖς
στέρνοις προσαχθείσας σοι
ἀπηνείᾳ τοῦ δικάζοντος.

Ἡ πλάνος ψυχὴ καὶ μαινομένη
τῶν ἱερῶν εἰκόνων
τὴν προσκύνησιν οὐκ εὐδοκοῦσα
τὸν τῆς αὐτοῦ
παρανοίας ἔλεγχον
φυγαδείᾳ κατεδίκαζεν.

Τὴν ἄνω λαχὼν χοροστασίαν,
ὅπου χαρᾶς ἀφράστου
αἱ λαμπρότητες, ἡμῖν ἐνταῦθα
τὰ δυσχερῆ
διαλύοις, ὅσιε,
καὶ βραβεύοις τὰ συμφέροντα.

f. 111v θεοτ. 231-236 * || Ἀστέκτου θεότητος χωρίον
.... = Cc 103-108

ᾠδὴ ζ'. *Ὁ ἐν ἀρχῇ*
ἄναρχος Λόγος

237-243 Μαρτυρικὴ
.... = Cc 109-115

Post odem ϛ' κοντ. « Τῆς στρατείας ἥρπασεν » et οἶκ. « Μεγάλης πρόξενος ἡμῖν » praebet Ra, quae invenies in canone XXV (1) 211 καταθλῶν] καθελὼν NS 215 γενναῖος Vk 219 μενομένη Pa

heirm. ζ' EE 96, n. 136, Joannis; heirm. integrum praebet Ra 237-243 trop. om. Vk 237 Μαρτυρικῆ Pa Ra

---

210-211 Ps. 73,14

244-250 Τὴν τοῦ Μηνᾶ
.... = Cc 116-122

251-257 Τριαδικὸν
.... = Cc 123-129

* Ἡ Στεφανὶς
ἔστεπται καλῶς
ὡς νομίμως ἀθλήσασα·
κατιδοῦσα γὰρ θερμῶς
τὸν ἀθλοφόρον
πόνοις ἐκτρυχόμενον
εὐσεβῶς ἐμιμήσατο.

* Μετὰ σαρκὸς
δῆμος ἀγγέλων
σὲ τὴν πάλην στησάμενον
ἐπεσκόπει καὶ φωναῖς
χαριστηρίοις
ἔμελπε τὸν τρέποντα
εὐσθενῶς τὸν ἀόρατον.

* Ἀπολυθεὶς
ἐκ τῶν προσκαίρων
πρὸς ζωὴν μεταβέβηκας
αἰωνίαν καὶ χαρὰν
στεφανηφόρος
συνὼν τῷ δεσπότῃ σου,
ἀθλοφόρε Βικέντιε.

Σὺ τὴν ζωὴν
σώφρονα, σοφέ,
διανύσας, Θεόδωρε,
καταλλήλου βιοτῆς

251-257 trop. om. Vk 263 ἐκτρυχώμενον Pa NS 265-271 trop. om. Vk 267 στησαμένην NS 270 ἔμελπες Pa

---

280 II Tim. 2,5

τῆς οὐρανίου
ἔτυχες, μακάριε,
ἐντρυφῶν τῆς ἀφθάρτου ζωῆς.

Ἡ τοῦ φωτὸς
σύζυγος τῇ σῇ
νῦν ψυχῇ ἀνατέταλκεν
εὐφροσύνη καὶ χαρά,
« εὐλογητὸς εἶ
— κράζοντι, θεσπέσιε, —
ὁ Θεὸς τῶν πατέρων ἡμῶν ».

θεοτ. 293-299 Ὁ ἐν γαστρὶ
.... = Cc 130-136

f. 112 ‖ ᾠδὴ η'. *Λυτρωτὰ τοῦ παντός, παντοδύναμε,*

300-305 Στεφανίτης, Μηνᾶ, ἀναδέδειξαι·
.... = Cc 137-142

* Προσενέγκας Θεῷ τὴν λατρείαν σου
καὶ εἰς γῆν κατακλίνας τὴν κάραν σου
τὴν διὰ ξίφους εἴληφας
μαρτυρίαν κραυγάζων·
« πάντα τὰ ἔργα
εὐλογεῖτε, ὑμνεῖτε τὸν Κύριον ».

312-317 Θαυμαστὸς ὁ Θεὸς ἐν τῇ μνήμῃ σου,
.... = Cc 143-148

* Ἡ σοφὴ Στεφανὶς τὸν ἀοίδιμον
ἀθλοφόρον ὁρῶσα ἠνδρίζετο
καὶ τοῖς ἀγῶσιν ἔκδοτον

---

289 χαρᾶ Pa 292 post Θεὸς orat. detruncat cd. heirm. η' EE 96, n. 135, Joannis 306-317 trop. om. Vk 310 post πάντα orat. varie intermittunt cdd. post v. 311 Ra praebet trop., quod inc. Ὡς πορφύραν καὶ βύσσον = Cc 149-154

---

306 Joh. 16,2

ἑαυτὴν ἀπετέλει
ἀναβοῶσα·
« εὐλογεῖτε τὰ ἔργα τὸν Κύριον ».

* Καὶ βασάνων αἰκίαις ὡμίλησας
καὶ φοινίκων δεθεῖσα τοῖς ὅρπηξι
πρὸς οὐρανὸν ἐπέτασας,
τὸ σαρκίον λιποῦσα
τοῖς εὐφημοῦσιν
ἀναφαίρετον ὄλβον τὴν μνήμην σου.

* Νικητὴς ἀνεδείχθης, Βικέντιε,
ὥσπερ ζῶν καὶ θανὼν τῶν τυράννων ἐχθρῶν·
οὐ γὰρ ὀρνέοις βέβρωσαι,
οὐ θηρσὶν αἱμοβόροις,
μάρτυς Κυρίου,
περαιοῖς δὲ καὶ κύτος θαλάσσιον.

Ὁ γινώσκων τὰ πάντα πρὸ κτίσεως
τὸ τῆς σῆς διανοίας ἐλεύθερον
ἐπισκοπήσας, τίθησι
τοῦ ποιμνίου κατάρχειν
τῶν μοναζόντων
« εὐλογεῖτε — βοώντων — τὸν Κύριον ».

Ταῖς εἰκόσι τὸ σέβας ἀπένειμας
εὐσεβὴς ὡς ἐν πᾶσι δεικνύμενος,
τὴν θεομάχον φάλαγγα
τῇ σφενδόνῃ τῶν λόγων
ἀποδιώκων
καὶ τροπούμενος, μάκαρ Θεόδωρε.

θεοτ. 348-353 * Παρθενεύει γαστὴρ καὶ τεκοῦσα υἱὸν
.... = Cc 155-160

---

322 post ἀναβοῶσα cd. Vk praebet πάντα orat. intermittens 323 τὰ ἔργα om. NS 324-335 trop. om. Vk 325 ὅρπηξι] ὅπιξι Ra 331 ἐχθρὸν Ra v. 334 om. NS 348-353 aliud θεοτ. praebet Vk, quod inc. Τὴν ἁγνὴν καὶ παρθένον MR I, 147 348 Παρθενεύεις γαστρὶ Sa NS

f. 112v ‖ ᾠδὴ θ'. *Λίθος ἀχειρότμητος ὄρους*

354-359 Ἠγάπησας μᾶλλον οὐχ ἧττον
.... = Cc 161-166

360-365 Λυχνία φωτὶ τρισηλίῳ
.... = Cc 167-172

366-371 Προσδέχου τὸν αἶνον ὡς χρέος
.... = Cc 173-178

* Ὤφθη σου τὸ τέλος εὐκλείαις
ταῖς θεϊκαῖς δεδοξασμένον,
Βίκτωρ ἀθλοφόρε παμμάκαρ·
κρουσθεὶς γὰρ ξίφει γάλα ἀπέσταξας
καὶ τοὺς πιστῶς τιμῶντάς σε
πνευματικῶς, μάρτυς, διέθρεψας.

* Ἡμεροφαεῖς ὡς ἀστέρες
ἀναδειχθέντες, ἀθλοφόροι,
πᾶσαν καταυγάζετε κτίσιν
δαιμόνων σκότος ἀποδιώκοντες·
διὸ φωταγωγήσατε
τοὺς εὐσεβῶς ὑμᾶς γεραίροντας.

* Πολλοὺς διανύσας ἀγῶνας
ἐπὶ τῆς γῆς καρτερωτάτους,
ἐν τοῖς οὐρανοῖς τοὺς στεφάνους
ἐδρέψω, μάρτυς Χριστοῦ Βικέντιε,
καὶ τῶν θαυμάτων εἴληφας
καὶ ἰαμάτων τὴν ἐνέργειαν.

Ὡς ἅλατι χάριτι θείᾳ
ἐξηρτυμένος σου ὁ λόγος

---

heirm. θ' EE 94, n. 133, Joannis 360-377 trop. om. Vk 378-383 hoc trop. invenies atque in ode θ' canonis XXIV, vv. 192-197 384 διανοίσας Vk

---

390-391 Col. 4,6

πράξει κεχρημένος σφραγῖδι
καὶ ὀρθοδόξοις δόγμασιν, ὅσιε,
σὲ θαυμαστὸν ἐδείκνυε
τοῖς προσιοῦσι μετὰ πίστεως.

Σὺ τῶν γενικῶν ἀρετῶν σου
τὴν τετρακτὺν ἐπισυζεύξας
ἐν αὐτῇ ἐπέβης, θεόφρον,
καὶ πρὸς τὸ ὕψος τῆς ὄντως γνώσεως
f. 113 ἀνῆλθες ‖ τὰ σὰ δόγματα
ὡς μηλωτὴν καταλιπὼν ἡμῖν.

θεοτ. 402-407 Ἀξίως σε πάντες μητέρα
.... = Cc 179-184

---

401 IV Regn. 2,13

IN SANCTUM MARTINUM

Synaxarium, 217-218: Καὶ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Μαρτίνου ἐπισκόπου Φραγγίας τοῦ θαυματουργοῦ. Ὃς ἦν ἐπὶ Τραϊανοῦ τοῦ βασιλέως ἐν Ῥώμῃ, κόμης τὴν ἀξίαν· στρατηλάτης δὲ παρὰ τοῦ βασιλέως καταστάς, πρὸς τὸν κατὰ τῶν βαρβάρων ἐκπέμπεται πόλεμον καὶ τὴν πληθὺν τῶν ἐναντίων ἰδών, ἔδεισεν ὥσπερ εἰκός. Κατ' ὄναρ δὲ ἐκ θείας ἐπιφανείας θάρσος λαβὼν καὶ τῆς κατὰ τῶν ἐχθρῶν νίκης ἐπαγγελίαν, συμμίξας αὐτοῖς καὶ συμβαλὼν πάντας ἐτροπώσατο· καὶ μεγάλης παρὰ τοῦ βασιλέως διὰ τοῦτο τυχὼν δεξιώσεως, αὐτὸς μᾶλλον τῷ τῶν οὐρανῶν βασιλεῖ εὐχαριστῶν διετέλει, ὡς τὴν ἀνέλπιστον νίκην παρασχομένῳ αὐτῷ δι' εὐποιίαν μικράν. Πρὸ γὰρ τῆς συμβολῆς τοῦ πολέμου προσελθόντα αὐτῷ τινα προσαίτην καὶ τὴν ἀπορίαν ἀποκλαιόμενον συμπαθήσας, μέρος τῆς χλανίδος αὐτοῦ ἀπορρήξας ἐπέδωκεν· ὅθεν ἔδοξε τὸν Κύριον ἐν τοῖς ὕπνοις αὐτοῦ παραστάντα ἰδεῖν λέγοντα πρὸς αὐτόν· « Ἐπεὶ πεινῶντά με ἔθρεψας καὶ γυμνητεύοντα ἐνέδυσας, ἔσομαι μετὰ σοῦ καὶ ἐνισχύσω σε καὶ τὴν κατ' ἐχθρῶν παρέξω σοι νίκην ». Ἀνθ' ὧν εὐχαριστῶν τῷ Θεῷ, ἐπὶ τὸν μονήρη βίον μετέθηκεν ἑαυτὸν καὶ ἐπὶ χρόνοις ἑπτὰ τῇ ἀσκήσει ἐγγυμνασάμενος καὶ ταῖς θείαις ἐμμελετήσας γραφαῖς, ἐπίσκοπος χειροτονεῖται Κωνσταντίνης τῆς πόλεως τῆς κατὰ τὴν Γαλλίαν διακειμένης. Οὗτος τῇ τοῦ Χριστοῦ χάριτι μεγάλα κατεργασάμενος θαύματα, ... ἐν εἰρήνῃ τὸν βίον μετήμειψε.

Crypt. Δ.α. XIII = Cc, ff. 176v-181v

Ὁ κανών.

Ἦχος β'.

ᾠδὴ α'. *Ἄτριπτον ἀσυνήθη*

Τράπεζαν εὐφροσύνης
τοῦ θείου ἱεράρχου, πιστοί, τὴν μνήμην
ὁ θαυμαστὸς προτίθησι Θεὸς
ἀρετῶν ἀνάπλεων,
ἐν ᾗ κατατρυφήσωμεν.

---

tit. Ὁ κανὼν τοῦ ἁγίου Μαρτίνου
heirm. α' EE 35, n. 47, Joannis

πτωχεύεις γὰρ πλουσίως
μιμούμενός σου τὸν δεσπότην,
αὐτοῦ τὴν πτωχείαν, ἵνα πλούσιος
ἀναφανῇς ἀσύλων θησαυρῶν οὐρανοῦ.

Ἀνῆλθες
ἀρετῶν τῇ κλίμακι
καὶ ὑψώθης ἐν θεωρίᾳ·
ὡς Ἀβραὰμ ὤφθης γὰρ
φιλόπτωχος καὶ ταπεινόφρων·
διὸ καὶ τῷ σπέρματι τῶν λόγων σου
τὴν ἐκκλησίαν, πάτερ, κατελάμπρυνας.

Ὑψώθης
ταπεινώσει πλέον γε,
θεοφόρε Μαρτῖνε πάτερ,
καὶ ταπεινὸς γέγονας
ὑψώσεως μεμισημένης
ὀφθεὶς μὴ προσκείμενος τοῖς ἅλμασιν·
ἐπισκοπῆς Θεοῦ σου ὅθεν ἔτυχες.

θεοτ. Δοξάζω,
θεομῆτορ ἄχραντε,
τῆς κυήσεώς σου τὸ ξένον·
καὶ γὰρ πτωχὸν ὄντα με
καὶ ἄπορον τῆς θείας δόξης
πολλῆς κατηξίωσε λαμπρότητος
τῆς ζοφερᾶς ἀπάτης λυτρωσάμενος.

f. 179 ᾠδὴ ε′. *Μεσίτης Θεοῦ*

Ἐν λόγῳ Θεοῦ
τὴν τροφήν σου ἐσχηκώς, Μαρτῖνε σοφέ,
τοῦ ξύλου ἀπήλαυσας

49 σου scripsi: σε cd. 51 ἀναφανεὶς cd.
heirm. ε′ EE 39, n. 53, Cosmae

73-74 Matth. 4,4; Luc. 4,4

τῆς ζωῆς ἐν εὐκαιρίᾳ τυχών,
οὗ ἀκαίρως ὁ πρῶτος
ἄνθρωπος ἐπεθύμησεν.

Ἐν πλούτῳ διπλῷ
κατεπλούτισας, σοφέ, τὴν ἐκκλησίαν·
πτωχῶν γὰρ ἐνέπλησας
τῇ πνευματικῇ τροφῇ τῶν λόγων σου
τὰς ψυχὰς καὶ ἐν ἄρτῳ
ἐστήριξας τὰ σώματα.

Θαυμάτων πληθὺν
ὥσπερ ῥεῖθρα τοῖς ἐν γῇ βοῶν, παμμάκαρ,
ἐκ τῆς ἀληθοῦς πηγῆς
f. 179v καὶ ζωο‖παρόχου, ὅς ἐστιν ὁ Χριστός,
ἐμπιπλήσκεις, Μαρτῖνε,
τοὺς πίστει προσιόντας σοι.

θεοτ. Οὐκ ἔστιν ἡμῖν
προστασία τῶν ἐν γῇ πλήν σου, παρθένε·
μετὰ γὰρ Θεὸν εἰς σὲ
οἱ τεταπεινωμένοι τοῖς πταίσμασι
προσεδρεύοντες πίστει
κινδύνων ἐξαιρούμεθα.

⟨ᾠδὴ ϛ′. ....

....
....
....
....

86 βοῶν: fort. scribendum βρύων 89 ἐμπιπλήσκεις in lexicis non invenitur; fort. scribendum ἐμπιπίσκεις
post v. 96 folium cecidit; itaque ode ϛ′ integra et duo priora troparia odes ζ′ desunt

Δεῦτε συνεπαρθῶμεν
καὶ στῶμεν ἐν τοῖς ἄνω καὶ ὑψωθῶμεν
καὶ τοῖς γηΐνοις χαίρειν εἰπόντες
τοῦ σοφοῦ τὴν μνήμην, πιστοί,
σοφῶς πανηγυρίσωμεν.

Ἔλαμψεν ὥσπερ ἔαρ
ὁ βίος σου, Μαρτῖνε, Θεοῦ θεράπον,
τοῖς ἐν χειμῶνι οὖσι τῶν κακῶν
καὶ ψυχὰς ἐφώτισεν
ἀκτῖσι λόγων σου.

θεοτ. Πέφηνας τῶν κτισμάτων
ἁπάντων ὑπερτέρα, θεογεννῆτορ·
τὸν γὰρ αὐτῶν γενέτην ἐν σαρκὶ
εἰς βροτῶν ἀνάπλασιν
ἐκυοφόρησας.

f. 177ᵛ ᾠδὴ γʹ. *Στερέωσον ἡμᾶς*

Ἀξίαν κοσμικὴν
ἀπαρνησάμενος,
τῆς θείας
τετύχηκας, θεοφόρε,
δι' ἀσκήσεως καὶ βίου σεμνοῦ
προκριθεὶς ἱερῶς τῆς βασιλείας Χριστοῦ.

Οὐκ ἔκρινας στολῆς,
σοφέ, λαμπρότητα
τῆς θείας
ἐρώμενος τοῦ δεσπότου
καὶ πεινῶντά σου τὸν σύνδουλον
καὶ γυμνὸν ὡς ἐκεῖνος οὐ παρέδραμες.

---

heirm. γʹ EE 39, n. 53, Cosmae

31-32 Matth. 25, 35-36

Νηστείας σὺ κανὼν
καὶ δεήσεως,
Μαρτῖνε
θεόκριτε, ἀνεδείχθης
τῶν μελλόντων παρατάσσεσθαι
τοῖς ἐχθροῖς καὶ τοῖς ὅπλοις μὴ ἐπαίρεσθαι.

θεοτ. Βοήθησον ἡμῖν
ἐν σοί, δέσποινα,
ἀξίως
προστρέχουσιν ὡς λιμένι
καὶ κυβέρνησον ἡμῶν τὴν ζωὴν
τῶν παθῶν τὸν χειμῶνα ἀπελαύνουσα.

f. 178 Κάθισμα.

Ἦχος δʹ. Πρός· *Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ*

Ὁμολογίαις ἱεραῖς διαπρέψας
μαρτυρικῶ⟨ς⟩ τε τὴν ζωὴν διανύσας,
πρὸς οὐρανοὺς ἀνέδραμες, Μαρτῖνε σοφέ,
στέφος ἀμαράντινον
ἐκ Θεοῦ δεδεγμένος·
ὅθεν τὴν ἁγίαν σου
ἑορτάζομεν μνήμην
ἀναβοῶντες· « μνήσθητι ἡμῶν,
ἱερομάκαρ,
Χριστῷ παριστάμενος ».

f. 178ᵛ ᾠδὴ δʹ. *Ὑμνῶ σε·
ἀκοὴν γάρ, Κύριε,*

Ἐφάνης
ἀληθῶς τῷ ἤθει σου
μετριώτατος, θεοφόρε·

---

heirm. καθ. HR, 29 2 μαρτυρικῶ cd.
heirm. δʹ EE 38, n. 51, Cosmae

ᾠδὴ ζ'. *Ἀντίθεον πρόσταγμα*

— —́ — — —́ — —
— — — —́ —
— —́ — — —́ — —
— —́ — — — —́ — — (—)
— —́ — — —́ — —
— — — —́ — — —́
—́ — — — —́ — — — —́
— — — —́ — — — — — —́ — —

— —́ — — —́ — —
— — — —́ —
— —́ — — —́ — —
— —́ — — — —́ — —(—)
— —́ — — —́ — —
— — — —́ — — —́
—́ — — — —́ — — — —́⟩
f. 180 ‖ τῆς τοῦ Κυρίου δόξης ἀνάπλεων.

Φωστῆρά σε ἔγραψεν
ὁ θεῖος Παῦλος
σαφῶς ἐν τοῖς ἔθνεσι
τὰς θείας ἐπιστέλλων γραφάς,
ὁμοίως καὶ ἅπαντα
προεστηκότα λαοῦ
καὶ φῶς ἀπαυγάζοντα Θεοῦ
διδασκαλίας τοῖς ἐντυγχάνουσιν.

θεοτ. Ἐλπίδα σε ἅπαντες
καὶ προστασίαν
κεκτήμεθα, ἄχραντε·
τὸν φύσει γὰρ ἀόρατον
εἰς πάντων ἀνάπλασιν
ἐκυοφόρησας
σώματος καὶ αἵματος ἡμῖν
παραπλησίως ὡς κοινωνήσαντα.

heirm. ζ' EE 34, n. 46, Joannis
113 Phil. 2,15   118-120 Rom. 12,7-8

f. 180ᵛ ᾠδὴ η'. *Ἰνδάλματος χρυσοῦ*

Ἡνώθης τῷ Θεῷ
τὴν πραότητα εἰς τέλεον ἐξασκήσας
καὶ τὴν εὐσέβειαν,
Μαρτῖνε, Χριστοῦ θεράπον,
ἐνδεδυμένος
σπλάγχνα οἰκτιρμῶν καὶ μέλπεις ἀεί·
« ἡ οὐσιωθ⟨εῖσα
ὑμνείτω τὸν Κύριον πᾶσα κτίσις
καὶ ὑπερυψούτω
εἰς πάντας τοὺς αἰῶνας⟩ ».

Παλάτιον ψυχὴν
ἀρετῶν σου ὡς ἐκ λίθων οἰκοδομήσας,
τὸν βασιλέα σου
καὶ πάσης ζωῆς, Μαρτῖνε,
φιλοχωροῦντα
ταύτην ἐσχηκὼς ἐκραύγαζες·
« ἡ οὐσιωθ⟨εῖσα
ὑμνείτω τὸν Κύριον πᾶσα κτίσις
καὶ ὑπερυψούτω
εἰς πάντας τοὺς αἰῶνας⟩ ».

Ὡς πάλαι τοὺς ἐχθροὺς
ἐτροπώσω, παναοίδιμε, ταῖς εὐχαῖς σου
καὶ νῦν, δεόμεθα,
τὰ θράση τῶν πολεμίων
ὡς παρρησίαν
ἔχων πρὸς Θεὸν κατάβαλε
καὶ τοῖς βασιλεῦσι
τὰ τρόπαια δώρησαι ἐν πολέμοις,
ἵνα ὁμοφώνως
ἀεί σε ἀνυμνοῦμεν.

heirm. η' EE. 35, n. 47, Joannis   135, 145 post οὐσιωθ(εῖσα) cetera intermittit cd.   158 ἀνυμνοῦμεν pro ἀνυμῶμεν

θεοτ. Τὸ τεῖχος τῶν πιστῶν
καὶ τὸν ἄκλυστον λιμένα τῆς σωτηρίας,
τὴν ἀειπάρθενον
καὶ ζῶντος Θεοῦ μητέρα,
ὡς παρρησίαν
ἔχουσαν σαφῶς ὑμνήσωμεν
πίστει ἐκβοῶντες·
« τοῦ γένους ἀνόρθωσις τῶν ἀνθρώπων,
χαῖρε θεοτόκε,
ἀεὶ εὐλογημένη ».

f. 181 ᾠδὴ θ'. *Ἡ τὸν πρὸ ἡλίου*

Ἄβυσσον θαυμάτων
τὴν μνήμην τοῦ σοφοῦ Μαρτίνου Κύριος
τοῖς ἐπὶ γῆς ὑμνοῦσιν ἀνεξάντλητον
ἀντλουμένη⟨ν⟩ εἰς ἱλασμὸν
ψυχῶν τε καὶ σωμάτων ἀεὶ
f. 181ᵛ || καὶ πλειοτέρως βρύουσαν
τὰς θεραπείας ἀναδέδεικτ⟨αι⟩.

Ὁ τῶν ἐγκωμίων
ἡττᾶται ἐπὶ σοί, Μαρτῖνε, ἔπαινος,
ὡς ὑπὲρ νόμον τούτῳ βιοτεύσαντος·
ἐκ τῶν κόσμου γὰρ ἀφορμῶν
οἱ ἔπαινοι προέρχονται,
ἐσταυρωμένος κόσμῳ δὲ
σύ, θεοφόρε, ὑπερέβης αὐτόν.

Χαίροις ἐν Κυρίῳ,
Μαρτῖνε, ὡς χαρᾶς ἀγγέλοις πρόξενος·
χαίροις πιστῶν ἀεὶ τὸ ἐγκαλλώπισμα·
χαίροις θείας, εἰσηγητά,

heirm. θ' EE 40, n. 53, Cosmae 172 ἀντλουμένη cd. 178 βιοτεύσαντος pro βιοτεύσαντι

181 Gal. 6,14

ἐλλάμψεως καὶ βίου σεμνοῦ·
σὲ κατ' ἀξίαν ἅπαντες
ἐγκωμιάζειν οὐκ ἰσχύομεν.

θεοτ. Λόγος ἀπορεῖ σου
τὸ ξένον τῆς φρικτῆς ἐνσωματώσεως
ὡς ὑπὲρ νοῦν καὶ ὂν καὶ μένον, πάναγνε,
ἐκλαλῆσαι· τῆς θεϊκῆς
βουλῆς γὰρ τὰ μυστήρια
συνεπτυγμένα μένουσι
καὶ τοῖς ἀγγέλοις αὐτοῦ ἄρρητα.

192 ὂν καὶ μένων cd.

11 NOV. *CANON* XXVII

IN SANCTUM MARTINUM

Crypt. Δ.α. XIII = Cc, ff. 176v-181v

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Ὕμνοις γεραίρο (sic), Μαρτῖνε, σοῦ τοὺς ἄθλους.

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Ὑγρὰν διοδεύσας ὡς εἰς ξηρὰν*

Μάρτυσι προστρέχων μαρτυρικῷ
πόθῳ τὸν ἀγῶνα
προδιήνυσας εὐσεβῶς,
Μαρτῖνε πανεύφημε, ἀξίως
καὶ τῶν βραβείων συμμετέσχηκας.

Νόμῳ συνειδήσεως ἀγαθῆς
f. 177 διένειμας πλοῦ||τον
ἐνδεέσι θεοπρεπῶς,
Μαρτῖνε πανένδοξε, καὶ ὄλβον
ἐν οὐρανοῖς πρὸς Χριστὸν εὕρηκας.

Ὅλον σου τὸν πόθον τὸν εἰς Χριστὸν
δείκνυς ὀρφανῶν τε
καὶ χηρῶν ὡς προασπιστής,
Μαρτῖνε πανεύφημε, τῷ κτίστῃ
καὶ σωτηρίαν τοῖς ὑμνοῦσί σε.

---

tit. Ἕτερος κανὼν τοῦ ἁγίου Μαρτίνου φέρων...
heirm. α' EE 220, n. 315, Joannis   1 προστρέχω   12 δεικνὺς

f. 177v ᾠδὴ γ'. *Οὐρανίας ἁψῖδος*

Ἱερᾶς ὄντως ῥίζης
θεῖος βλαστὸς πέφηνας
πᾶσάν τε σπανίαν, Μαρτῖνε
μάρτυς, ἐδίωξας,
f. 178 ἐξ ἧς || ὁρμώμενος
μαρτυρικοῖς ἁγιάσας
αἵμασι καὶ εὐκλείαις
προσεκαλλώπισας.

Συμμετέσχες ποθήσας
μαρτυρικοῖς πάθεσι,
μάρτυς· διεγείρεις, Μαρτῖνε,
τὸν τῶν ἁγίων χορὸν
πρὸς τὸν δεσπότην σου·
τυχὼν δὲ τοῦ ποθουμένου
πρὸς Χριστὸν ἠξίωσαι
θείας ἐμφάσεως.

Γεηρᾶς προσπαθείας
σὺ ἀποστὰς ἔλιπας
δόξαν στρατιᾶς ἐπικήρου
πρὸς τὰ τοῦ κόσμου τερπνά,
Μαρτῖνε ἔνδοξε,
καὶ στεφηφόρος ἐδείχθης
ἐν ὑψίστοις μάρτυσι
συνευφραινόμενος.

f. 178v ᾠδὴ δ'. *Ἐξ ὄρους κατασκίου, Λόγε, ὁ προφήτης*

Ῥωννύμενος ταῖς φρεσὶ τὸ κατὰ φύσιν
ἰάσω τὸ ἀσθενὲς τοῦ σωματίου
διακονῶν ἐνδεέσι, μάρτυς Μαρτῖνε·
διὸ στεφάνων κατηξίωσαι.

---

heirm. γ' EE 220, n. 315, Joannis   34 στρατιὰν
heirm. δ' EE 224, n. 321, Joannis

Ἀναίρεσιν εὐκλεῶν ὁρῶν μαρτύρων
ἐζώσω κατ' ἐχθρῶν τὴν δυναστείαν
καὶ νικηφόρος, Μαρτῖνε, ὄντως ἐδείχθης
κατὰ τῆς πλάνης ὡς ἠρίστευσας.

f. 179 ‖ Ἱδρῶσι μαρτυρικοῖς φλογμὸν ἀπάτης
ἐχθρούς τε δυσσεβεῖς καταπατοῦντες
οἱ εὐκλεεῖς σου συμμάρτυρες, ὑφ' ὧν, μάκαρ,
πρὸς τὸ μαρτύριον παρώρμησαι.

θεοτ. Ῥυσθείημεν τῶν δεινῶν, ἁγνή, πταισμάτων
λιταῖς σου μητρικαῖς, θεογεννῆτορ·
σὲ γὰρ ἐλπίδα κεκτήμεθα πρὸς τὸν κτίστην
καὶ σωτηρίαν καὶ ἀντίληψιν.

f. 179v ᾠδὴ εʹ. *Ὁ ἐκ νυκτὸς ἀγνοίας*

Μαρτυρικῆς χορείας
λιτανευσάσης τὸν κτίστην, Μαρτῖνε, Χριστόν,
πρῶτόν σε νικηφόρον
πρὸς αὐτὸν τοῖς ἄθλοις παρέπεμπεν.

Ἀγγελικῆς ὀπτασίας
ἠξιωμένος τῆς νίκης τὰ σύμβολα
μηνυούσης θαρρύνει,
Μαρτῖνε σοφέ, πρὸς τὸ στάδιον.

θεοτ. Ῥῦσαι χρονίων παθῶν με,
θεογεννῆτορ, ἰλύος καθαίρουσα
ἡδονῆς τε ἐμμύσου·
σὺ γὰρ εἶ ἁγνείας κειμήλιον.

---

49 καταπατοῦντες: secundum cd. periodus sententia prima caret   heirm. εʹ EE 226, n. 323, Joannis   56-59 subjectum deest; fort. scribendum in v. 57 Χριστὸς   59 πρὸς] πρὸ cd.   post v. 67 ode ϛʹ deest; folium enim unum e codice cecidit

⟨ ᾠδὴ ϛʹ. ....

Τ......................
....

Ι......................
....

Ν ....
....

θεοτ. Ε ....
..............................⟩.

f. 180 ᾠδὴ ζʹ. *Ὁ τοὺς παῖδας δροσίσας ἐν καμίνῳ*

Σὺ καθεῖλες τυράννων τὴν μανίαν
τοῦ Χριστοῦ τῇ δυνάμει,
ᾗ καυχώμενος βοᾷς, Μαρτῖνε·
« εὐλογητὸς εἶ, Κύριε,
ὁ Θεὸς τῶν πατέρων ἡμῶν ».

Ὄγκον πλούτου καὶ δόξης καὶ στρατείας
ὑπερεῖδες, Μαρτῖνε,
τὰ οὐράνια ὡς ποθήσας·
« εὐλογητὸς εἶ — ἔψαλλες —
ὁ Θεὸς τῶν πατέρων ἡμῶν ».

Ὑπεστρώθης κραββάτῳ σιδηραίῳ,
ἀλλὰ θείᾳ δυνάμει
οὐκ ἐφλέχθης, Μαρτῖνε, μέλπων·
« εὐλογητὸς εἶ, Κύριε,
ὁ Θεὸς τῶν πατέρων ἡμῶν ».

---

heirm. ζʹ EE 226, n. 324, Germani   71, 76, 81, 86 post εἶ orat. varie intermittit cd.

Τῇ Τριάδι ἀπαύστως ἐν ὑψίστοις
σωτηρίαν ⟨— ⏑́ —⟩
παριστάμενος, ᾗ βοῶμεν·
« εὐλογητὸς εἶ, Κύριε,
ὁ Θεὸς τῶν πατέρων ἡμῶν ».

θεοτ. * Χαῖρε κούφη νεφέλη, χαῖρε πύλη,
δι' ἧς μόνος διῆλθεν
ὁ Θεὸς ἡμῶν, θεοτόκε,
ἀφράστῳ τόκῳ ἄσπορος
ἐκ σοῦ υἱὸς γεννηθεὶς οὐ τραπείς.

f. 180v ᾠδὴ η'. *Οἱ θεορρήμονες παῖδες ἐν τῇ καμίνῳ*

Ὑπερπηδήσας ἀνδρείως τοὺς ἀγῶνας
σὺν τῷ πυρὶ καὶ τὴν πλάνην
πατῶν, Μαρτῖνε, ἐκραύγαζες·
« εὐλογεῖτε τὰ ἔργα
Κυρίου τὸν Κύριον ».

Στεφανηφόρος χορεύων ἐν ὑψίστοις
καὶ ἀπολαύων Τριάδος
θείας, Μαρτῖνε, ἐξαίτησαι
σωτηρίαν τοῦ πίστει
ἀεὶ λειτουργοῦντός σοι.

Ἀνενδεῆ ταῖς εὐχαῖς σου προσφυλάττοις
τὸν προεστῶτα τοῦ οἴκου
τοῦ σοῦ, Μαρτῖνε θεόπνευστε,
τῷ Θεῷ ἐν ὑψίστοις
ἀεὶ παριστάμενος.

θεοτ. Παρθενομῆτορ Μαρία, σαῖς πρεσβείαις
f. 181 σῶζε κινδύ||νων καὶ πόνων

---

84 versus tribus syllabis caret, quamobrem spatium scriba in cd. reliquit; fort. supplendum πρεσβεύοις 88-92 θεοτ. MR III, 397; cfr. etiam AHG V, 427 91 ἀφράστῳ] ἀφθόρῳ MR

heirm. η' EE 227, n. 327, Joannis 96 post ἔργα orat. detruncat cd. 101 τοῦ scripsi: τοὺς cd. 105 Μαρτίνου

τοὺς ἐπὶ σοὶ καταφεύγοντας·
σὺ γὰρ σκέπη καὶ τεῖχος
ὑπάρχεις τῶν δούλων σου.

f. 181v ᾠδὴ θ'. *Θεοτόκον κυρίως*

Λαμπρὰ καὶ φωσφόρος
ἡ μνήμη, Μαρτῖνε,
καὶ τοῖς μετέχουσι πρόξενος θείας ζωῆς,
μεθ' ὧν ἡμᾶς σε ὑμνοῦντας,
μάκαρ, διάσωσον.

Οὐ λόγῳ τὴν τελείαν
πρὸς Θεὸν ἀγάπην,
ἀλλὰ καὶ ἔργῳ, Μαρτῖνε, ἀπέδειξας·
τὸ ἐναυχένιον αἷμα
τίθου νῦν λύτρον ἡμῖν.

Σὺν δήμῳ ἀθλοφόρων
συνηγωνισμένος,
παρεστηκὼς τῇ ἀΰλῳ Τριάδι ἀεί,
τὴν σωτηρίαν προξένει
τῷ λειτουργοῦντί σοι.

θεοτ. * Ὡραῖος, θεοτόκε,
ἔφυ ὁ καρπός σου,
οὐχὶ φθορὰν τοῖς μετέχουσι προξενῶν,
ἀλλὰ ζωὴν τοῖς ἐν πίστει
σὲ μεγαλύνουσιν.

---

heirm. θ' EE 224, n. 321, Joannis

heirm. 1 Θεοτόκον κυρίως] Κυρίως θεοτόκον EE 128-132 θεοτ. PaR, 632; cfr. etiam AHG I, 386 130 φθορᾶς PaR AHG προξενῶν scripsi: πρόξενον cd. πρόξενος PaR AHG 131 ζωῆς PaR AHG

11 NOV. *CANON* XXVIII

IN SANCTUM PAULUM CORINTHIUM (PROPTER CHRISTUM) SALUM SEU STULTUM

Synaxarium, 200: Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Π α ύ λ ο υ τοῦ Κορινθίου τοῦ διὰ Χριστὸν σαλοῦ καὶ σημειοφόρου γεγονότος.

Crypt. Δ.α. XIII = Cc, ff. 177-182

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Παῦλον γεραίρω τὴν θεόφρονα γνώμην.

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Ἁρματηλάτην Φαραὼ ἐβύθισε*

Πρὸς τὸν βυθὸν τῶν θαυμαστῶν σου πράξεων
καὶ ὑψηλῶν ἀρετῶν
μὴ κεκτημένος, πάτερ,
γλῶσσάν τε καὶ ἔννοιαν,
τῷ κυβερνήτῃ πρόσειμι
τῷ διδοῦντι σοφίαν,
Χριστῷ τῷ σὲ μεταστήσαντι,
Παῦλε, πρὸς ζωὴν ἀτελεύτητον.

Ἀναλαβὼν ἐπὶ τῶν ὤμων, ὅσιε,
τὸν τοῦ Κυρίου σταυρόν,
ἐξ ἁπαλῶν ὀνύχων
τοῦτον ἐπεπόθησας

---

tit. Ἕτερος κανὼν τοῦ ἁγίου Παύλου φέρων...
heirm. α' EE 219, n. 314, Joannis

---

6 Prov. 2,6; Luc. 21,15 9-10 Matth. 10,38

νηστείαις καὶ δεήσεσιν,
ἐγκρατείᾳ καὶ πόνοις
τὸν βίον, πάτερ, κοσμούμενος
καὶ ταῖς ἀρεταῖς λαμπρυνόμενος.

Ὑπομονῇ καρτερικῶς διέπρεψας
ἀκτημοσύνῃ πολλῇ,
ἐν τῷ χειμῶνι κρύει,
ἐν τῷ θέρει καύσωνι
διπλόθεν δαπανώμενος
καὶ νεκρώσει τελείᾳ
τὴν σάρκα, πάτερ, κατέτηξας,
Παῦλε, ἐραστὰ τοῦ δεσπότου Χριστοῦ.

θεοτ. Ἡ τὸν δεσπότην τοῦ παντὸς ἐν κόλποις σου
Θεὸν βαστάσασα
καὶ ἐκ μαζῶν σου γάλα
τοῦτον διαθρέψασα
τὸν τρέφοντα τὰ σύμπαντα,
θεοτόκε, μὴ παύσῃ
αὐτῷ πρεσβεύειν ἑκάστοτε
πάσης ἀπειλῆς λυτρωθῆναι ἡμᾶς.

ᾠδὴ β'. *Ἴδετε, ἴδετε ὅτι ἐγώ εἰμι Θεὸς ὁ διασχίσας τὴν Ἐρυθρὰν*

Λόγοις ἀσχήμοσι, πάτερ, τοὺς ἄφρονας
καὶ ἀνοήτους ἐπιγελῶν,
τούτοις μωρία διὰ Χριστὸν
καὶ παίγνιον γέγονας, σοφέ·
ἀλλὰ ἡ χάρις ἐν σοὶ
ὄμμα καὶ νοῦν καὶ ψυχὴν
διαφυλάττουσα
f. 177v ἄτρωτον τὴν || φρένα σου
διετήρει παντὸς μολυσμοῦ.

---

heirm. β' EE 228, n. 327, Andreae

---

35 I Cor. 4,10

Ὄντως φερώνυμον κλῆσιν δεξάμενος,
ὡς ἀληθῶς σκεῦος ἐκλογῆς
Παύλου τοῖς λόγοις ἀκολουθῶν,
ἀνθρώποις ἀρέσκων μηδαμῶς
δοῦλος ὑπῆρχες Χριστοῦ
μέθην καὶ ἔκστασιν
νοὸς τοῖς βλέπουσιν,
ἄνω δὲ τὴν ἔννοιαν
πρὸς Θεὸν διεβίβαζες.

Νέμων τοῖς χρήζουσι τὰ πρὸς ἀπόλαυσιν
πτωχοτροφίας τε χορηγὸς
ὤφθης σκορπίζων δαβιτικῶς
τὸν πλοῦτόν σου, Παῦλε, διαδούς,
ὅνπερ ἐλάμβανες
παρὰ ἀνδρῶν εὐσεβῶν
καὶ φιλοχρίστων, σοφέ·
σὺ γὰρ τὸν ἀκτήμονα βίον
θερμῶς ἠγάπησας.

θεοτ. Χεῖρα βοηθείας πᾶσιν ἐφάπλωσον
τοῖς ἐν ἀνάγκῃ καὶ ἐν κλαυθμῷ,
μήτηρ Κυρίου, ὅτι ἐν σοὶ
πᾶσα ἡ ἐλπὶς ἡμῶν ἐστίν·
ἰδοὺ γὰρ σπεύδουσιν
ὡς ἀνελπίστους ἡμᾶς
καταβαλεῖν οἱ ἐχθροί·
τούτους ὑποσκέλισον,
ἡμᾶς δὲ περιφύλαττε.

f. 178 ᾠδὴ γ'. *Σὺ εἶ τὸ στερέωμα*

Γνώσεως οὐκ ἄμοιρος
καὶ ψαλμικῶν ᾠδῶν ἔμπλεως,
διδακτικῶς

heirm. γ' EE 224, n. 321, Joannis

43 Act. 9,15 53-54 Ps. 111,9 67 Ps. 16,13

ὤφθης, χρυσορρῆμον,
μελῳδῶν τὰ θεάρεστα.

Ἔξωθεν τῷ σχήματι
διὰ Χριστὸν μωρὸς δείκνυσαι,
ἀλλὰ τῷ νῷ
φρόνιμος θεράπων
τοῦ Θεοῦ, Παῦλε, γέγονας.

Ῥήμασιν ἀσχήμοσι
τοῖς ἐντυγχάνουσι παίγνιον
καὶ χλευασμὸς
ὤφθης ἐν τῷ κόσμῳ
μελετῶν τὰ οὐράνια.

θεοτ. Τεῖχος καὶ λιμένα σε
καὶ φυλακτήριον ἔχομεν
οἱ γηγενεῖς,
ἄχραντε Μαρία,
παρὰ σοῦ βοηθούμενοι.

Κάθισμα.

Ἦχος πλ. δ'. *Τὴν σοφίαν τοῦ Λόγου*

Τὸν ἐκ βρέφους λιπόντα
κόσμον φθαρτὸν
καὶ Χριστῷ κολληθέντα
πίστει θερμῇ
Παῦλον εὐφημήσωμεν,
f. 178v || τὸν φερώνυμον κήρυκα,
τὸν ἀσκήσει πρότερον
τὰ πάθη νικήσαντα
καὶ τοῖς ἐν κόσμῳ δεύτερον

75 δείκνυσε 80 τοῖς] τούς cd.
heirm. καθ. MR I, 68

75 I Cor. 4,10

μωρίας παιζόμενον·
ὅθεν καὶ τὸν δρόμον
εὐσεβῶς τελειώσας
τὸ στέφος ἀπείληφε
τοῦ μισθοῦ ἐπουράνιον,
πρὸς αὐτὸν οὖν βοήσωμεν·
« πρέ⟨σβευε Χριστῷ τῷ Θεῷ
τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι
τοῖς ἑορτάζουσι πόθῳ
τὴν ἁγίαν μνήμην σου⟩ ».

f. 179 ᾠδὴ δ'. *Εἰσακήκοα, Κύριε,*
τῆς οἰκονομίας σου τὸ μυστήριον

Ἀποπτύσας τὴν πρόσκαιρον
καὶ ἀπολλυμένην δόξαν, μακάριε,
τὴν οὐράνιον ἐπόθησας
κληρουχίαν, Παῦλε ἀξιάγαστε.

Ἰαμάτων χαρίσματα
τοῖς πεπιστευκόσι, Παῦλε, διένειμας
ζῶν καὶ πάλιν μετὰ θάνατον
δι' ὀνείρων πλείστοις ὀπτανόμενος.

Ῥαθυμῶν μὲν οὐδέποτε
ἐν τῇ τῶν ποδῶν σου, πάτερ, γυμνότητι
καὶ λακίσμασι κοσμούμενος
ὡς ὁ Παῦλος χαίρεις ἐν τοῖς στίγμασιν.

Ὡ⟨— —́ — — —́ — —
— — — — —́ — —́ — — —́ — —
— — —́ — — — —́ — —
— — —́ — —́ — — — —́ — —⟩.

---

13 ἀπείληφε scripsi: ἀπείληφας cd. 16 post πρέ(σβευε) cetera detruncat cd. heirm. δ' EE 225, n. 322, Cosmae 101-104 tantum litteram primam scriba scripsit et spatium vacuum reliquit

---

Κάθ. 11-14 II Tim. 4,7-8 100 Gal. 6,17; Col. 1,24

θεοτ. Μητρικῇ παρρησίᾳ σου
πρέσβευε Χριστῷ, παρθένε θεόνυμφε,
δοῦναι ἄφεσιν πταισμάτων ἡμῖν
καὶ τῶν συνεχόντων περιστάσεων.

f. 179v ᾠδὴ ε'. *Ἵνα τί με ἀπώσω*

Τὴν πικρὰν ἀλγηδόνα,
πάτερ, κατεμάλαξας ὑπομονῆς γλυκασμῷ
καὶ πηγαῖς δακρύων
ἐν νυξὶν ἀοράτως κατήρδευσας
τὸν λειμῶνα, Παῦλε,
σῶν φυτειῶν νοὸς τὴν φρένα
ἡμερόφυτον ἄνθος βλαστάνοντα.

Ἡ τοῦ αἵματος ῥύσις
τῶν πολυωδύνων σου ἑλκῶν, μακάριε,
τὴν τοῦ ψεύδους φλόγα
τῶν δεινῶν συκοφαντῶν ἀπέσβεσε
ληρωδούντων, πάτερ,
τὰ κατὰ σοῦ δαιμονιῶντα
καὶ σαλόν σε καλούντων ἀθέμιτον.

Νεκρωθεὶς σου τὰ μέλη
πάσας συνενέκρωσας τῶν παθῶν τὰς ὁρμὰς
καὶ τῇ ἀπαθείᾳ
πολιτεύει βιῶν χριστομίμητα,
θεοφόρε Παῦλε,
τῆς ἐκλογῆς σκεῦος ὑπάρχων,
πρὸς Θεὸν δὲ μετέστης ὡς ἄξιος.

θεοτ. Ἡ Θεὸν ἐν ἀγκάλαις
τὸν ἀκατανόητον μόνη βαστάσασα
καὶ μαζῶν ὡς βρέφος

---

108 συνεχόντων pro συνεχουσῶν non rara apud Byzantinos constructio heirm. ε' EE 219, n. 314, Joannis 117 ἕλκων 119 συκοφάντων ἀπέσβεσας 121 δαιμονιοῦντα

123-124 Col. 3,5 128 Act. 9,15

ἐπιδοῦσα τῷ πάντας ἐκτρέφοντι
αὐτῷ νῦν πρέσβευε
τῶν θλιβερῶν ⟨— — — —́ —
— — —́ — — —́ — — —́ — —.

ᾠδὴ ϛʹ. ....

Θ ....
....

Ε ....
....

Ο ....
....

θεοτ. ? ....
..............................⟩.

f. 180 ᾠδὴ ζʹ. *Οἱ ἐκ τῆς Ἰουδαίας*

Φωτισμῷ διανοίας
τοῦ ἡλίου τῷ φέγγει,
πάτερ, ἠτένιζες
διώκων τὴν σκοτώδη
ἀχλὺν τῶν παθημάτων
καὶ κροτῶν ἀνεκραύγαζες·
« ὁ τῶν πατέρων ἡμῶν
Θεὸς εὐλογητὸς εἶ ».

Ῥυπτικῶς καταπλύνων
τὰς τιμίας σου χεῖρας
ἐπὶ ὑδάτων πολλῶν
νοητῶς ἐκδιδάσκεις
καθαίρειν τὰς καρδίας

133 τῷ] τὸ cd. v. 135 excisio folii versus et odem ϛʹ nobis adimit heirm. ζʹ EE 224, n. 321, Joannis 143, 167 post πατέρων orat. detruncat cd.

τοὺς ὁρῶντάς σε, πάνσοφε,
ἐκ λογισμῶν πονηρῶν
καὶ πάσης πανουργίας.

Ὁμιλῶν ἀσχημόνως
καὶ ᾀσμάτων ἀσέμνων
χείλη πληρῶν τερπικῶς
ἐξέπληξας τὸν ὄφιν
καὶ πάσας τὰς δυνάμεις
τοῦ ἐχθροῦ διεσκόρπισας
χεῖρας κροτῶν καὶ βοῶν·
« Χριστέ, εὐλογητὸς εἶ ».

f. 180v || Νοητῶς ἐκκαθαίρων
τὰς ψυχὰς τῶν νοσούντων
διὰ τοῦ ὕδατος
ῥαντίζων ἐπεφώνεις·
« καθάρθητε καὶ δεῦτε
τῷ σωτῆρι κραυγάσατε·
ʻ ὁ τῶν πατέρων ἡμῶν
Θεὸς εὐλογητὸς εἶ, ʼ ».

θεοτ. Ἐπὶ σοί, παναγία,
τὸ ἀνθρώπινον γένος
ἔσχε τὴν λύτρωσιν
τῆς πάλαι ἁμαρτίας
καὶ νέαν ἀφθαρσίαν
διὰ σοῦ κεκαλλώπισται
ἀνακραυγάζον πιστῶς·
« Χριστέ, εὐλογητὸς εἶ ».

f. 181 ᾠδὴ ηʹ. *Ἑπταπλασίως κάμινον*

Ἀποφυγὼν τὰ πρόσκαιρα
καὶ ποθῶν τὰ αἰώνια
δόξης κοσμικῆς διὰ Χριστὸν κατέπτυσας

175 ἀνακραυγάζων
heirm. ηʹ EE 219, n. 314, Joannis

γελῶν καὶ γελώμενος,
τῶν μοναζόντων ἔρεισμα
καὶ ὑπομονῆς καρτερικώτατε στῦλε,
εἰκὼν ἀκτημοσύνης
καὶ ὑπόδειγμα πᾶσι
τοῖς πίστει προσκυνοῦσι
Χριστὸν εἰς τοὺς αἰῶνας.

Γελοιωδῶς τοῖς βλέπουσι
διὰ Χριστὸν τὸν δρόμον σου
παίγνιον μωροῖς προσελογίσθης, ὅσιε·
κλαυθμῷ καθαιρόμενος
ἐν ταῖς νυξὶ πρὸς Κύριον
ἔχων τεταμένας τῆς ψυχῆς σου τὰς χεῖρας
ἐβόας, θεοφόρε·
« διὰ σέ, λυτρωτά μου,
ἀλγῶ καὶ ὑπομένω
τὴν τῶν ἀνθρώπων χλεύην ».

Νυκτοπορῶν, θεάρεστε,
προσευχαῖς καὶ δεήσεσιν
ἡμεροφαὴς ταῖς ἀρεταῖς ἐξέλαμψας,
ἐν αἷς κατεφαίδρυνας
τὴν σὴν πατρίδα ἅπασαν
καὶ τοὺς συμπολίτας σου, πανόλβιε Παῦλε,
τοὺς πίστει ἐκβοῶντας·
« ἱερεῖς εὐλογεῖτε,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

Ὡς συγγενεῖς καὶ γνώριμοι
καὶ λαὸς τῆς πατρίδος σου,
ἄρχοντες ὁμοῦ σὺν γυναιξὶ καὶ πένησι
τὸν τάφον ὁρῶντές σου
τὰς ἀρετὰς θαυμάζουσι
καὶ τὴν ὀρφανίαν θρηνῳδοῦντες βοῶσι
πατέρα σε καλοῦντες

196 χλεύειν 204 post εὐλογεῖτε orat. detruncat cd.

καὶ ὑπέρμαχον μέγαν,
τρισόλβιε θεράπον
Χριστοῦ τοῦ βασιλέως.

θεοτ. Καταφυγὴ καὶ δύναμις,
θεοτόκε, ὑπάρχουσα
τῶν πεπιστευκότων εἰς τὴν σὴν βοήθειαν
ἐν τάχει κατάβαλε
τοῦ Ἰσμαὴλ τὸ φρύαγμα
καὶ τοὺς καθ' ἡμῶν ὑλακτικῶς μαινομένους,
ἀκοίμητε πρεσβεία
τῶν εἰς σὲ προστρεχόντων,
δι' ἧς πᾶσα ἡ κτίσις
εὑρίσκει σωτηρίαν.

f. 181v ᾠδὴ θ'. *Ἐξέστη ἐπὶ τούτῳ ὁ οὐρανός*

Μετέστης, θεοφόρε, πρὸς οὐρανόν,
ἔνθα ἔσχες καὶ ζῶν τὸ πολίτευμα,
τῷ συνωνύμῳ σου
νοητῶς ἐπακολουθῶν
καὶ ἕως τρίτου ἔφθασας
πίστει καὶ ἐλπίδι ταῖς ἀρεταῖς
ἀγάπῃ θείᾳ, Παῦλε,
Χριστῷ συμβασιλεύων
καὶ μετ' ἀγγέλων συγχορεύων φαιδρῶς.

Ἡ χάρις τοῦ Κυρίου, Παῦλε σοφέ,
f. 182 προορᾶν καὶ προλέ||γειν τὰ μέλλοντα
προφητικῷ
ὄμματι νοὸς ἔδειξεν ἡμῖν
ἀληθινὸν ἐν ἅπασι
καὶ τῶν νοσημάτων φυγαδευτήν·
διὸ τῇ σῇ πατρίδι

222 μενομένους 223 ἀκύμητε
heirm. θ' EE 220, n. 314, Joannis 229 τῶν συνωνύμων

227-228 Phil. 3,20 231 II Cor. 12,2

καὶ πόλει Κορινθίων
πρεσβευτικῶς ἀεὶ προΐστασο.

Νοῒ κεκαθαρμένος καὶ λογισμῷ
κατοπτεύεις τὰ ἄνω βασίλεια,
ἔνθα τρυφῶν
μνήσθητι πρεσβεύων ὑπὲρ ἡμῶν
τῶν ἐκτελούντων πόθῳ σου
τὴν δεδοξασμένην σου τελευτὴν
καὶ πᾶσι τοῖς γνωρίμοις
χαρίζου τὰς εὐχάς σου
ἀποδημήσας πρὸς τὸν Κύριον.

θεοτ. Ἐλπὶς καὶ σωτηρία χριστιανῶν,
τοὺς ἡμᾶς πολεμοῦντας πολέμησον
τῇ κραταιᾷ
καὶ παντοδυνάμῳ σου δεξιᾷ,
ὅτι ἐν σοὶ θαρρύνοντες,
μήτηρ τοῦ Κυρίου καὶ πλαστουργοῦ,
βουλὰς ἐπερχομένας
ἐχθρῶν ὑπεναντίων
οὐ δειλιῶμεν· σὺ γὰρ σκέπεις ἡμᾶς.

IN SANCTUM JOANNEM ELEEMOSYNARIUM EPISCOPUM ALEXANDRINUM

Synaxarium, 215-217: Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου τοῦ ἐλεήμονος, πατριάρχου Ἀλεξανδρείας..... πᾶσαν τὴν ἔφεσιν αὐτοῦ πρὸς ἐπίδοσιν ἀρετῆς καὶ Θεοῦ ἀρέσκειαν ἔτρεψε· καὶ διὰ λαμπρότητα βίου ὑπὸ Ἡρακλείου τοῦ βασιλέως, αἰτησαμένου τοῦ δήμου τῶν Ἀλεξανδρέων αὐτόν, πατριάρχης Ἀλεξανδρείας καθίσταται, κανονικῶς τὴν χειροτονίαν δεξάμενος. Διαπρέψας δὲ ἐν τῇ ἀρχιερωσύνῃ ἔτη πολλὰ καὶ μυρία ποιήσας θαύματα καὶ τοῖς δεομένοις ἀφθόνως χορηγήσας τὰ πρὸς τὴν χρείαν καὶ διὰ τὴν πολλὴν ἐλεημοσύνην τὴν τοῦ ἐλεήμονος ἐπίκλησιν λαχὼν καὶ πᾶσιν αἰδέσιμος καταστάς, ὡς ἡ περὶ αὐτὸν βίβλος κατὰ πλάτος δηλοῖ, καὶ πολλοὺς τῶν ἀπίστων ἐπὶ τὸν Κύριον ἐπιστρέψας, ἐν γήρᾳ βαθεῖ τὸν βίον ἀφεὶς πρὸς αὐτὸν ἀνέδραμε χαίρων.

Crypt. Δ.α. III	= Cd,	ff.	64^{v}-68^{v}
Vat. gr. 2	= V,	ff.	101-104
Mess. gr. 52	= M,	ff.	46^{r-v}
Mess. gr. 135	= N,	ff.	178^{v}(182^{v})-183(187)
Paris. gr. 259	= Pa,	ff.	122^{v}-125^{v}

Ὁ κανών.

Ἦχος β'.

ᾠδὴ α'. *Δεῦτε λαοὶ*
ᾄσωμεν ᾆσμα Χριστῷ τῷ Θεῷ

Ἀσματικῶς
σήμερον σέ, Ἰωάννη σοφέ,
τοῖς ἐγκωμίοις μέλπομεν
ὡς χρηματίσαντα

---

tit. Τῇ αὐτῇ ἡμέρᾳ κανὼν τοῦ ἁγίου Ἰωάννου τοῦ Ἐλεήμονος Cd Ὁ κανὼν εἰς τὸν ἅγιον Ἰωάννην τὸν Ἐλεήμονα Pa; nomen hymnographi Θεοφάνους, quod in marg. cd. Pa praebet, e litteris initialibus θεοτ. habeas

heirm. α' EE 37, n. 51, Cosmae 3 μέλπομεν] στέψωμεν M N Pa

τῆς ἐλεημοσύνης
ἐπώνυμον καὶ μύστην
τῆς θείας χάριτος.

Ψήφῳ Θεοῦ
δέδεξαι ἱερωσύνης στολήν,
ἣν τῷ ἀρίστῳ βίῳ σου,
σεβασμιώτατε,
λαμπροτέραν εἰργάσω
ἀστράψας ἐν τῷ κόσμῳ
τοῖς κατορθώμασιν.

Τὸ διαρκὲς
τοῖς ἐνδεέσι πρὸς οἶκτον ψυχῆς
τίς ἐπαξίως φράσει σου
ἢ τὸ ἀνένδοτον
εἰς ἐπίδοσιν πλάτος
τῆς γνώμης, Ἰωάννη,
τίς μὴ θαυμάσειεν;

Σὺ φωταυγοῦς
τῆς θεοπτίας ἠξίωσαι
καὶ τῆς κρυφίας γνώσεως
τὰ ἀνεννόητα
ἐκμεμύησαι κάλλη,
ἐν οἷς ἡμῶν ἀλήκτως,
παμμάκαρ, μέμνησο.

---

9 ἱερωσύνης] ἱερατείας M N Pa 15-21 trop. om. M 16 ἐνδεέσι] δεομένοις N 18 ἢ] ἡ Pa 19 ἐπίδοσιν] ἐπίγνωσιν V 22-28 trop. om. M N 23 ἠξίωσε Pa 27 ἡμῖν V
post v. 28 hoc trop. praebent cdd. M Pa:

Κόρη ποτὲ
ὤφθη σοι πεποικιλμένη φαιδρῶς
στέφος ἐλαίας φέρουσα
προδιαγράφουσα
τὴν ἐλεημοσύνην
τῆς σῆς ἱεραρχίας,
θεομακάριστε.

f. 65 θεοτ.

|| Θαῦμα ἐν σοὶ
ξένον τελεῖται, θεόνυμφε,
ὅτι ἀΰλων τάγματα
ὃν ὡς ἀπρόσιτον
καθορᾶν οὐ τολμῶσιν
ἀφράστως συλλαβοῦσα
φέρεις ἀγκάλαις σου.

ᾠδὴ β΄. *Ἴδετε, ἴδετε*
ὅτι ἐγώ εἰμι
ὁ ἐν θαλάσσῃ σώσας

Πρᾶξιν ἐπίβασιν
ξένην ἐφεύρηκας
τῆς θεωρίας, πάτερ,
μύστης τοῦ ἀρχιερέως
Χριστοῦ καὶ θύτης φανεὶς
ἀληθείας τε κῆρυξ
καὶ καύχημα λαοῦ
καὶ ἐκκλησίας ἀρραγὴς
καὶ ἀκράδαντος βάσις
εἰκών τε πρὸς ἀρετὴν
καὶ πίστεως ἔρεισμα.

Τὸν φιλοικτίρμονα
Θεὸν μιμούμενος
ἀπλέτῳ συμπαθείᾳ
τοῦ ἐλεεῖν καὶ οἰκτείρειν,

---

30 τελεῖτε V 29-35 aliud θεοτ. praebent cdd. M N Pa:

Θαῦμα φρικτὸν
τοῦ τοκετοῦ σου ἡ πρόοδος,
θεοκυῆτορ, πέφυκεν (πέφηνεν Pa),
ὅτι σπορᾶς χωρὶς
συλλαβοῦσα τὸν κτίστην
καὶ τέξασα παρθένος
πάλιν μεμένηκας.

35 ἀγκάλαις σου] ἐγκύμονα Cd
heirm. β΄ EE 41, n. 55, Joannis odem β΄ om. M N 38 θεωρίας] θεοπτίας Pa 43 ἀρραγεῖς V 45 τε] δὲ V

οὐ κατενάρκησας
τὸ ὁμόφυλον δότης
ὑπάρχων ἱλαρός·
διὸ ὁμώνυμος αὐτῷ
ἐλεήμων ἐκλήθης
ἀόκνως εὐεργετῶν
καὶ σώζων ἑκάστοτε.

Πᾶσι τοῖς χρῄζουσι
νέμεις τὰ πρόσφορα,
ὦ Ἰωάννη μάκαρ,
ἐξ ἀκενώτου πυθμένος
σῆς προαιρέσεως,
τοὺς πεινῶντας ἐκτρέφων,
ἐνδύων τοὺς γυμνούς,
τοὺς αἰχμαλώτους ἐκπριῶν
καὶ συνάγων ἀστέγους,
πενθοῦντας παρακαλῶν,
ἀπόρους εὐπόρους ποιῶν.

θεοτ. Ἔχοντες, δέσποινα,
τὴν σὴν ἀντίληψιν

---

54 αὐτῷ] αὐτοῦ Cd   59 νέμοις cdd.   60 Ἰωάννη] Ἰάννη Pa   62 σῆς] τῆς V   66 καὶ συνάγων] συνεισάγων Pa   69-79 aliud θεοτ. praebet Pa:
Ἐν σοὶ προστρέχομεν (-ωμεν cd.)
ὦ μητροπάρθενε,
τὴν ὀχυρὰν ἐλπίδα
καὶ κραταιὰν προστασίαν
καὶ τεῖχος ἄρρηκτον
προσβολαῖς τοῦ Βελίαρ
δονούμενοι δεινῶς
τῇ φιλευσπλάγχνῳ καὶ θερμῇ
πρὸς Θεὸν σὺ δυσώπει,
τὰ πλήθη τῶν πειρασμῶν
κατεύνασον, δέσποινα.

---

65 AB 45 (1927), 9: ... Θεόδωρον ... εἰς ἀνάρρυσιν τῶν αἰχμαλωτισθέντων ἀπέστειλεν... ἀνάρρυσιν πλείστων... αἰχμαλώτων ἐποιήσατο ἐξωνησάμενος αὐτούς...
67 AB, 20: Τούτῳ γὰρ... προσέτρεχον οἱ ἐν ποικίλοις κακοῖς τοῦ βίου περιστατούμενοι, τὴν κατάλληλον ... παραμυθίαν ποριζόμενοι.
68 PG 114,945: ... καὶ ἀποκαθίστησι ... εὔπορον ἐξ ἀπόρων...

52-53 II Cor. 9,7

ὡς ἀρραγῆ κρηπῖδα
καὶ ἀπροσμάχητον τεῖχος
καὶ ἀσφαλείας φρουρὰν
λυτρωθείημεν πάσης
ἐφόδου δυσμενῶν
τῶν ἀνομούντων εἰς Θεὸν
καὶ τὸ κέρας εἰς ὕψος
αἰρόντων καὶ τὴν ὀφρὺν
κατὰ τῶν ὑμνούντων σε.

ᾠδὴ γʹ. *Στερέωσον ἡμᾶς*
ἐν σοί, Κύριε,

f. 65v || Ὁ λόγος σου ἡδύς,
ὁ βίος ἔνθεος,
τὸ ἦθος
συνέσει κεκοσμημένον
ἀρετῆς σε πρὸς ὑπέρτατον
ἀνεβίβασεν ὕψος, ἱερώτατε.

Τῷ ἔρωτι τρωθεὶς
ὡς κεχρημάτισαι
καθ᾽ ὕπαρ
τῷ τῆς ἐλεημοσύνης,
Ἰωάννη, ταύτην σύνοικον
ἐσχηκὼς τῷ Θεῷ σε προσηγάγετο.

Ἠνέῳκτο, σοφέ,
τῆς προαιρέσεως
ἡ θύρα

72-73 καὶ σωτηρίας ἐλπίδα / καὶ ἀσφαλῆς φρουρᾷ V
heirm. γʹ EE 39, n. 53, Cosmae   81 ἔνθεος] ἄμεμπτος M   83 συνέσει παμμάκαρ κεκοσμημένος V   καικοσμημένον Cd   85 ἀνεβίβασαν N   86 τρωθεὶς] χρισθῆς V   88 καθ᾽ ὕπαρ] καθύπερ Pa   92-97 trop. om. M

---

80 AB, 31: ... εἶχεν καὶ τὴν ἀπὸ τῶν ἁγίων γραφῶν γνῶσιν ἐν προφορᾷ λόγου μελιρρύτως ῥέοντος ...

τῆς σῆς παντὶ θλιβομένῳ,
ἀδυνάτοις δὲ παρεῖχες θαρρεῖν
ἔργῳ παραζηλῶν Ἰὼβ τὸν δίκαιον.

Χριστῷ εἰλικρινῶς,
ᾧ εὐηρέστησας,
πρεσβεύειν
μὴ λίπῃς, ὦ Ἰωάννη,
πειρασμῶν καὶ περιστάσεων
καὶ πταισμάτων ῥυσθῆναι τοὺς τιμῶντάς σε.

θεοτ. Ὁ Λόγος τοῦ Πατρὸς
ὁ ἐνυπόστατος
σκηνώσας
ἐν μήτρᾳ τῆς θεοτόκου
προελήλυθε φυλάξας αὐτὴν
παρθενεύουσαν ὄντως μετὰ γέννησιν.

Κάθισμα.

Ἦχος πλ. δ΄. Πρός· *Τὴν σοφίαν τοῦ Λόγου*

Ἐλεήμονα γνώμην
....

---

96 δὲ] γὰρ Pa   παρεῖχες] παρέσχες V   97 παραζηλῶν] πράξει ζηλῶν N   98 Χριστῷ] Θεῷ M Pa   98-103 trop. om. N   99 ᾧ] ὡς Pa   101 λείπῃς Cd V   λείποις Pa   παμμάκαρ μὴ διαλείπεις M   103 τιμῶντας] ὑμνοῦντας V
104-109 aliud θεοτ. proferunt M N et Pa:

Ὃν τρέμουσιν ὁρᾶν
ἀΰλων (ἀγγέλων N) τάγματα
τῇ δόξῃ
τῆς ἀκραιφνοῦς θεαρχίας
σὺ (σοῦ Pa), θεόνυμφε, κατέχεις χερσὶ (σαρκὶ Pa)
σαρκωθέντα ἐκ σοῦ δι᾽ οἶκτον ἄφατον.

Κάθ. MR II, 127; κάθ. om. V, quod vero Pa in initio acolouthiae praebet

---

104-106 Joh. 1,14

f. 66 ‖ ᾠδὴ δ΄. *Ὑμνῶ σε·*
ἀκοὴν γάρ, Κύριε,

Λατρείας
ἀναιμάκτους ἔσπεισας
τῷ δεσπότῃ, ἱερομύστα·
δι᾽ ἀρετῆς ἔχων γὰρ
τὸ συνειδὸς κεκαθαρμένον
αὐτῷ ἐντυγχάνων προσεκόμιζες
ὥσπερ θυσίαν ζῶσαν τὴν ἐλπίδα σου.

Πενήτων
φροντιστὴς γενόμενος
οὐκ ἀπέκαμες, Ἰωάννη,
τὰ πρὸς ζωὴν πάντοθεν
περινοῶν πλουσίως τούτοις
σπουδῇ ταῖς ἀμέτροις εὐποιίαις σου
τὸ ἐνδεὲς ἑκάστῳ ἐξιώμενος.

Οὐ μόνον
τετηγμένους σώμασιν
ἐθεράπευες, ἱεράρχα,
προῖκα διδοὺς ἕτοιμα
τὰ διαρκῆ, ἀλλὰ καὶ λόγοις
σοφοῖς τὰς ψυχὰς πλέον διέτρεφες
παρεγγυῶν εὐθέτως τὰ σωτήρια.

---

heirm. δ΄ EE 38, n. 51, Cosmae   111 ἔσπεισας] ἔπεισας M   114 καικαθαρμένον Cd   115 αὐτῷ] χαὐτῷ Cd   σαυτῷ V   116 ἐλπίδα σου] τελείωσιν V M N Pa   119 οὐκ ἀπέκαμες] οὐ κατέλαβες N   120 τὰ] τοὺς V   122 σπουδὴ Cd N   123 ἑκάστου Cd   ἐξιόμενος V   ἐξισούμενος Pa   124-130 trop. om. M N   126 ἐθεράπευσας V   128 διαρκεῖ V   130 εὐθέτως] εὐθέως V

110-112 AB, 27: ... παρέστη τῷ θείῳ θυσιαστηρίῳ τὴν ἀναίμακτον ἱερουργήσων θυσίαν ...
124-130 AB, 8: Οὐ τῶν κατὰ τὸ σῶμα δὲ μόνον πενομένων ἐπιμέλειαν ἐποιεῖτο, ἀλλά γε καὶ τῶν κατὰ τὴν ψυχὴν μάλιστα πρόνοιαν τῆς σωτηρίας ἐπραγματεύετο.

---

116 I Pet. 1,3

Τὸν θεῖον
ψαλμικῶς πληρούμενον
ἐπὶ σοὶ καθορῶμεν λόγον
« μακάριος — φάσκοντα —
ὁ συνιὼν ἐπὶ πενίαν πτωχῶν
καὶ οἰκτείρων καὶ κιχρῶν δαψιλῶς · »
οὐ γὰρ ἀπέσχου, πάτερ, εὖ ποιεῖν ἐνδεῆ.

θεοτ. Φθαρέντα
τοῖς αἰσχίστοις πάθεσιν
ἐποικτείρας ὁ πάντων κτίστης
ὅλον ἐμέ, πάναγνε,
ξενοπρεπῶς ἐκ σῆς νηδύος
Χριστὸς προσλαμβάνει σωματούμενος
καὶ ἀναπλάσας αὖθις ἐκαινούργησεν.

ᾠδὴ ε΄. *Ὁ τοῦ φωτὸς χορηγὸς*

Λαμπτῆρα πυρσοφαῆ
καὶ μυστηρίων τῶν φρικτῶν ἄξιον
ἱερουργόν,
ἐλεημοσύνης
τὸν ἐπιμελητήν,
πάτερ Ἰωάννη,
σὲ ὕμνοις γεραίρομεν.

Νέος ἐφάνης ἡμῖν
f. 66v ὡς σιτομέτρης Ἰωσὴφ τρέ‖φων μὲν

133 σὺ M 135 πενίαν πτωχῶν] πένητα πτωχὸν N Pa 136 καὶ οἰκτείρων] οἰκτείρων τε N 137 εὖ ποιεῖν] εὖ ποιῶν V ἐνδεῆ] ἐνδεεῖ M N Pa 139 αἰσχίστοις] αἰσχροῖς με V ἐσχίστοις N Pa 140 ἐπωκτείρας V 142 ἐκ σῆς] ἐξ ἧς M 143 Χριστὸς] Θεὸς V M N Pa
heirm. ε΄ EE 38, n. 51, Cosmae 147 ἱερουργῶν M 151 γεραίρωμεν N δοξάζομεν V 153 σιτομέτρης] -τροις M -τρις Pa

153-155 AB, 7: Λιμοῦ δέ ποτε μεγάλου τὴν πόλιν πιέζοντος... ἑπτὰ λοχοκομεῖα ... ἐδομήσατο.

134-135 Ps. 40,2 136 Ps. 111,5 153-154 Gen. 47,12-14

τοὺς τοῦ λιμοῦ
δεινοὺς τραυματίας,
χερσὶ δὲ δυναστῶν
τοὺς κατεχομένους
ἀδίκως ῥυόμενος.

Κατοικητήριον
τοῦ παναγίου πεφυκὼς πνεύματος
ὡς ἀληθῶς,
μάκαρ Ἰωάννη,
τῶν τούτου ἐναργῶν
θείων χαρισμάτων
αἰσίως ἐπλούτησας.

Τοῖς δυστυχοῦσι
χεῖρα προτείνεις πλατυσμοῦ, ὅσιε,
καὶ μαρτυρεῖ
τῇ σῇ μεταδόσει
ἐπὶ τῷ ναυκλήρῳ
ὁ ἐκ κασσιτήρου
γενόμενος ἄργυρος.

θεοτ. Ἄχραντε μήτηρ Χριστοῦ,
τῶν πεποιθότων ἐπὶ σοὶ σκέπη τε

156 χερσὶ] σχέσιν V 158 ῥυόμενος] ῥυσάμενος M 159-165 trop. om. N 163 τοῦτον Pa ἐναργῶς Cd 165 ἐπλούτισας Pa 166-172 trop. om. M 167 χεῖρας N προτείνοις N -νης V Pa πλατυσμὸν Pa ὅσιε] ἅγιε V N Pa 172 γενάμενος Pa 173-179 aliud θεοτ. proferunt M N Pa:
Ἀκαταμάχητον
σθένος καὶ σκέπην καὶ φρουρὰν ἔχοντες
οἱ γηγενεῖς
σέ, παρθενομῆτορ,
παντοίας ὀδύνης
φθορᾶς καὶ κινδύνου (-νων M)
λιταῖς σου (σου om. M) ῥυσθείημεν.

168-172 PG 114, 909: ... ὁ ναύκληρος τῆς νηὸς ἀποβάς, φίλῳ τινὶ ... ἀργυροκόπῳ περιτυχών, πεντήκοντα λίτρας αὐτῷ ... κασσιτέρου δούς, τὴν ὑπὲρ αὐτοῦ τιμὴν ἀντελάμβανε. Ὁ δὲ διαβασανίσαι τοῦτον πυρὶ βουλόμενος... ἄργυρον εὑρίσκει... καθαρώτατον.

159-160 Eph. 2,22

καὶ βοηθός,
πρόφθασον καὶ ῥῦσαι
τοὺς δούλους σου ἡμᾶς
τῶν ἐπικειμένων
κινδύνων καὶ θλίψεων.

ᾠδὴ ς'. *Ἐν ἀβύσσῳ πταισμάτων κυκλούμενος*

Καθαρθεὶς τὰς αἰσθήσεις ἐν φόβῳ Θεοῦ
καὶ τὸν νοῦν μετάρσιον τοῖς κατορθώμασι
δείξας, παμμάκαρ, ἔφθασας
τῶν βροτοῖς ὀρεκτῶν τὸ ἀκρότατον.

Δι' ἐλέους τὸν ἔλεον ἤνυσας
ἐλεημοσύνην κτησάμενος σύνοικον
καὶ τῆς ψυχῆς, ἀοίδιμε,
τὴν λαμπάδα φαιδρὰν κατεσκεύασας.

Ἀβραὰμ ὑπερῆρας τὸν πρόπαλαι
τῇ φιλοξενίᾳ αὐχοῦντα· τοῖς πᾶσι γὰρ
ξένοις τε καὶ αὐτόχθοσιν
ἐχορήγεις ἐπίσης τὰ δέοντα.

Τοῦ ἐλέους Κυρίου δεόμενοι
τούτου τὸν θεράποντα καθικετεύομεν
σέ, Ἰωάννη πάνσεπτε,
ἱλεοῦσθαι αὐτὸν τοῖς οἰκέταις σου.

θεοτ. Νεουργεῖται φθαρὲν τὸ ἀνθρώπινον
f. 67 ἐν τῇ καθ' ἡμᾶς ὁμοιώ‖σει τοῦ Λόγου ἐκ σοῦ,

---

heirm. ς' EE 34, n. 46, Joannis 182 δείξαντα μάκαρ Pa 183 τοῖς Cd N ὀρεκτὸν V 184 ἐλέους] ἐλαίας V ἐλαίου N Pa ἔλαιον N Pa ἤνοισας N 185 κτησάμενος σύνοικον] συγκρίνας ἀνάγουσα V σύνοικον] φύλακα M 186-187 εἰς οὐρανοὺς ἀοίδιμε / καὶ ψυχῆς τὴν λαμπάδα ἐφαίδρυνας V 187 λαμπάδαν N 189 τὴν φιλοξενίαν N τὴν φιλοξίαν Pa 188-191 trop. om. M 191 ἐπίσης] ἐφίσης V 192-195 trop. om. N 193 καθικετεύσωμεν V 195 ἰκέταις V M 196-199 aliud θεοτ. offerunt M N et Pa:

Νενευκότες εἰς γῆν παραπτώμασι (-σεσι M)
σοῦ Θεὸν τεκούσης βροτοὶ ἀνωρθώθημεν
καὶ κοινωνοὶ γεγόναμεν
διὰ σοῦ θείας φύσεως, πάναγνε.

θεογεννῆτορ δέσποινα,
καὶ ἀγγέλοις ἀΰλοις συνήφθημεν.

Κονδάκιον.

Ἦχος πλ. β'. Πρός· *Τὴν σωματικήν σου παρουσίαν*

Τὸν ἐλεημόνως μεταδόντα τοῖς πτωχοῖς
....

⟨Ὁ οἶκος⟩. Πρός· *Τῷ τυφλωθέντι Ἀδὰμ*

Ἱεραρχῶν ὁ κανὼν
....

ᾠδὴ ζ'. *Εἰκόνος χρυσῆς*

Θεσμοῖς πατρικοῖς
ἐπεστήριξας, σοφέ, τὴν ἐκκλησίαν,
ἱερωσύνης δὲ τὴν εὐπρέπειαν
περικοσμίως ἐφύλαξας,
βίον ἀκηλίδωτον δείξας,
διδασκαλίαν πειθήνιον
καὶ συμπαθείας οἰκτιρμοὺς
πρὸς τὸ ὑπήκοον.

Ὑπῆρξας πτωχῶν,
f. 67ᵛ ὀρφανῶν καὶ τῶν χηρῶν προασπι‖στὴς καὶ τυφλῶν
χειραγωγία, γήρως ἔρεισμα
καὶ λυπουμένων παράκλησις,
πάτερ Ἰωάννη, ἐγένου
ἀσθενούντων ἐπίσκεψις,

---

199 ἀΰλοις ἀγγέλοις V
Κονδ. et οἰκ. PAS I, 666
heirm. ζ' EE 39, n. 53, Cosmae 203 ἐφύλαξας] ἐφρούρησας M N Pa 208 πτωχῶν] πατὴρ M N Pa 209 χειρῶν Cd N τυφλοῖς V τυφλούς N Pa 210 χειραγωγία] ἐχειραγώγησας N Pa γήρους V M N 211 λοιπουμένων M

ἀδικουμένων βοηθὸς
καὶ πλανωμένων ποιμήν.

Σεμνύνεις, σοφέ,
τὸ ἀρχιερατικὸν πλέον ἀξίωμα
τῇ ταπεινώσει σου δι' εὐλάβειαν
ὑπερτιμῶν τοὺς μονάζοντας
τούτων τε κατ' ἄμφω τοὺς βίους
ἐφαμίλλους ἐδείκνυες
φιλοσοφίας πρακτικῆς
εἰκόνα φέρειν τρανῶς.

Πενίᾳ πλουτῶν
τὰ ἑστῶτα τῶν ῥευστῶν ἀνταλλαττόμενος,
πληθὺν τὴν ἄπειρον ἐθησαύριζες
ὧν περ Θεός σοι παρείχετο
ἐν τοῖς οὐρανίοις ταμείοις
ἐφαπλῶν τὴν προαίρεσιν
καὶ χεῖρα τείνων ἱλαρῶς
τοῖς αἰτουμένοις σε.

θεοτ. Ὁ πάντα δρακὶ
ὡς Θεὸς περικρατῶν ταῖς σαῖς ἀγκάλαις
ἐμπεριέχεται, ἀειπάρθενε,
βρέφος σαρκὶ γαλουχούμενος·
τοῦτον οὖν ἀπαύστως δυσώπει
ἀβλαβεῖς περισώζεσθαι
τοὺς θεοτόκον ἀληθῆ
σὲ καταγγέλλοντας.

---

216 Σεμνήνη N 216-223 trop. om. M 220 τοῦτον Pa 221 ἐφαμίλλας Pa 224-231 trop. om. N 226 ἐθησαύρισας M 227 θεὸς repetit Pa 231 σε] σοι M 233 ὡς] ὁ N 233-234 ταῖς σαῖς ἀγκ. ἐμπ.] ἐμπ. ταῖς σαῖς ἀγκ. M 235 γαλουχούμενον V M N 236 ὃν ἀκαταπαύστως δυσώπει M N 238 ἀληθῆ] -θεῖς M -θεῖ N

---

214 PG 114,900: ... ὅσην περὶ τὴν τῶν ἀδικουμένων προστασίαν ... AB, 40: ... ἀλλὰ καὶ πρὸς τοὺς ἀδικουμένους τὸν οἶκτον τῆς ἐκδικήσεως συμπαθῶς ἐπεδείκνυτο.

ᾠδὴ η'. *Τὸν ἐν καμίνῳ τοῦ πυρὸς*

Ῥεῖθρον ἀέναον ζωῆς
ἐδωρήθης ἐκ Θεοῦ τοῖς ἐν τῷ κόσμῳ
τῆς ἐλεημοσύνης
πηγάζων ἀνελλιπῶς
τὸ νάμα καὶ πάσας κατήρδευσας
τὰς τῶν πενομένων
καρδίας ἐκλειπούσας.

Πρὸς τὸ ἀνένδοτον τῆς σῆς
προθυμίας καὶ Θεὸς ἀντιπαρεῖχε
πολυπλάσιον, πάτερ,
τῶν διδομένων ἐκ σοῦ,
δι' ὧνπερ πλειόνως ἐπηύξετο
ἡ τῆς εὐποιίας
ἐπίδοσις πρὸς πάντας.

f. 68 ‖ Ἑαλωκότας ἐκ Περσῶν
σοὶ προσφεύγοντας λαοὺς ἐξεναγώγεις
θεραπεύων παντοίως·
οὐ μόνον γὰρ τοὺς ἐγγὺς
προφθάνεις, ἀλλὰ καὶ τοὺς πόρρωθεν,
πάτερ Ἰωάννη,
ἀγαθουργῶν εὐσπλάγχνως.

Ἱερωσύνης τὸν πυρσὸν
τῷ ἐλαίῳ τῆς ψυχῆς φαιδρῶς ἀνῆψας,

---

heirm. η' EE 35, n. 47, Joannis 240 ἀέναον] ἀείρ(ρ)υτον V M N Pa 244 νάμα] μάννα V 249 πολυπλασίως M N Pa 251 πλείονος V ἐπηύξησεν M ἐπηύξανεν Pa 254-260 trop. om. M 255 σὺ V 257 γὰρ om. V τοῖς N 258 τοῖς N 260 ἀγαθουργεῖς M N Pa εὐσπλάγχνος Pa 261-267 trop. om. N 262 ἐλέει V ἐλέῳ M φαιδρὸς V

254-256 AB, 20: ... ἅπαντες οἱ παρὰ Περσῶν αἰχμαλωτευθέντες λαοί, ὡς εἰς κοινὸν προστάτην καὶ σωτῆρα κατέφευγον ... PG 114, 900: Περσῶν γὰρ ... τὴν Σύρων γῆν... λῃσαμένων, οἱ τὰς τούτων χεῖρας ἐκφυγεῖν δυνηθέντες... εἰς Ἀλεξάνδρειαν καταφεύγουσιν· οἷς πᾶσιν... καθ' ἑκάστην ἐχορήγει τὰ πρὸς τὴν χρείαν...

261-267 Matth. 25, 1 sqq.

ὃν κατέχων, τρισμάκαρ,
πρὸς ὑπαντὴν τῷ καλῷ
νυμφίῳ σαυτὸν παρεσκεύασας,
οὗ τῆς βασιλείας
ἐντὸς ἐπαπολαύεις.

θεοτ.

Ὑπὲρ ἡμῶν τῶν ἀπλανῶς
τὰς ἐλπίδας ἐπὶ σοὶ τῆς σωτηρίας
τεθεικότων, παρθένε,
ἐξευμενίζου Θεὸν
τὸν σάρκα ἐκ σοῦ προσλαβόμενον,
ὅπως σὺν αὐτῷ σε
ὑμνοῦμεν εἰς αἰῶνας.

ᾠδὴ θ'. *Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον*

Ὄντως μακάριος ὤφθης,
Ἰωάννη, καλεῖσθαι
ἐπώνυμος Θεοῦ ἀξιωθείς·
τούτου γὰρ τρίβοις ἑπόμενος
διεγνώσθης τοῖς πᾶσι
γινόμενος τὰ πάντα συμπαθῶς·
ὅθεν σε προσηκόντως
καλοῦμεν ἐλεήμονα.

Σὺ ὀφειλὰς ἐγκλημάτων
μετὰ θάνατον λύεις

---

264 τῶν καλῶν V 267 ἐναπολαύεις V καταπολαύεις Pa 270 τεθνηκότων Pa 271 Θεὸν] ἡμῖν M 273-274 ὅπως σε ὑμνοῦμεν / ἁγνὴ εἰς τοὺς αἰῶνας M 274 ὑμνοῦμεν pro ὑμνῶμεν habeas

heirm. θ' EE 34, n. 46, Joannis 278 τούτῳ γὰρ πατρικῶς σὺ ἑπόμενος Pa τρίβους V 279 διεγνώσθης] διετέλεις V διετέθης M N Pa 280 τὰ πάντα] θεόφρον V 281 προσηκόντος M N Pa 283-290 trop. om. M

283-290 PG 114,961-964: Γύναιον γάρ τι ... ἐπεὶ ἔμαθεν ἤδη μέλλειν αὐτὸν πρὸς Κύριον ἐκδημεῖν, μέγα τι καὶ βαρὺ ἁμάρτημα ἑαυτῇ συνειδυῖα, προστρέχει τῷ μακαρίῳ ... καὶ ... διὰ προσευχῆς ἐκείνου λύσιν ᾐτεῖτο τοῦ ἁμαρτήματος ... ἔξεισι τῇ τελευταίᾳ νυκτὶ τῆς σοροῦ ὁ θαυμάσιος ... καὶ ... ἐγχειρίζει τὸ γραμματεῖον

---

280 I Cor. 9,22

καθὰ καὶ ἔτι ζῶν τὰς συμφοράς·
πᾶσι γὰρ κράζει τὸ γύναιον,
ἧς τὸ σφάλμα ἀφέθη
λαβούσης τὸ νεόγραφον ἐκ σοῦ
παραδόξως χαρτίον
μηνῦον τὴν συγχώρησιν.

Ἡ Ἀλεξάνδρου μὲν πόλις
ἐπὶ σοὶ μέγα χαίρει
αὐχοῦσά σε ποιμένα ἱερόν,
μεῖζον ἡ Κύπρος κομπάζει δέ,
σὴ πατρίς, ὡς λειψάνων
κατέχουσα σορόν σου τὴν σεπτήν,
ἐξ ἧς μύρα προχέεις
ἡδύπνοα, μακάριε.

Πατριαρχῶν ἐν τῇ στάσει
προφητῶν τε ἁγίων
καὶ τῶν δικαίων, πάνσοφε, χοροῖς
συντεταγμένος ἀρρήτῳ φωτὶ
ἐν τῇ πίστει φρουρεῖσθαι,
ἡμᾶς ὀρθὰ φρονοῦντας ἀκλινῶς
καὶ Θεῷ εὐαρέστους
ὀφθῆναι καθικέτευε.

---

285 ζῶν τὰς] ζῶντας N 287 ἀφήθη Pa 289 χαρτεῖον V 290 μηνύων V Pa 291-298 trop. om. Cd 294 μείζων N 295 σῇ N Pa λείψανον Pa 297 ἐξ ἧς] ἐξεῖς M 298 ἡδύπνοον M 300 καὶ σκηναῖς μυστηπόλων Pa 301 χωροῖς M 302-304 post ἀρρήτῳ usque ad ἀκλινῶς om. Pa 304 ὀρθοφρονοῦντας V ἀκλινῶς] ἀληθῶς M V, sed in marg. cd. V ἀκλινῶς 306 καθικέτευε] καταξίωσον M

αὐτῇ ὥσπερ ἦν ὑπ' ἐκείνης ἐσφραγισμένον ... ὅπερ δὴ λύσασα, τὴν μὲν προτέραν ἀπαληλιμμένην εὗρε γραφήν, ξένην δὲ ὑπογραφὴν κειμένην ὁρᾷ ἔχουσαν οὕτως· Διὰ Ἰωάννην τὸν δοῦλόν μου ἐξήλειπταί σου τὸ μέγα ἁμάρτημα.

294-295 PG 114,896: Ὃν ἤνεγκε μὲν Κύπρος ἡ νῆσος· καὶ ὅστις φυτὸν εὐθαλὲς καὶ ἀρεταῖς κατάκομον ἀνεθρέψατο ... AB, 47: ... πρὸς τὴν ἰδίαν πατρίδα... Κύπρον μεθίσταται ... τὸ οἰκεῖον σκῆνος βουλόμενος εἰς ταφὴν τῇ θρεψαμένῃ χαρίσασθαι.

295-298 PG 114,964: ... ὁ τῶν θαυμασίων θεὸς ... εὐδόκησε τοῦ θείου αὐτοῦ λειψάνου μύρα ... βλύσαι, εὐωδίαν ἰάσεων ἀποπέμποντα ...

f. 68ᵛ θεοτ. ‖ Σὲ δυσωποῦμεν
τὴν προστασίαν
καὶ καύχημα ἡμῶν τῶν γηγενῶν,
σπεῦσον, ἐλθὲ εἰς βοήθειαν,
θεοτόκε, συνήθως
καὶ ῥῦσαι ἀναγκῶν καὶ δυσχερῶν
τῶν ἡμᾶς συνωθούντων
μητρῴᾳ παρρησίᾳ σου.

307-314 aliud θεοτ. praebent M Pa:
Σὲ πρὸς τὸ σώζειν ἑτοίμην
βοηθὸν καὶ προστάτην
τοῦ κόσμου, θεοτόκε, ἀψευδῆ
ἐπεγνωκότες αἰτοῦμεν πιστῶς
ἀναγκῶν καὶ κινδύνων
ῥυσθῆναι (-σθῶμεν Pa) διὰ σοῦ οἱ εὐσεβῶς
τῇ βεβαίᾳ σου σκέπῃ
ἐκ πόθου καταφεύγοντες.
312 δυσχερῶν] συμφορῶν N

---

307 PG 114,896: ... ἡ περιφανὴς δὲ Ἀλεξάνδρεια ἀρχιερέα τε καὶ πολιοῦχον εὐμοίρησε.

IN SANCTUM JOANNEM ELEEMOSYNARIUM EPISCOPUM ALEXANDRINUM

Crypt. Δ.α. XIII = Cc, ff. 184-186ᵛ (fine mutilus)

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Τὸν ἐλεήμονα Ἰωάννην ὕμνοις τιμήσω.

Ἦχος πλ. δ′.

ᾠδὴ α′. *Ἁρματηλάτην Φαραὼ ἐβύθισε*

Τῇ τοῦ Θεοῦ πεφωτισμένος χάριτι
ἐκ θείου πνεύματος
τὸ ζοφερὸν ὄμμα
τῆς ψυχῆς μου φώτισον
καὶ γλώσσης τὴν βραδύτητα
διαλύσας τὸν νοῦν μου
εὐχαῖς σου, πάτερ, καταύγασον,
ἵνα σου ὑμνήσω τὰ θαύματα.

Ὁ προειδὼς τὰ πάντα πρὶν γενέσεως,
ὡς ποιητὴς καὶ Θεός,
αὐτὸς καὶ νῦν, πάτερ,
ὡς προεκλεξάμενος
καὶ προορίσας ἔδειξεν
ἱερέα καὶ μύστην
τῶν παθημάτων αὐτοῦ τῶν σεπτῶν,
μάκαρ Ἰωάννη πανόλβιε.

---

tit. Ἕτερος κανὼν τοῦ ἁγίου Ἰωάννου φέρων...; nomen hymnographi Μακα(ρίου) e θεοτ. litteris initialibus deducitur
heirm. α′ EE 219, n. 314, Joannis

---

5 Ex. 4,10 12-13 Rom. 8,29-30 14-15 I Pet. 5,1

Νόμος τυχὼν τοῦ θείου πνεύματος
ἀπὸ σπαργάνων, πάτερ,
τῶν ἀρετῶν ὤφθης
θεῖον ἐργαστήριον
καὶ θεῖον ἐνδιαίτημα
καὶ ἐλεημοσύνης
κοινὸν ταμεῖον τοῖς χρῄζουσι
πᾶσι διανέμων τὰ πρόσφορα.

Ἐν οἰκτιρμοῖς πενήτων ὤφθης μεγαλόψυχος
καὶ τῶν πεινώντων τροφεύς,
γυμνητευόντων πάλιν
σκεπαστὴς πανάριστος,
τῶν λυπουμένων αὖθις δὲ
παραμύθιον μέγα,
χηρευουσῶν ἡ ἀντίληψις
καὶ ὀρφανουμένων βοήθεια.

θεοτ. Μακαριοῦμεν πάντες σέ, πανάχραντε,
αἱ γενεαὶ γενεῶν,
ὅτι τὸν πάντων κτίστην
σὺ ἐκυοφόρησας
Θεὸν βροτὸν γενάμενον
ἐν δυσὶ ταῖς οὐσίαις,
ἑνὶ προσώπῳ ὀφθέντα ἐν γῇ,
ὅνπερ καὶ Θεὸν καταγγέλλομεν.

f. 184v ᾠδὴ β΄. *Πρόσεχε,*
οὐρανέ, καὶ λαλήσω

Λειμῶνά σε
τῆς ἐλεημοσύνης
πάντες γινώσκοντες

26 πινόντων 35 τῶν 37 βροτῶν
heirm. β΄ EE 226, n. 324, Germani; EE 227, n. 325, Joannis

22-24 AB, 25: ... ἐπιχορηγοῦσαν παντὶ τῷ χρῄζοντι τὰ δέοντα ...

33-34 Luc. 1,48

ὥσπερ ἄνθη εὐώδη
τρυγῶμεν τὰς ἀρετάς σου, σοφέ.

Ἐδάνεισας
τῷ Κυρίῳ, θεόφρον,
πιστῶς τὸν ἄρτον σου
διὰ τῶν πενομένων
χρεώστην αὐτὸν κτησάμενος.

Ἡ ἄφθονος
δόσις τῶν θησαυρῶν σου
πᾶσιν ἀρκέσασα
ὡς κοινόν σε ταμεῖον
τῷ κόσμῳ παντὶ ἀνέδειξεν.

θεοτ. Ἀπείρανδρος
ὤφθης καὶ μετὰ τόκον,
θεομακάριστε·
διὰ τοῦτό σε πᾶσαι
ὑμνοῦμέν σε γενεαὶ τῶν βροτῶν.

f. 185 ᾠδὴ γ΄. *Ὁ στερεώσας κατ' ἀρχὰς*

Μαρτυρηθεὶς ὑπὸ Θεοῦ,
μακάριε θεοφόρε,
ὡς τὸν νόμον τὸν αὐτοῦ μελετήσας
καὶ ὡς δένδρον ἐκλεκτὸν
κατάκαρπον γενάμενος,
τῆς ἐλεημοσύνης
καρποὺς τοῖς πᾶσιν ἐξήνθησας.

47 θεόφρων
heirm. γ΄ EE 219, n. 314, Joannis

46-47 Prov. 19,17 59-60 Luc. 1,48 63 Ps. 1,2; 118,70
64-65 Ps. 1,3

῾Ο τῶν χρημάτων σκορπιστὴς
καὶ τῶν πενήτων προστάτης,
τῶν χηρῶν ὁ θαυμαστὸς οἰκονόμος,
ὀρφανῶν δὲ ὁ πατήρ,
ἀπόρων ἡ ἀντίληψις
πρὸς ἐλεημοσύνην
αὐτοῦ τὸν βίον προτίθησιν.

Νύκτωρ παρέστη σοι φαιδρὰ
κατεστεμμένη εὐκόσμως,
ἐν συμβόλῳ κόρης ὡραιοτάτης
ἀπὸ κλάδων ἐλαιῶν
περικειμένη στέφανον,
ἡ ἐλεημοσύνη
πρὸς ἑαυτήν σε ἑλκύουσα.

θεοτ. Κατὰ τὸ ῥῆμά σου, ἁγνή,
μακαριοῦμέν σε πάντες·
καὶ γὰρ τέτοκας τὸν πάντων δεσπότην
τὸν συστήσαντα τὸ πᾶν
καὶ συγκρατοῦντα νεύματι
τὰ ἄνω τε καὶ κάτω
θείᾳ δυνάμει ὡς πάντων Θεός.

f. 185v Καθίσματα.

῏Ηχος πλ. α΄. *Τὸν συνάναρχον Λόγον*

α΄) Ἐλεήμων ὑπάρχων ὁ ἱεράρχης
τῶν πενήτων τὰ πλήθη ἐν τῷ ἐλέει
τοῦ ἐλεήμονος Θεοῦ κατοικτείρησεν

---

75 φαιδρᾶ
heirm. καθ. α΄ HR, 230

75-81 PG 114, 905: ...μιᾶς τῶν νυκτῶν, κόρη τις ὄναρ ἐπιφαίνεται· κάλλος οἷον ἐξαίσιον καὶ ἀπόρρητον, ἔσταλτο δὲ λαμπρῶς, καὶ τῷ ἐξ ἐλαιῶν στεφάνῳ τὴν κεφαλὴν ἔστεπτο. Ἡ δὲ μειδιῶντι καὶ ἡδεῖ προσώπῳ ἱλαρὸν καὶ γαλήνιον ἐνιδοῦσα· Ἐγὼ πρώτη τῶν θυγατέρων τοῦ μεγάλου Βασιλέως, φησί· ἐμὲ φίλην αὐτὸς εἰ κτήσῃ, προσοικειῶσαί σε αὐτῷ δύναμαι.

82-83 Luc. 1,48 85 Col. 1,17

ἐλεῶν τοὺς ὀρφανοὺς
καὶ τὰς χήρας συμπαθῶν
κυλλούς τε καὶ ἀναπήρους·
σκορπίζων τὰ τοῦ Κυρίου
ὡς ἐλεήμων πάντας ἐλέησον.

῎Αλλο.

β΄) Ἐλεήμονα γνώμην
....

῎Αλλο.

γ΄) Καταλαμπρύνας σου τὸν νοῦν
f. 186 ....

f. 186v ᾠδὴ δ΄. *Σύ μου, Χριστέ, Κύριος σύ μου καὶ δύναμις*

Ἀπὸ Χριστοῦ
μεμυημένος τῆς χάριτος
τοῦ ἐλθόντος
δι᾽ ἡμᾶς εἰς θάνατον,
ὡς ἀκριβὴς τούτου μαθητής,
πάτερ, χρηματίσας
σαυτὸν τοῖς πένησι δέδωκας
σκορπίζων σου τὸν πλοῦτον,
διαθρύπτων τὸν ἄρτον
τοῖς πεινῶσι, τὸν κτίστην μιμούμενος.

῾Ιερουργὸς
τῶν παθημάτων Χριστοῦ γεγονώς,
τὰς λατρείας
τούτῳ προσενήνοχας

Κάθ. α΄ 7 σκορπίζοντα καθ. β΄ et γ΄ MR II, 127
heirm. δ΄ EE 219, n. 314, Joannis 102 τοῦτο

διπλοῦς αὐτῷ, πάτερ, γνωρισθεὶς
καὶ διπλοῦν τὸ στέφος
ἐκ τούτου ἀπεκδεχόμενος,
τῆς ἐλεημοσύνης
καὶ τῆς ἱερωσύνης,
ὅταν ἔλθῃ τοῦ κρῖναι τὰ σύμπαντα.

Ὡς Ἀβραὰμ
φιλοξενίαν ἠγάπησας
πάντας τρέφων
καὶ παραμυθούμενος
τοὺς ἐνδεεῖς, ὥσπερ ὁ Ἰὼβ
ἀναπετασμένας
τὰς θύρας καταστησάμενος,
μεθ' οὗ συμμακαρίζει
εἰς αἰῶνας ἀξίως,
ὡς μετέχων αὐτοῦ καὶ τῆς χάριτος.

Αἱρετικῶν
τὴν λύμην ἀποσεισάμενος,
ὀρθοδόξως
τῷ Θεῷ ἐλάτρευσας
δογματικῶς ἐγκαθοπλισθεὶς
καὶ τῆς ἐκκλησίας
ὑπερμαχήσας φανότατα,
δι' ἣν καὶ τὸν σωτῆρα
ἱκετεύων μὴ παύσῃ
κραταιοῦσθαι αὐτὴν ταῖς πρεσβείαις σου.

θεοτ. Ἀναλαβὼν
ἐκ τῆς γαστρός σου τὸν ἄνθρωπον
ὁ δεσπότης,

---

115 PG 114, 897: ... ἀνοίγει καὶ σπλάγχνα καὶ θύρας πάσας... χεῖρα τοῖς δεομένοις... παρέχων.
125 PG 114, 897: ... ἀγὼν αὐτῷ διὰ παντὸς ἑτέρου ... πίστιν ἀνανεώσασθαι καὶ τὰ τῶν αἱρετικῶν παραφυέντα ζιζάνια ῥίζαις αὐταῖς ἐξελεῖν.

109-110 Gen. 18,1-8

ἄνθρωπος προέρχεται
μείνας ὃ ἦν, ἄχραντε, Θεὸς
καὶ ὃ οὐχ ὑπῆρχεν
ἐκ σοῦ, ἁγνή, προσλαβόμενος,
ὃν πίστει προσκυνοῦμεν
καὶ σὲ μακαριοῦντες
θεοτόκον ἁγνὴν καταγγέλλομεν.

⟨ ᾠδὴ ε΄. ....

N ....
....

N ....
....

H ....
....

(Ῥ) ....
....

ᾠδὴ ϛ΄. ....

N ....
....

Y ....
....

M ....
....

(I) ....
....

ᾠδὴ ζ΄. ....

N ....
....

---

post v. 138 odae ε΄-θ΄ desunt, nam folia e codice ceciderunt

O ....
....

I ....
....

(O) ....
....

ᾠδὴ η΄. ....

Σ ....
....

Τ ....
....

Ι ....
....

(Σ vel Υ) ....
....

ᾠδὴ θ΄.

Μ ....
....

Η ....
....

Σ ....
....

Ω ....
..............................〉.

IN SANCTUM JOANNEM CHRYSOSTOMUM

Synaxarium, 219-220: Ἰωάννου τοῦ Χρυσοστόμου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως. Ὃς ἐγένετο ἐκ πόλεως Ἀντιοχείας τῆς Συρίας, πατρὸς μὲν Σεκούνδου στρατηλάτου, μητρὸς δὲ Ἀνθούσης εὐσεβοῦς καὶ πιστῆς. Εὐθὺς οὖν ἐν τῇ ἀρχῇ τοῦ βίου πολὺν περὶ τοὺς λόγους ἐκτήσατο ἔρωτα. Τῇ οὖν περὶ τούτους σπουδῇ καὶ τῆς φύσεως ὀξύτητι πᾶσαν ἑλληνικὴν σοφίαν μετῆλθε, φοιτήσας παρὰ Λιβάνιον καὶ Ἀνδραγάθιον τοὺς ἐν Ἀντιοχείᾳ σοφιστάς, εἶτα τοὺς ἐν Ἀθήναις. Μελετήσας δὲ καλῶς καὶ τὴν θείαν γραφὴν 〈καὶ〉 εἰς τὸ ἄκρον τῆς περὶ αὐτὴν ἐλάσας γνώσεως καὶ ἁγνείᾳ καὶ καθαρότητι τὸν βίον κοσμήσας, εἰς τὸ τοῦ κληρικοῦ κείρεται σχῆμα .....· εἶτα ..... χειροτονεῖται πρεσβύτερος καὶ πολλοὺς συντάξας λόγους κρείττονας ἀριθμοῦ περὶ μετανοίας καὶ τῆς ἐν ἤθεσι καταστάσεως καὶ πᾶσαν τὴν θεόπνευστον ἑρμηνεύσας γραφήν. ..... μεταπεμφθεὶς ἀρχιερεὺς τῆς βασιλίδος καθίσταται πόλεως, κανονικῶς τὴν χειροτονίαν δεξάμενος· ἐπέτεινε δὲ πλέον τὴν ἐν ταῖς ἑρμηνείαις τῆς γραφῆς σπουδήν, τήν 〈τε〉 ἐν ταῖς διαλέξεσι διδασκαλίαν, δι᾽ ἧς πολλοὺς πρὸς θεογνωσίαν ἤγαγεν καὶ πολλοὺς πρὸς μετάνοιαν ἐξ ἀνειμένου βίου καὶ ἀκρατοῦς, τῇ συνεχεῖ διδασκαλίᾳ τὰ τῶν ἀνθρωπίνων ψυχῶν πάθη οἷον ἀναμοχλεύων καὶ ἀπελαύνων. Τοσοῦτον δ᾽ ἑαυτὸν ἐπέδωκε τῇ ἀσκήσει καὶ ἐγκρατείᾳ, ὡς βραχέος μόνου μεταλαμβάνειν τοῦ ἐκ κριθῆς χυλοῦ καὶ ὕπνου μικροῦ, καὶ τοῦτο οὐκ ἐπὶ κλίνης ἀλλ᾽ ἱστάμενος καὶ σχοινίοις τισὶ διαβασταζόμενος, εἰ δέ που ὀκλάσειε, καθεζόμενος. Τῷ δὲ περιόντι τῆς πρὸς τοὺς δεομένους φιλανθρωπίας καὶ ἑτέροις πολλοῖς εἰς τοῦτο καθίστατο τύπος· ὅθεν καὶ ἐν λόγοις ἐδίδασκε προσφυῶς πρὸς τὴν τοιαύτην ἀρετὴν διακεῖσθαι καὶ τῆς πλεονεξίας ἀπέχεσθαι. ..... Ὁ μὲν γὰρ ἅγιος ἐν Κουκουσῷ τῆς Ἀρμενίας τελευταῖον παραπεμφθεὶς καὶ θλίψεσι προσομιλήσας πολλαῖς, τὴν τιμίαν αὐτοῦ ψυχὴν παρέθετο τῷ Θεῷ. .....

Crypt. Δ.α. III = Cd, ff. 77v-80v
Vat. gr. 2069 = Vb, ff. 61v-63

Ὁ κανὼν παρακλητικός.

Ἦχος β'.

ᾠδὴ α'. *Ἐν βυθῷ κατέστρωσε ποτὲ*

Μετανοίας σάλπιγξ γεγονώς,
πάτερ, μεγαλόφωνος,
σαῖς προσευχαῖς μετανοεῖν με ποίησον
τὴν λιθώδη πώρωσιν
τῆς καρδίας μου διαλύων, Χρυσόστομε,
καὶ διασκεδάζων
νέφη πονηρὰ τῆς διανοίας μου.

Ἐξηρεύξω θείων διδαχῶν
πέλαγος, Χρυσόστομε,
καὶ ποταμοὺς χρυσοειδεῖς ἀνέβλυσας
ὄμβροις προσκλυζόμενος
θείου πνεύματος· ἀλλά, δέομαι, ἄρδευσον
καύσωνι φλεχθεῖσαν
πράξεων ἀτόπων τὴν καρδίαν μου.

Τοῦ ἁγίου Πνεύματος δειχθεὶς
ὄργανον ἡδύφθογγον
ἀναφωνοῦν σωτηριώδη δόγματα,
φώτισόν με, δέομαι,
καὶ πνευμάτων με πονηρῶν ἐλευθέρωσον
τὸν ἐσκοτισμένον
μέθῃ τῶν παθῶν καὶ κινδυνεύοντα.

78 θεοτ. || Καὶ μὴ θέλων πράττω τὰ δεινά·
ἔχω συνεργοῦσαν γὰρ
διὰ παντὸς τὴν πονηρὰν συνήθειαν·

---

tit. Ὁ κανὼν παρακλητικὸς ψαλλόμενος τῇ ἑσπέρᾳ Cd   Εἰς τὸ μεσονύκτιον κανὼν τοῦ Χρυσοστόμου Vb
heirm. α' EE 34, n. 46, Joannis   2 μεγαλοφώνως Vb   20 τὸν ἐσκοτιμένον Vb   22-28 θεοτ. cfr. AHG V, 280

---

8 Ps. 44,2

παναγία δέσποινα,
προκατάλαβε ὡς ἐπίστασαι, ῥῦσαί με
τῆς αἰχμαλωσίας
καὶ τῆς τῶν παθῶν ἐπαναστάσεως.

ᾠδὴ β'. *Ἴδετε, ἴδετε*
ὅτι ἐγώ εἰμι
ὁ ἐν θαλάσσῃ σώσας

Γλῶσσαν πυρίπνοον,
στόμα ἡδύλαλον,
χύμα καρδίας ἔσχες
ἀναβλυστάνων πελάγη
διδασκαλίας ἀεί,
οἷς ξηραίνεις χειμάρρους
αἱρέσεων πασῶν·
διό σου δέομαι, σοφέ,
τῇ ἐν σοὶ παρρησίᾳ
κατάκλυσον τῶν ἐμῶν
πταισμάτων τὸ πέλαγος.

Τῇ ἐγκρατείᾳ σου
πάθη ἐμάρανας,
τῇ συμπαθείᾳ πᾶσαν
εἰσεποιήσω τὴν κτίσιν
στόμα Θεοῦ γεγονώς,
ἀναξίων ἐκ μέσου
ἀξίους ἀποσπῶν
καὶ μετανοίας ἀπλανεῖς
ἐκβιβάζων εἰς τρίβους,
Χρυσόστομε, θησαυρὲ
λογίων τοῦ πνεύματος.

Τὰ τῆς καρδίας μου
παῦσον οἰδήματα,
τὴν ταραχώδη ζάλην
εἰς σωτηρίας γαλήνην

---

heirm. β' EE 41, n. 55, Joannis   34 οἷς] εἰς Vb

νῦν μεταποίησον,
κατανύξεως δίδου
σταγόνα μοι, σοφέ,
καὶ τῆς μελλούσης φοβερᾶς
ἐξελοῦ καταδίκης
ταῖς πρὸς Θεόν σου λιταῖς,
θεόφρον Χρυσόστομε.

θεοτ. * Ἡ ἀγεώργητος
γῆ ἡ βλαστήσασα
τὸν τοῦ παντὸς τροφέα
τὸν ὑπανοίγοντα χεῖρα
καὶ εὐδοκίᾳ αὐτοῦ
ἐμπιπλῶντα πᾶν ζῶον
ἰσχύι θεϊκῇ,
στήριξον ἄρτῳ ζωτικῷ
παρειμένας καρδίας
τῷ κόρῳ τῶν δυσχερῶν
ἡμῶν παραπτώσεων.

f. 78v || ᾠδὴ γ'. *Ἐν πέτρᾳ με τῆς πίστεως στερεώσας*

Δεσμεύειν τε καὶ λύειν τὴν ἐξουσίαν
ὡς θεῖος ἱεράρχης ὡς κεκτημένος,
διάλυσον τοὺς βρόχους μου τῶν πταισμάτων
καὶ μετανοίας μοι
ὁδοὺς ὑπάνοιξον
τῷ θερμῶς ποθοῦντί σε,
ὦ Χρυσόστομε.

Πλουσίαις σου τῶν λόγων φωτοχυσίαις
ἠμαύρωσας αἱρέσεων πᾶσαν πλάνην,
ἐφώτισας τοὺς ψάλλοντας, Χρυσολόγε·

---

56 κατανοίξεως cdd. 62-72 θεοτ. TR, 148 66 αὐτοῦ] τῇ αὐτοῦ MR 67 ζῶν Vb
heirm. γ' EE 38, n. 51, Joannis

65-67 Ps. 144,16 70 Sir. 2,13 73 Matth. 16,19

« οὐκ ἔστιν ἅγιος
ὡς ὁ Θεὸς ἡμῶν
καὶ οὐκ ἔστι δίκαιος
πλήν σου, Κύριε ».

Πορεύομαι ἐν σκότει τῆς ἁμαρτίας
ὑπόδικος ὑπάρχων τῆς τιμωρίας·
πρεσβείαις σού με λύτρωσαι, θεοφόρε,
τὸν σοὶ προστρέχοντα
καὶ πόθῳ ψάλλοντα
ὡς « οὐκ ἔστιν ἅγιος
πλήν σου, Κύριε ».

θεοτ. * Πολλοὶ οἱ πολεμοῦντές με ἀπὸ ὕψους,
ἐν ὀδύνῃ ἐξέλιπεν ἡ ζωή μου,
κατέδυσα εἰς χάος πλημμελημάτων·
σῶσόν με, δέσποινα,
μὴ ὑπερίδῃς με·
προστασίαν ἄμαχον
σὲ γὰρ κέκτημαι.

Κάθισμα.

⟨Ἦχος πλ. δ'. Ἰδιόμελον.⟩

Ἡ τοῦ στόματός σου
....

ᾠδὴ δ'. *Ἐλήλυθας*
ἐκ παρθένου οὐ πρέσβυς, οὐκ ἄγγελος

Ἐνέκυψας
εἰς τὰ βάθη, παμμάκαρ, τοῦ πνεύματος
καὶ μετὰ τοῦ πνεύματος
πάσης γραφῆς διευκρίνησας,

---

85 post δίκαιος orat. detruncat Cd 92 post ἅγιος orat. detruncat Cd ὡς om. Vb 92-93 ὡς ὁ Θεὸς ἡμῶν / οὐκ ἔστι δίκαιος πλήν σου Κύριε Vb 94-100 θεοτ. MR III,66; cfr. etiam AHG V, 61 Κάθ. MR II, 141
heirm. δ' EE 34, n. 46, Joannis

ὅσιε, τὴν ἄβυσσον,
καταπλουτίσας τὸν κόσμον
θείοις δόγμασιν.

Νεκρώσας μου
τὴν ψυχὴν ἡδονῶν ἐντρυφήμασιν,
f. 79 ὁ ‖ δύνης ὑπόδικος
τῆς ἐν γεέννῃ γεγένημαι,
ἧς με ἐλευθέρωσον
ταῖς ἱκεσίαις σου, μάκαρ
ἱερώτατε.

Τῷ κέντρῳ με
τοῦ θανάτου κακῶν ἡ ἀπόλαυσις
δεινῶς ἐθανάτωσε·
σαῖς ζωηφόροις ἐντεύξεσι
ζώωσόν με, πάνσοφε,
ἀθανασίας μοι τρίβους
μνηστευόμενος.

θεοτ. * Κεκράξομαι
ἐν νυκτὶ καὶ ἡμέρᾳ, πανάμωμε,
πρὸς σὲ καὶ σωθήσομαι
καὶ ἡδονῶν ὑπερβήσομαι
πάντα τὰ παθήματα
πειρατηρίων δαιμόνων
τῇ πρεσβείᾳ σου.

ᾠδὴ ε΄. *Ὁ τοῦ φωτὸς χορηγός*

Χρύσεον στόμα Χριστοῦ,
ἁμαρτωλῶν ἐγγυητά, σῶσόν με
ἁμαρτιῶν

106 καταπλουτήσας cdd. 118 σοῖς Vb 122-128 θεοτ. MR III, 68; cfr. etiam AHG V, 63 126 τεῖχος καὶ ρυσθήσομαι MR AHG 127 πειρατηρίου AHG 128 μεσιτείᾳ σου MR ταῖς πρεσβείαις σου AHG
heirm. ε΄ EE 38, n. 51, Cosmae

122-124 Ps. 21,3,6

νυκτὶ συσχεθέντα
καὶ κλύδωνι παθῶν
πελάγει τοῦ βίου
δεινῶς κινδυνεύοντα.

Ἴαμα πέλει βροτοῖς
καταφλεχθεῖσιν ἡδονῶν ἄνθραξι
σῶν διδαχῶν
ἡ δρόσος, θεόφρον·
διό με τοῦ φλογμοῦ
τῶν ἁμαρτημάτων
εὐχαῖς σου ἐξάρπασον.

θεοτ. Δέσποινα, σῶσόν με,
ἡ τὸν σωτῆρα καὶ Θεὸν τέξασα,
καὶ τὴν αὐγὴν
τῶν σῶν χαρισμάτων
κατάπεμψόν μοι νῦν
σῶμα καὶ ψυχήν μου
σαφῶς καταυγάζουσα.

ᾠδὴ ϛ΄. *Ἐν ἀβύσσῳ πταισμάτων κυκλούμενος*

Ἐξεχύθη σου χάρις ἐν χείλεσιν·
ὅθεν διδαγμάτων ἀνέβλυσας ἄβυσσον,
ἱεραρχῶν ἀγλάισμα,
χρυσορρῆμον θεόφρον Χρυσόστομε.

Ῥαθυμίας ἐν κλίνῃ κατάκειμαι
καὶ τῆς ἁμαρτίας τῷ ὕπνῳ κατέχομαι·
ταῖς σαῖς ἀγρύπνοις σῶσόν με
πρὸς Θεὸν ἱκεσίαις, Χρυσόστομε.

f. 79ᵛ ‖ Μετανοίας πρὸς τρίβον ὁδήγησον
τὸν ἐν ἐρημίᾳ κακῶν αὐλιζόμενον

heirm. ϛ΄ EE 34, n. 46, Joannis 159 αὐλιζόμενος Vb

150 Ps. 44,3

καὶ συνεχῶς πλανώμενον
ἀνοδίαις τοῦ βίου, Χρυσόστομε.

θεοτ. * Κυβερνῆτις γενοῦ μοι, πανάμωμε,
τοῦ τῶν πειρασμῶν με κουφίζουσα κλύδωνος
καὶ πρὸς λιμένα εὔδιον
προσταγμάτων Θεοῦ ἐμβιβάζουσα.

Κονδάκιον.

Ἐκ τῶν οὐρανῶν ἐδέξω
....

Ὁ οἶκος.

Τῷ τῶν ὅλων ποιητῇ
....

ᾠδὴ ζ′. *Εἰκόνος χρυσῆς*

Προρρίζους τεμὼν
f. 80 τοὺς ἀκάρπους λογισμοὺς τῆς δι‖ανοίας μου,
καρποφορεῖν με, πάτερ, ποίησον
πράξεις ἐνθέους τὴν ἄνω μοι
θείαν προξενούσας, παμμάκαρ,
καὶ τρυφὴν καὶ ἀπόλαυσιν,
ἵνα βοῶ· « εὐλογητὸς
ὁ Θεὸς τῶν πατέρων ἡμῶν ».

Ἐν ὥρᾳ φρικτῇ,
ὅταν μέλλω τῷ φρικτῷ θρόνῳ παρίστασθαι,
εὕρω σε, πάτερ, ἀντιλήπτορα

162-165 θεοτ. HC, 85 162 κυβερνήτης Vb
Κονδ. et οἶκ. MR II, 148; post κονδ. et οἶκ. synaxarium breve praebet Vb
heirm. ζ′ EE 39, n. 53, Cosmae 172 post εὐλογητὸς orat. detruncat Cd
173 εἶ ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν Θεὸς εὐλ. Vb

καὶ πρεσβευτὴν ἑτοιμότατον
καὶ πρὸς τὸν δεσπότην μεσίτην,
ἱεράρχα Χρυσόστομε,
ὁ προσφυγών σου τῇ θερμῇ
σκέπῃ οἰκέτης σου.

Ἡ κρίσις ἐγγύς,
ἐπὶ θύραις ὁ κριτής, ψυχή, γρηγόρει
μή σε προφθάσῃ βίου ἔξοδος,
γάμου μὴ ἔχουσα ἔνδυμα,
καὶ ἀπορριφῇς τῆς παστάδος,
ἧς τυχεῖν κατεπείγονται
οἱ τοῖς προστάγμασι Χριστοῦ
ἀκολουθοῦντες θερμῶς.

θεοτ. Θεοῦ καθαρὸν
οἰκητήριον, ἁγνή, σὺ ἐχρημάτισας,
ἣν προετύπου βάτος πόρρωθεν,
ἄχραντε, μένουσα ἄφλεκτος·
ὅθεν σοι πιστῶς ἀνακράζω·
« τῶν παθῶν μου κατάφλεξον
ἅπασαν ὕλην εὐσεβῶς,
ὅπως δοξάζω σε ».

ᾠδὴ η′. *Τὸν ἐν καμίνῳ τοῦ πυρὸς*

Προθανατώσας τῆς σαρκὸς
τὰ σκιρτήματα, σοφέ, δι᾽ ἐγκρατείας,
μύρῳ θείῳ ἐχρίσθης
ἱερουργῶν τὸ σεπτὸν
καὶ θεῖον, πάτερ, εὐαγγέλιον
καὶ καταφωτίζων
λαοὺς ταῖς διδαχαῖς σου.

---

178 μεσίτην om. Vb 185 ἔχουσα: fort. scribendum ἔχουσαν 194 ἀνακράζων cdd.
heirm. η′ EE 35, n. 47, Joannis

---

185 Matth. 22,12 192-193 Ex. 3,2-3

Τὴν λεπρωθεῖσάν μου ψυχὴν
μιασμῷ τῶν ἡδονῶν κάθαρον, πάτερ,
τῇ ἐν σοὶ παρρησίᾳ
καὶ προσταγμάτων Θεοῦ
ἐργάτην δεῖξον ἀνεπαίσχυντον
τὸν καταφυγόντα
τῇ σῇ ἁγίᾳ μνήμῃ.

f. 80v ‖ Ταῖς χρυσαυγέσι διδαχαῖς
κατεχρύσωσας πιστῶν τὰς διανοίας
καὶ χρυσίον ἐγένου
ταμιευθέν, ἱερεῦ,
τοῖς ἄνω θησαυροῖς, Χρυσόστομε·
ὅθεν σε τιμῶμεν
εἰς πάντας τοὺς αἰῶνας.

θεοτ. * Ἐν ἀμελείᾳ τὴν ζωὴν
δαπανήσας νυσταγμῷ τῆς ἁμαρτίας
τὴν ψυχὴν ἐβαρύνθην,
τῇ ἀκοιμήτῳ δέ σου
πρεσβείᾳ προστρέχω· μὴ δώῃς με
εἰς θάνατον ὑπνῶσαι,
παναγία παρθένε.

ᾠδὴ θʹ. *Ἀνάρχου γεννήτορος*

Χρυσήλατον σάλπιγγα
βυθόν τε ἀθεώρητον
ὀρθοδόξων δογμάτων
σέ, μάκαρ, ἔγνωμεν,
θεῖον ἱεράρχην καὶ μύστην,
ἐγγυητὴν τῶν ἁμαρτανόντων,

219-225 θεοτ. TR, 198 221 ἐβαρύνθην] -ήθην Cd -ήνθην Vb 222 δέ σου] σου δὲ TR 223 δώσῃς Vb 224 ὑπνῶσαι] ὑμνῶσαι Vb κόρη TR 225 πανάχραντε ὑπνῶσαι TR
heirm. θʹ EE 35, n. 46, Joannis

224 Ps. 12,4

ἐπίγειον ἄγγελον
ἐπουράνιόν τε ἄνθρωπον.

Γεέννης ῥυσθῆναί με
καὶ σκότους καὶ κολάσεως
καὶ βρυγμοῦ τῶν ὀδόντων
Χριστὸν ἱκέτευε,
πάτερ Ἰωάννη θεόφρον,
καὶ δεξιᾶς στάσεως γενέσθαι
μέτοχον ἀξίωσον
τὸν πιστῶς σε μακαρίζοντα.

Ἐμὲ τὸν κατάκριτον
κρινόμενον ἐλέησον,
παριδών μου τὰ πλήθη
τῶν παραπτώσεων·
μὴ κατὰ τὰς πράξεις μου, σῶτερ,
τὰς πονηρὰς εἰς πῦρ ἀποπέμψῃς
ἔχων δυσωποῦντά σε
Ἰωάννην τὸν Χρυσόστομον.

θεοτ. Τὸν ἄρτον κυήσασα
τὸν τρέφοντα τὰ σύμπαντα,
τὴν ψυχήν μου πεινῶσαν,
παρθένε, ἔμπλησον,
σκέπη μου γενοῦ καὶ προστάτις,
καταφυγὴ καὶ τεῖχος καὶ ὅπλον
δαιμόνων τοξεύματα
ἀπ' ἐμοῦ ἀποδιώκουσα.

254 προστάτης Vb

239 Matth. 25,33

13 NOV. *CANON* XXXII

IN SANCTUM JOANNEM CHRYSOSTOMUM

Mess. gr. 135 = N, ff. 294(298)-299(303)
Crypt. Δ.α. XIII = Cc, ff. 187-189

Ὁ κανών, οὗ ἡ ἀκροστιχίς·
Δέχου τὸν ὕμνον, χρυσορῆμον (sic) παμμάκαρ.

Ἦχος δ'.

f. 294v (298v) ᾠδὴ α'. || *Θείῳ καλυφθεὶς ὁ βραδύγλωσσος γνόφῳ*

Δόξης μετασχὼν τῆς ἀλήκτου τῶν ἄνω
κατηξίωσαι τῆς ἀΰλου παστάδος,
τρυφῶν δὲ τῆς ἐκεῖσε λαμπαδουχίας
ψυχῆς ὁμίχλην τῆς ἐμῆς καταύγασον,
πάτερ, λιταῖς σου πρὸς Θεόν, Χρυσόστομε.

Ἔργῳ συνηρπάγης πρὸς οὐρανὸν τρίτον
τῷ πανσόφῳ τε καὶ μόνῳ διδασκάλῳ
κἀκεῖθεν ὡς ἐκεῖνος ἤντλησας, πάτερ,
τὸ θεῖον ὄντως τῆς ἀπείρου γνώσεως
ὕδωρ παρέχων πταισμάτων καθάρσιον.

Χαίροις ὁ λειμὼν τῶν ἀΰλων ἀνθέων
ὁ τὴν μέλιτταν εὐπορήσας τῶν λόγων,
ὁ πᾶσαν ὡς σύμβλ(ημα) ὀρθοδοξίας

tit. in marg. sup. cd. N κανὼν τοῦ Χρυσοστόμου scriptum est
titulus cum odis α'-ε' desunt in Cc, nam inter ff. 186-187 folium cecidit
heirm. α' EE 99, n. 140, Joannis; heirmos omnes integros praebet N

6 II Cor. 12,2

Γραφὴν συνάπτων καὶ γλυκείας πάντοτε
ψυχῆς ὀρέξεις δεικνύων, Χρυσόστομε.

θεοτ. Ὄρος νοητὸν ὁ προφήτης, παρθένε,
f. 295 (299) προηγόρευσε τὴν ἁγνήν σου || γαστέρα·
Θεὸν γὰρ οὐ φθαρεῖσα τίκτεις, παρθένε,
καὶ παρθενεύεις ὥσπερ ἦσθα, πάναγνε·
φρικτὸν τὸ θαῦμα καὶ πρὸ τῆς συλλήψεως.

ᾠδὴ γ'. *Ἔρρηξε γαστρὸς ἠτεκνωμένης παῖδας*

Ὕπνωσαν ὁρμαὶ τῶν πυριφλέκτων τόνων
πάθη τε δυσκάθεκτα σαρκὸς εἰς γόνυ
τῷ σῷ κραταιῷ συγκεκύφασι λόγῳ·
πάσας γὰρ εἷλες μηχανὰς τοῦ παγκάκου
ταῖς πρὸς Θεόν σου συντόνοις ἐντεύξεσιν.

Τρόποις καθαρθεὶς πρὸς θεωρίας βάθη
ὕψωσας ὡς ἔδειξας ἔνθεν τὴν φρένα,
πάτερ, προσευχαῖς καρτερῶν ἀνενδότοις·
ὅθεν συνήφθης ὡς ἐραστὴς τῶν ἄνω
ταῖς λαμπρότησιν ἀγγέλων, ἀοίδιμε.

Ὅλος γλυκασμὸς ἐν θεηγόροις λόγοις
ὤφθης ἅπαντα κόσμον ἡδύνων, πάτερ·
τούτοις γὰρ ἡμῖν εὐμενῆ τὸν δεσπότην
f. 295v (299v) δείξας || ὑπέσχου πλημμελημάτων λύσιν
ἐπιστρέφουσι πρὸς Θεόν, Χρυσόστομε.

θεοτ. Νεῦσον κραταιῶς εἰς ἐμὴν σωτηρίαν
δεῖξόν τε τὴν εὔσπλαγχνον εἰς ἐμὲ σχέσιν,
ἄχραντε σεμνή, καὶ προάσπισον μόνη
δούλου φέροντος τὰς δεήσεις συντόνως·
ἐλπὶς γὰρ εἶ σὺ καὶ σκέπη μου, πάναγνε.

heirm. γ' EE 99, n. 140, Joannis 33 εὐμενεῖ N 39 δούλω N

16 Hab. 3,3; Dan. 2,34

ᾠδὴ δ'. *Ἄναξ ἄνακτος οἷος ἐξ οἵου μόνου*

Ὕλην παρῆλθες τῆς γεηρᾶς οὐσίας
μήπω βαρηθεὶς σαρκὸς ἐξ ἁμαρτίας,
ἀλλ' εὐσεβῶς τὸ σῶμα λεπτύνας, πάτερ,
τηλαυγὲς ἐξύφανας ἀστέρος δίκην
πᾶσιν προλάμπων τοῖς λόγοις ὡς ἥλιος.

Μόνος τὰ πάντα ἦρας ἐν βίῳ βάρη
ὤμοις τοῦ Χριστοῦ φορτίον δεδεγμένος,
κατεγγυᾷς δὲ πᾶσι τὴν σωτηρίαν,
θεουργέ, κῆρυξ ἄλλος εὐθείας τρίβου·
ἄλλος γὰρ ὤφθης τοῖς λόγοις σου Πρόδρομος.

θεοτ. Νόμους λοχείας ἐκφυγοῦσα, παρθένε,
296 (300) ‖ τίκτεις ὑπὲρ νοῦν Χριστὸς ὡς οἶδε μόνος,
ὃν μητρικαῖς, δέσποινα, ταῖς παρρησίαις
ἐκ παντὸς ὡς εὔσπλαγχνον ἱλεουμένη
⟨⏒ – ⏑ – ⏒ – ⏑ – ⏒ –́ ⏑ ⏓⟩.

ᾠδὴ ε'. *Λυτήριον κάθαρσιν ἀμπλακημάτων*

Ὁ Παῦλος ἐτράνωσεν ἐνθεωτάτως
σκηνῆς σε, πανθαύμαστε, τῆς ἀνωτάτω
ὡς θεῖον ἱερουργόν, ὡς ὑπηρέτην,
ἣν Χριστὸς αὐτός, ἡ σοφὴ θεαρχία,
ἔπηξεν οὐκ ἄνθρωπος ἀρρήτῳ λόγῳ.

Νοῦν τῶν λόγων ἔρωτι κεχρυσωμένον
γλῶσσάν τε θείοις πᾶσιν εὐθηνουμένην
τὸ σὸν κατεπλούτησε πάγχρυσον στόμα·

heirm. δ' EE 99, n. 140, Joannis 55 versus in N desideratur; cfr. v. 135
heirm. ε' EE 99, n. 140, Joannis 56 ἐνθεοστάτως N 57 σκηνὴν N
62 γλ. θ. π. τε εὐθυνουμένην N

47 Matth. 11,30 49-50 Matth. 3,3; Luc. 3,4; Is. 40,3 56-60 Heb. 8,2

ὅθεν προβάλλει μαργαρίτας τοὺς λόγους
στέφος πλέκον πάντιμον ὀρθοδοξίας.

Χριστῷ τὰ χρυσέραστα τῶν νοημάτων
ὡς ἄξιος προσῆξας ἀντὶ θυμάτων,
ὦ μύστα καὶ λειτουργὲ δόξης τῆς ἄνω·
τὰ τῶν Γραφῶν γὰρ ἐξανίμησε βάθη
τὸ χρυσοπανθαύμαστον ὄντως σου στόμα.

f. 296v (300v) θεοτ. ‖ Ῥυπῶντα τὴν ψυχήν με ταῖς ἁμαρτίαις
καθάρσεως, δέσποινα, τῆς σῆς ἀξίου·
πηγὴ γὰρ εἶ σμήχουσα κηλῖδας ῥύπων
καὶ πρὸς τὸ σώζειν συντομώτατος σκέπη,
ὦ σεπτοπανσέβαστε μήτηρ τοῦ Λόγου.

ᾠδὴ ς'. *Ἱλασμὸς ἡμῖν, Χριστέ, καὶ σωτηρία*

Ὑπὲρ λόγον τὰ δεινὰ τῶν ἀλγημάτων,
ὦ παμμάκαρ, πέπονθας ἀξιοχρέως,
ἵνα στολήν σου τοῖς ἀγῶσι τῶν πόνων
βάψας λογισθῇς μάρτυς ἱερωμένος,
στέφος τὸ διπλοῦν ἐκ Θεοῦ δεδεγμένος.

Σωτηρίας φωτισμὸν ἡ σορὸς βρύει
τῶν λειψάνων φέρουσα τῶν σῶν τὴν χάριν,
ἣν προσκυνοῦντες ὡς κιβωτὸν δευτέραν
λύσιν τε πάντων τῶν παθῶν εὑρημένοι,
πάτερ, γεραίρει συντόνοις μελῳδίαις.

Ὁ τῶν λόγων θησαυρὸς ἐκ σῶν χειλέων
f. 297 (301) ὑπερβλύσας ἔπλησε ‖ τὴν ἐκκλησίαν
καὶ πᾶσαν ὄντως ἠγάθυνεν καρδίαν·
πλοῦτον γὰρ αὐτοῖς ἐμπαρέσχε τῷ βίῳ
πᾶσιν διδοῦντα ὠφελείας τὸ κλέος.

70 ὄντος N 72 τῇ καθάρσει N 73 εἰσμίχουσα N 74 σκέπει N
heirm. ς' EE 99, n. 140, Joannis 78 τῆς Cc 79 λογισθεὶς cdd.
81 ἡ σωρὸς N εἰς ὅρος Cc 83-85 constructio absoluta 84 εὑρημένοι] εὐνήμενοι Cc 85 γεραίροις Cc 88 καρδία Cc 90 διδόντα Cc

θεοτ. Ῥάβδον φέρουσαν βλαστὸν ἀρρήτῳ λόγῳ
πύλην τε καὶ τράπεζαν οἱ θεηγόροι
πάντες προφῆται τοῖς θεοπτίας λόγοις
τρανοῦσι, σεμνή, τοῦ τόκου σου τὸν τρόπον,
ὃν εὐμενῆ μοι δεῖξον, ἁγνὴ παρθένε.

Κάθισμα.

Ἦχος πλ. δ'. *Τὴν σοφίαν τοῦ Λόγου*

Πτερωθεὶς ἐν τῇ πίστει τῇ εἰς Χριστόν,
ἁρπαγεὶς ἐν νεφέλαις ταῖς προσευχαῖς,
ὅλος, πάτερ, γέγονας
ἐπουράνιος ἄνθρωπος·
τῷ γὰρ πυρὶ τῷ θείῳ
ἐκλάμψας τοῦ πνεύματος
ἐκ τῶν ψυχῶν ἐλαύνεις
τῆς πλάνης τὴν ζόφωσιν·
ὅθεν καὶ τὰς νόσους
τῶν ἀνθρώπων ἰᾶσαι
τῇ χάριτι τοῦ Πνεύματος
τοῦ παναγίου, ἀοίδιμε
Ἰωάννη Χρυσόστομε·
πρέβευε Χριστῷ τῷ Θεῷ
⟨τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι
τοῖς ἑορτάζουσι πόθῳ
τὴν ἁγίαν μνήμην σου⟩.

297v (301v) ᾠδὴ ζ'. *Σύμφωνον ἐθρόησεν ὀργάνων μέλος*

Ἤσχυνε τὴν δύστηνον εἰδώλων πλάνην,
ἔδειξεν ἀνθρώποις δὲ πίστεως βάσιν

---

93 τῆς Cc 95 εὐμενεῖ Cc
Κάθ. om. Cc
heirm. καθ. MR I, 68 14 post Θεῷ orat. intermittit N
heirm. ζ' EE 99, n. 140, Joannis

---

91 Num. 17,23; Is. 11,1 92 Gen. 28,17; Ez. 43,1-2; 46,1; Ex. 25,22

ἡ ζῶσα, τρισμέγιστε, τῶν λόγων χάρις·
ἐν σοὶ γὰρ αὕτη καὶ κατοικεῖ καὶ μένει
ὡς πανσθενεῖ καὶ ζῶντι καὶ τεθαμμένῳ.

Μέμνησο καὶ πρόστηθι καὶ δίδου χάριν
ἅπασι τοῖς στέργουσιν ἐκ ψυχῆς ὅλης
τὴν τοῦ τάφου πάντιμον, ὦ πάτερ, κόνιν·
πλουτοῦσα γάρ σε τὴν ἀνέκλειπτον χάριν
τὰ τῶν κακῶν ὕπουλα πυρπολεῖ πάθη.

Ὅλον με συννεύσαντα ταῖς ἁμαρτίαις
ὅλον κατακρίνει με, σῶτερ, ἡ δίκη·
ἀλλ' ὡς κριτὴς δίκαιος, οἰκτίρμον Λόγε,
μὴ στηλιτεύσῃς τῇ δικαίᾳ σου κρίσει
ταῖς εὐκτικαῖς λιταῖς με τοῦ Χρυσοστόμου.

θεοτ. Νύμφην σε παστάδα τε σεμνὴν καὶ μόνην
ἔγνωμεν οἱ σέβοντες ὀρθῶς τὸν Λόγον·
ἐν σοὶ γὰρ ἐσκήνωσεν ἀρρήτῳ λόγῳ
καὶ σὰρξ παγεὶς τε καὶ Θεὸς τελῶν πάλιν
τοὺς γηγενεῖς ἔσωσεν ἐξ ἁμαρτίας.

f. 298 (302) ᾠδὴ η'. *Λύει τὰ δεσμὰ καὶ δροσίζει τὴν φλόγα*

Ποῖος λογισμὸς εἰς ἔπαινον ἀρκέσει
τοῦ ψυχοκερδοῦς καὶ θεαυγοῦς σου βίου;
κἂν πᾶσα γλῶσσα ῥητορεύουσα φράσῃ,
οὐ φθέγξεται, γεωργέ, τι πρὸς ἀξίαν·
ὑπὲρ λόγον γὰρ οὗτος ἀνθρώπων ἔφυ.

Ἄπειρα τῶν σῶν ὀρθολέκτων δογμάτων
τὰ τρισσοφεγγῆ πίστιν ἐνδεδυμένα·

---

100 πανσθενῆ cdd. 102 ἅπασι] ἐν πᾶσι Cc 104 ἀνέκληπτον cdd. 105 πυρπολεῖς Cc 107 κατακρίνη Cc σωτὴρ N 108 οἰκτίρμων cdd. 109 στηλιτεύης Cc 111 παστάδαν Cc 114 παγὶς Cc
heirm. η' EE 99, n. 140, Joannis 116 ἐπαίνους Cc 118 κἂν] καὶ N φράσει cdd. 120 ἔφυ] ἔφη Cc 121 ἀνθολέκτων Cc 122 τρισσοφεγγεῖ cdd. ἐνδεδυμένα] ἐνδεδειγμένα N

τρανοῖς γὰρ ὄντως Πνεύματος θείαν φύσιν
Υἱῷ τε καὶ τῷ Πατρὶ συντεταγμένην·
ἐξ οὐρανοῦ γὰρ ἔσχες ἄφθονον χάριν.

Μόνος τὸ κάλλος εὐπορήσας τῶν λόγων
στολισμὸς ὤφθης τῆς ὅλης ἐκκλησίας·
χάρις γὰρ ἦν τις συλλαλοῦσά σοι, πάτερ,
καὶ πάντοθεν τὸ τερπνὸν εἰσηγουμένη,
δι' ἧς με καὶ νῦν σῶζε, χρύσεον στόμα.

θεοτ. Μόνη γυναικῶν παρθενεύεις ἐκ τόκου·
Θεὸς γὰρ ἐκ σοῦ σὰρξ προελθών, παρθένε,
ἁγνὴν φυλάττει καὶ τελεῖ σε μητέρα·
ἀλλ' αὐτὸν ὡς πλαστουργὸν ἱλεουμένη
τοὺς οἰκέτας σου σῶζε πάσης ἐκ βλάβης.

.298ᵛ (302ᵛ) ᾠδὴ θ'. *Χαίροις, ἄνασσα, μητροπάρθενον κλέος*

Ἄλλος πέφηνας Ἀβραὰμ κατ' ἀξίαν·
ψυχὴν γὰρ ἐξέθυσας ἐκ λόγου δίκην
καὶ πίστιν ἐτράνωσας ἀρραγεστάτην,
τὰς αἱρέσεις δὲ χοῦν ἔδειξας, παμμάκαρ,
καὶ φῶς ἔλαμψας τῇ κτίσει, Χρυσόστομε.

Κλέος δέδειξαι τῆς σοφῆς ἐκκλησίας,
ὡς Παῦλος ὁ κράτιστος ἐν διδασκάλοις,
βροντῆς δὲ τὸν μέγιστον υἱόν, παμμάκαρ,
ἐξιχνιάζεις νοῦν ἔχων φαεσφόρων,
μεθ' ὧν πόθῳ σε καὶ φόβῳ γεραίρομεν.

Αἶνον πλέκοντες εὐτελῶν ἐκ χειλέων
ἅπαντες ὡς δώρημα μικρὸν ἐκ πόθου
προσήξαμεν μάλιστα τοῖς σοῖς λειψάνοις,

124 τῷ om. N συντεταγμένη cdd. 126 τῶν] τὸν N 128 ἣν cdd. 129 εἰσαγομένη N 130 χρυσέον N 135 πάσης ἐκ] ἐκ πάσης N heirm. θ' EE 99, n. 140, Joannis 137 γὰρ om. N 138 ἀρραγεστάτην] ἀρευστοτάτην N 141 δέδειξε cdd. 144 ἐξαχνιάζης N φαεσφόρον N 145 γεραίρωμεν N

ὅπως τύχοιμεν ὧν βρύεις ἰαμάτων,
ἐξ ὧν κάθαρσιν πταισμάτων ἐλπίζομεν.

θεοτ. Ῥῦσαι, πάναγνε, δυσμενῶν ἐξ ἐλπίδος
καὶ σῶζε καὶ φρούρησον ἣν σκέπεις πόλιν·
f. 299 (303) ἐν σοὶ γὰρ ἐκτέθεικε πᾶσαν ἐλ||πίδα
καὶ σὲ κρατοῦσα πίστεως βακτηρίαν
πρὸς φῶς βλέπει τε καὶ τρίβον σωτήριον.

149 ὧν] ὃν Cc 150 ἐλπίζωμεν N 152 σκέπης Cc

IN SANCTUM PHILIPPUM APOSTOLUM

Synaxarium, 221-222: Μνήμη τοῦ ἁγίου καὶ πανευφήμου ἀποστόλου Φιλίππου, ἑνὸς τῶν δώδεκα. Πολὺς δὲ ὢν ταῖς βίβλοις τῶν προφητῶν προσκείμενος, παρθένος διὰ βίου παντὸς ἐγνωρίζετο. Τοῦτον εὑρὼν ὁ Χριστὸς μετὰ τὸ βάπτισμα ἐν τῇ Γαλιλαίᾳ, προετρέπετο ἀκολουθεῖν. Ὁ δὲ μετὰ τοῦτο συντυχὼν τῷ Ναθαναὴλ ἔφη· « Εὑρήκαμεν Ἰησοῦν τὸν υἱὸν Ἰωσὴφ τὸν ἀπὸ Ναζαρέτ ». Οὗτος μετὰ τὴν ἀνάληψιν τοῦ Κυρίου τὴν Ἀσιάτιδα γῆν κληρωθεὶς ἐπὶ Τραϊανοῦ τοῦ βασιλέως παρεγένετο καὶ εἰς Ὀφιορύμην, ἥτις ἐστὶν νῦν Ἱεράπολις, μετὰ Μαριάμνης τῆς ἀδελφῆς αὐτοῦ καὶ Βαρθολομαίου τοῦ ἀποστόλου, διδάσκων τὸν λόγον τοῦ Χριστοῦ καὶ πείθων τοὺς ἀπίστους ἀποστῆναι ἀπὸ τῆς πλάνης τῶν εἰδώλων· εἶχον γὰρ ὡς θεὸν τὴν ἔχιδναν. Πολλοὶ δὲ ἐπίστευσαν, ἐν οἷς ἦν καὶ Νικάνωρα γυνὴ τοῦ ἀνθυπάτου τοῦ καὶ τιμωρήσαντος αὐτούς. Διαφόροις δὲ τιμωρίαις καθυποβληθείς, ἀναρτᾶται κατὰ κεφαλῆς ἐπὶ ξύλου, ἅμα Βαρθολομαίῳ τῷ ἀποστόλῳ, τὰ αὐτὰ καὶ αὐτῷ πάσχοντι. Κρεμαμένου δὲ τοῦ Φιλίππου καὶ προσευχομένου, ἐξαίφνης ἠνοίχθη ἡ γῆ καὶ κατέπιε τοὺς ἐν Ἱεραπόλει ἀθέους καὶ τὸν ἀνθύπατον καὶ τὴν ἔχιδναν καὶ τοὺς ἱερεῖς αὐτῆς· εἶτα διὰ Χριστοῦ ἀνήχθησαν πλὴν τοῦ ἀνθυπάτου καὶ τῆς ἐχίδνης καὶ λύουσι μὲν τὸν Βαρθολομαῖον. Ὁ Φίλιππος δὲ τούτους ἐπέσχε τῆς πρὸς αὐτὸν ἐγχειρήσεως καὶ ἐν αὐτῷ τῷ ξύλῳ ἐτελειώθη.

Mess. gr. 135 = N, ff. 184(188)-188(192)

Ὁ κανών.

Ἦχος γ'.

ᾠδὴ α'. *Ἄσωμεν τῷ Κυρίῳ τῷ ποιήσαντι*

Ἄσωμεν τῷ Κυρίῳ τῷ φαιδρύναντι
τοῦ ἀποστόλου σήμερον
τὴν φωτοφόρον μνήμην
ἀκτῖνας ἐκλάμπουσαν

heirm. α' EE 78, n. 111, Germani; heirmos totius canonis integros praebet cd.

παραδόξων θαυμάτων
καὶ ψυχὰς καταυγάζουσαν
τῶν πίστει ἐκτελούντων αὐτήν·
ἐνδόξως ⟨γὰρ δεδόξασται⟩.

Τῷ μυστικῷ καλάμῳ τῆς νοητῆς ἁλιείας
ὁ ἱερὸς ἀπόστολος
τὰ ἔθνη προσκαλεῖται
ἁπλώσας τὰ δίκτυα
f. 184v (188v) ‖ τοῦ εὐαγγελίου,
ἐν οἷς ἐσαγηνεύθημεν
οἱ ἐν πελάγει πλάνης ποτὲ
τοῦ βίου θαλαττεύοντες.

θεοτ. * Ὑμνοῦμέν σε, παρθένε θεοτόκε ἁγνή,
χερουβικὸν ὄχημα,
ἐξ ἧς Θεὸς ἐτέχθη·
σὺ γὰρ μόνη γέγονας
πηγὴ ἀφθαρσίας
πηγάζουσα πᾶσι ζωήν,
ἀφ' ἧς οἱ ἀρυόμενοι
ἰάματα λαμβάνομεν.

ᾠδὴ γ'. *Στερέωσον, Κύριε,*
τὰς καρδίας ἡμῶν

Ὁ ἱερὸς Φίλιππος
ὡς ἰχθύας ἡμᾶς
ἐκ τοῦ βυθοῦ σαγηνεύσας τῆς πλάνης
τῇ θεομύστῳ τοῦ Χριστοῦ
ἀναφέρει τραπέζῃ.

Ὁ ἱερὸς Φίλιππος,
ὁ Χριστοῦ μαθητής,

8 post ἐνδόξως orat. intermittit cd. 9 ἁλίας 17-24 θεοτ. MR V, 10; cfr. etiam AHG V, 312 23 οἱ om. cd. 24 λαμβάνωμεν
heirm. γ' EE 75, n. 107, Andreae

ἐξ ἁλιέων καὶ πάλιν ἁλιεύς,
ὥσπερ ἰχθύας τῶν ἐθνῶν
f. 185 (189) σαγη||νεύει τὰ ἔθνη.

θεοτ. Ὑμνήσωμεν τὴν ἄχραντον
ὡς μητέρα Θεοῦ,
ὅτι ἐβλάστησεν ἐξ αὐτῆς ὁ λυτρωτής,
ὃν ὑμνεῖ τὰ Χερουβὶμ
καὶ δοξάζει Σεραφίμ.

ᾠδὴ δ'. *Τὴν ἀκοήν σου, Κύριε,*
εἰσακήκοα καὶ ἐφοβήθην

Τὴν ἱεράν σου, Φίλιππε,
μνήμην ἐπιτελοῦμεν, τὸ μύρον σου
τὸ πηγάζον τὴν εὐωδίαν
τὴν ἐκ τῆς λάρνακος προχεομένην,
ἀλλ' οὐκ ἐξαντλουμένην,
πιστῶς ἀρυόμενοι.

« Τί ἐρωτᾷς με, Φίλιππε,
λέγων· 'δεῖξον ἡμῖν τὸν πατέρα,; 'Ορᾷς με
τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα
καὶ τὸν πατέρα ἑώρακας ὄντως·
f. 185v (189v) ἐν ἐμοὶ γὰρ || ὁρᾶται
καὶ μένει ἀόρατος ».

θεοτ. Ὡς λιμένα εὔδιον
καὶ ἐλπίδα ἡμῶν σε ὑμνοῦμεν, πανάχραντε
θεοτόκε, μήτηρ ἁγία
τοῦ κατὰ σάρκα ἐκ σοῦ γεννηθέντος
βασιλέως τῆς δόξης
Χριστοῦ τοῦ Θεοῦ ἡμῶν.

35-39 θεοτ. cfr. in AHG VII, 34
heirm. δ' EE 79, n. 111, Germani 51 ἀόρατως 52-57 θεοτ. cfr. in AHG VII, 35

46-51 Joh. 14,8-10

ᾠδὴ ε'. *Τὴν σὴν εἰρήνην δὸς ἡμῖν*

Νυκτομαχοῦσαν, Φίλιππε,
τὴν ἀνθρωπότητα
ὁ τὴν ἀνθρώπων μορφὴν ἀναδεξάμενος
κατηύγασε τῷ φέγγει
τῆς ἐνθέου διδαχῆς
τῶν κηρυγμάτων σου.

Τὴν ἱεράν σου, Φίλιππε,
μνήμην δοξάζομεν·
βλύζει γὰρ πᾶσιν ἀεὶ πολλῶν θαυμάτων πηγὰς
f. 186 (190) || τὸ μύρον τὸ εὐῶδες·
διὸ πάντες τῶν παθῶν
ἐλευθερούμεθα.

θεοτ. * Τὴν ἐκ Δαβὶδ βλαστήσασαν
ἀνυμνήσωμεν,
ὡς τὸν υἱὸν τοῦ Θεοῦ συλλαβοῦσαν γαστρὶ
καὶ σαρκὶ τεκοῦσαν
καὶ μείνασαν παρθένον
μετὰ τόκον ἁγνήν.

ᾠδὴ ς'. *'Εβόησα*
ἐν στεναγμοῖς ἀσιγήτοις

Τὰ δίκτυα
τῆς Χριστοῦ εὐσπλαγχνίας,
οὐρανομύστα, ἐξαπλῶν
σαγηνεύεις ἐκ τοῦ βυθοῦ
τὰ πλανώμενα ἔθνη
ἐξ ἀπογνώσεως
εἰς ἐπίγνωσιν ἄγων.

---

heirm. ε' EE 78, n. 110, Germani 65 δοξάζωμεν 70-75 θεοτ. MR V, 11 72 ἐν γαστρὶ MR
heirm. ς' EE 79, n. 111, Germani

Ἡ μυστικὴ
τοῦ ἀποστόλου σαγήνη
διερευνῶσα ὡς βυθὸν
f. 186ᵛ (190ᵛ) τὰς θα||λάσσας τῶν ἐθνῶν
σαγηνεύει τοὺς πιστοὺς
εἰς τὸ οὐράνιον
καὶ βασίλειον δεῖπνον.

θεοτ. Θεός ἐστιν
ὁ τεχθεὶς ἐκ παρθένου
εἰς ἀναγέννησιν ἡμῶν
καὶ ἐφώτισεν ἡμᾶς
εἰς ἐπίγνωσιν αὐτοῦ
καὶ δοξάζομεν
τὴν αὐτοῦ εὐσπλαγχνίαν.

Κάθισμα.

Ἦχος πλ. δ'. *Τὴν σοφίαν τοῦ Λόγου*

Ὀμβροφόρος νεφέλη
....

f. 187 (191) ᾠδὴ ζ'. *Τρεῖς παῖδες ἐν || καμίνῳ*
τὴν τριάδα τυπώσαντες

Ἀπόστολε Κυρίου
καὶ αὐτόπτα καὶ σύνθρονε
καὶ τοῦ θανάτου κοινωνὲ
καὶ τοῦ βαπτίσματος αὐτοῦ,
ὅταν καθήσῃς εἰς κρίσιν,
τότε δυσώπησον αὐτὸν
τοῦ οἰκτειρῆσαι ἡμᾶς.

---

85 διερευνοῦσα 90-96 θεοτ. cfr. in AHG V, 319
Κάθ. MR II, 156
heirm. ζ' EE 79, n. 111, Germani

Τὸ ἔμπυρόν σου στόμα
καὶ ὁ νοῦς σου ὁ οὐράνιος
ἐπιστώσατο ἡμᾶς,
ὅτε ἠρώτας τὸν Χριστὸν
« δεῖξον ἡμῖν τὸν πατέρα »,
ὅτι ἰσότιμός ἐστιν
ὁ ζῶν Υἱὸς τῷ Πατρί.

θεοτ. * Ἐτέχθης ἐκ παρθένου
ὡς ηὐδόκησας, Κύριε,
καὶ ἐρρύσω ἐκ φθορᾶς
τὴν ζωὴν ἡμῶν·
διὰ τοῦτο βοῶμεν·
« εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

f. 187ᵛ (191ᵛ) ᾠδὴ η'. *Τὸν ἐν φλογὶ*
τοῖς παισὶ τῶν Ἑβραίων

Διαδραμὼν
εἰς τὸν σύμπαντα κόσμον
τῶν μαθητῶν ὁ χορός,
ἄλλος ἄλλοθι τρέχων
τοῦ σταυροῦ τὸ τρόπαιον
πανταχοῦ ἐκήρυττε
καὶ τῷ σταυρωθέντι
πόθῳ συνεσταυροῦτο.

Ὁ τὸν βυθὸν
ἐρευνῶν τοῖς δικτύοις,
νῦν δὲ τῇ γλώττῃ
καὶ τῷ εὐαγγελίῳ
ἐκζητῶν τὰ ἄρρητα,
ὁ θεόπτης Φίλιππος,

111-117 θεοτ. MR V, 12; cfr. etiam AHG V, 321 112 εὐδόκησας MR AHG
heirm. η' EE 78, n. 110, Germani 123 ἐκήρυττον

107-109 Joh. 14,8-10

πᾶσαν ἐκκαλύπτει
τὴν ἀπόκρυφον γνῶσιν.

θεοτ. Χαῖρε, σεμνή,
δυσανάβατον ὕψος
τοῖς τῶν βροτῶν ὀφθαλμοῖς·
χαῖρε ὄμμασι νόων
βάθος δυσθεώρητον·
χαῖρε, μήτηρ παρθένε
καὶ θεοκυῆτορ,
εὐλογημένη Μαρία.

f. 188 (192) ᾠδὴ θ'. *Σὲ τὴν ἀκατάφλεκτον βάτον*

Δόξης καὶ λαμπρότητος πλήρης
ἡ παροῦσα ἡμέρα·
εὐφρανθῶμεν, ἀδελφοί,
ἐπὶ τοῖς ἄθλοις
τοῦ ἐνδόξως ἡμᾶς
ἐν αὐτοῖς συγκαλέσαντος.

Ὅταν ἐπὶ δώδεκα θρόνων
σὺν Χριστῷ καθεσθῆτε
τὰς φυλὰς τοῦ Ἰσραὴλ
ἐν φόβῳ κρῖναι,
τότε μνήσθητε πάντων
ἡμῶν ὡς ἀπόστολοι.

θεοτ. * Χαῖρε τῶν εἰς σὲ προστρεχόντων
τὸ ἀπόρθητον τεῖχος·
χαῖρε εὔδιε λιμὴν
τῶν σὲ σεβόντων·
χαῖρε μήτηρ Χριστοῦ
τοῦ Θεοῦ ἀειπάρθενε.

---

132 ἐκκαλύπτων 134-141 θεοτ. cfr. in AHG VII, 40 et 84
heirm. θ' EE 79, n. 111, Germani 154-159 θεοτ. Pent[II], λζ'

148-151 Matth. 19,28

IN SANCTUM PHILIPPUM APOSTOLUM

Crypt. Δ.α. XIII = Cc, ff. 191v-195
Crypt. Δ.α. III = Cd, ff. 90v-93v
Vat. gr. 2 = V, ff. 116v-118

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Φίλιππον ὑμνῶ τὸν σοφὸν θηγόρον· Ἰωσήφ.

Ἦχος πλ. α'.

ᾠδὴ α'. *Ἵππον καὶ ἀναβάτην*

Φίλιππε θηγόρε,
Χριστοῦ ἀπόστολε,
φωτισμόν μοι παράσχου
φωτὸς ὑπάρχων ἔμπλεως
καὶ τὸ ἐπικείμενον τῇ ψυχῇ μου
δίωξον, δυσωπῶ σε, σκότος βαθύτατον.

Ἴθυνον πρὸς λιμένας
τῆς μετανοίας ἡμᾶς
ἁμαρτίας πελάγει
χειμαζομένους πάντοτε,
μακάριε Φίλιππε, ἵνα πόθῳ
πίστει ἀνευφημοῦντές σε μακαρίζωμεν.

Λάμποντες ὥσπερ δύο
φωστῆρες μέγιστοι

---

tit. nomen hymnographi Ἰωσήφ, in rubrica indicatum, e tropariorum litteris initialibus odes θ' deducitur
heirm. α' EE 131, n. 182, Joannis 4 ἔμπλεος Cd V 5 τὸ] τὸν V 7 λιμένα V 10 χειμαζόμενοι V 12 μακαρίζομεν Cc V

τῶν πιστῶν τὰς καρδίας
Βαρθολομαῖος πάντοτε
καὶ Φίλιππος χάριτι τοῦ ἁγίου
πνεύματος καταυγάζουσιν ὡς ἀπόστολοι.

θεοτ. Ἴθι μοι, παναγία
θεοχαρίτωτε,
βοηθὸς καὶ προστάτις
πρὸς τὸν Χριστὸν γενήθητι,
ὅπως με λυτρώσηται αἰωνίου
κρίσεως καὶ παντοίας βλάβης τοῦ ὄφεως.

f. 192 ᾠδὴ γ'. *Ὁ πήξας*
ἐπ' οὐδενὸς τὴν γῆν

Πυρίνην
ὡς ἀληθῶς τὴν γλῶσσαν κτησάμενοι
ὁ Βαρθολομαῖος καὶ θεῖος Φίλιππος
ὕλην ἀθεΐας πονηρὰν
ἐνέπρησαν καὶ φέγγος
θεογνωσίας πᾶσιν ἔλαμψαν,
οὓς ἐν εὐφροσύνῃ δοξάσωμεν.

(Cd, f. 91) ‖ Πηγάζει
διηνεκῶς ὁ τάφος σου, Φίλιππε,
εὐωδίας μύρα πνεύματος χάριτι
καὶ εὐωδιάζει τῶν πιστῶς
τιμώντων σε καρδίας
καὶ τὸ δυσῶδες τῶν παθῶν ἡμῶν
πάντοτε διώκει, πανεύφημε.

Οἱ ἅλες,
οἱ τῷ νοστίμῳ λόγῳ τῆς πίστεως
πλάνης σηπεδόνα ἀποκαθάραντες,
ὁ Βαρθολομαῖος ὁ σοφὸς

---

19 Ἴθι] Ἴθυ Cc Ἴθη V 22 Χριστὸν] Θεὸν Cc heirm. γ' EE 131, n. 182, Joannis 26 κτησάμενος V 29 ἐνέπρισαν Cc 38 διώκεις V

καὶ Φίλιππος ὁ μέγας
καὶ Μαριάμνη ἡ θεόπνευστος
ὕμνοις ἱεροῖς εὐφημείσθωσαν.

θεοτ. Νοός μου
τὰς ἐκτροπὰς καὶ πάθη τοῦ σώματος
καὶ ψυχῆς τὰς νόσους, ἁγνή, θεράπευσον
καὶ πρὸς τὰς ὁδοὺς τὰς ἀγαθὰς
ἐμβίβασόν με, ὅπως
τὸ τοῦ Θεοῦ ποιήσας θέλημα
εὕροιμι ζωὴν τὴν αἰώνιον.

Κάθισμα.

f. 192v Ἦχος πλ. δ'. *Τὴν σοφίαν τοῦ Λόγου*

Τῶν δογμάτων τὰ ὕψη θείων βροντῶν
ἀρετῶν τε τὰ κράτη λάμπων φαιδρῶς
κατ' ἄμφω ἐξέπληξας
τὸν περίγειον κόσμον
θεολογίαις κρατύνων
τὴν πίστιν ἀσάλευτον,
θαυματουργέ, σφραγίζων
τὴν πρᾶξιν ἀκλόνητον·
ὅθεν καὶ τὸν δρόμον
ἐξαισίως ἐτέλεσας,
τῆς νίκης τὸν στέφανον
ἀνεδήσω ὑπέρλαμπρον·
ἀπόστολε Φίλιππε,
πρέσβευε Χριστῷ τῷ Θεῷ
τῶν πταισμάτων ⟨ἄφεσιν δωρήσασθαι
τοῖς ἑορτάζουσι πόθῳ
τὴν ἁγίαν μνήμην σου⟩.

---

50 ἐνβίβασον Cc 52 εὕροιμοι Cd duo priora καθίσματα tantum Cc praebet; eadem in cd. Paris. gr. 259, f. 140 (= Pa) invenies; Cd autem tertium κάθ. profert, quod invenies in PaR, 671 in omnes Apostolos dicatum; post haec folium cecidit in Cc, quamobrem vv. 53-106 desunt

heirm. καθ. MR I, 68 1 θείως Pa βροντῶν scripsi: βροτῶν cdd.: fort. scribendum κροτῶν 2 τῷ κράτει Pa 7 θαυματουργίαις Pa 10 ἐξαισίως] θεαρέστος Pa 15 post πταισμάτων orat. intermittunt cdd.

Ἕτερον ὅμοιον.

Τὴν δωρεὰν τοῦ Κυρίου ἐξ οὐρανοῦ
εἰληφὼς καὶ τὴν γνῶσιν τὴν θεϊκήν,
τὰ ἔθνη ἐσαγήνευσας
τῇ δυνάμει τοῦ πνεύματος,
τῶν προφητῶν τὰ ῥήματα
σαφῶς διηγόρευσας
ὡς ἀμνὸς ἐναντίον
τοῦ κείραντος ἄφωνος·
ὅθεν καὶ ἐν ὕδασιν
ἐπιβὰς τοὺς ἐν σκότει
φωτίσας ἐδίδαξας
ἀνυμνεῖν τὴν Τριάδα·
ἀπόστολε Φίλιππε,
πρέσβευε ⟨Χριστῷ τῷ Θεῷ
τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι
τοῖς ἑορτάζουσι πόθῳ
τὴν ἁγίαν μνήμην σου⟩.

Ἕτερον.

Εἰς τὰ πέρατα πάντα διαδραμὼν
. . . .

ᾠδὴ δ′. *Τὴν θείαν ἐννοήσας σου κένωσιν*

Ὑμᾶς καθάπερ ἵππους ὁ Κύριος
ἐν τῇ θαλάσσῃ μυστικῶς
τῆς οἰκουμένης, ἀπόστολοι,
διαβιβάζει τῆς πλάνης
πικρότατα ταράσσοντας ὕδατα.

Μακάριος ὁ Φίλιππος πέφυκε·
(Cd, f. 91v) τοῦ μακαρίου ‖ γὰρ Θεοῦ

heirm. δ′ EE 131, n. 182, Joannis 56 ἐπιβιβάζει Cd
κάθ. ἕτερον PaR, 671 8 κήραντος Pa 10 ἐπιβὰς] εὐσεβῶς Pa
14 post πρέσβευε orat. detruncant cdd.

κάθ. (β′) 7-8 Is. 53,7; Act. 8,32 53-57 Hab. 3,15

πιστὸς ἐδείχθη διάκονος
καὶ διασώζει κινδύνων
τοὺς τοῦτον εὐσεβῶς μακαρίζοντας.

Ναμάτων ζωορρύτων ἀνάπλεοι
ὄντες, ἀπόστολοι Χριστοῦ,
τὴν οἰκουμένην ἠρδεύσατε
καὶ τοὺς τῆς πλάνης χειμάρρους,
θεόπται, παντελῶς ἐξηράνατε.

θεοτ. Ὡς ἔμψυχον Κυρίου παλάτιον
καὶ τῶν πιστῶν καταφυγὴν
καὶ βοηθὸν τοῖς ἐν θλίψεσι
καὶ ἀπλανῆ ὁδηγίαν
τὴν κεχαριτωμένην ὑμνήσωμεν.

ᾠδὴ ε′. *Ὁ ἀναβαλλόμενος*
φῶς ὡς ἱμάτιον

Τὸν ἀπειροδύναμον
εἰς συμμαχίαν καλῶν
τοὺς λύκους ἄρνας
ἐνθέῳ λόγῳ
ἀπειργάσω, Φίλιππε,
ὡς Χριστοῦ ἀρνίον
τοῦ μόνου ἀρχιποίμενος.

Οἱ θεοειδέστατοι
Χριστοῦ ἀπόστολοι,
Βαρθολομαῖος
ὁ θεηγόρος
καὶ ὁ μέγας Φίλιππος,
ἀστραπαῖς τῶν λόγων
τὸν κόσμον κατεφώτισαν.

65 ἀρδεύετε Cd 69 καταφυγῇ V 70 τοῖς] τῶν Cd
heirm. ε′ EE 131, n. 182, Joannis 73 ἀπειροδύναμον] ἀπεριόριστον V
74 καλὸν V 78 ἀρνία V

75-77 Matth. 10,16; Luc. 10,3

Νῦν καθικετεύσατε
τὸν πανοικτίρμονα
Θεὸν τῶν ὅλων
ἡμᾶς ῥυσθῆναι
κινδύνων καὶ θλίψεων
καὶ ἐχθροῦ παγίδων,
ἀπόστολοι μακάριοι.

θεοτ. Σὲ τὴν τὸν πανάγαθον
τεκοῦσαν Κύριον
ἐκδυσωποῦμεν,
θεογεννῆτορ·
ἀγαθὴ ὑπάρχουσα
πάσης τὸν λαόν σου
ἐξάρπασον κακώσεως.

ᾠδὴ ς'. *Μαινομένην κλύδωνι*

Οὐρανὸς κατάστερος
θαυμασίοις
ὤφθης φοβεροῖς
τοῦ Θεοῦ τὴν δόξαν διηγούμενος
ὡς ἀληθῶς,
θεομακάριστε Φίλιππε.

f. 193 (Cd, f. 92) ‖ Φεγγοβόλοις λάμψεσι
διδαγμάτων
σκότος τὸ βαθὺ
τῆς σοφίας ῥώμῃ διελύσατε,
φωταγωγοὶ
τῶν καρδιῶν ἡμῶν ἔνδοξοι.

Ὁ θεόπτης Φίλιππος
εὐφημείσθω
ὕμνοις ἱεροῖς

---

89 Θεὸν τῶν ὅλων] ἐθνῶν ἀθέων Cd 97 θεογεννήτωρ V θεοκυῆτορ Cd 98 ἀγαθῆ V 100 κακώσεως ἐξάρπασον Cd
heirm. ς' EE 131, n. 182, Joannis 103 φοβερὸς V 110 τῆς σοφίας ῥώμῃ] τῇ σοφίᾳ θεῖοι V

καὶ Βαρθολομαῖος ὁ πανεύφημος,
οἱ βοηθοὶ
τῶν ἐν κινδύνοις καὶ θλίψεσιν.

θεοτ. Νοητὴν λυχνίαν σε
ὁ προφήτης
βλέπει ἀληθῶς
κεκτημένην, ἄχραντε, λαμπάδιον,
τὸν φωτισμὸν
καὶ ἱλασμὸν τῶν ψυχῶν ἡμῶν.

Κοντάκιον.

Ἦχος δ'. *Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ*

Ὃν οἱ προφῆται καὶ Μωσῆς ἐν τῷ νόμῳ
f. 193v ....

Ὁ οἶκος. *Τῇ Γαλιλαίᾳ τῶν ἐθνῶν*

Περιφερόμενος τὸν νοῦν
....

(Cd, f. 92v) ᾠδὴ ζ'. *Ὁ ὑπερυψούμενος*

Θαύμασιν ἐπίστωσας,
θεηγόρε Φίλιππε,
καὶ λόγοις τοὺς ἄφρονας
Τριάδα τὴν ἄκτιστον
εἰδέναι καὶ κραυγάζειν·
« ὁ Θεὸς εὐλογητὸς εἶ ».

Κοντ. PAS I, 666 οἶκ. PAS I, LVII Cd secundum οἶκ. praebet, qui inc. Ὁ ἐκ παρθένου σαρκωθεὶς PAS I, LVIII
heirm. ζ' EE 131, n. 182, Joannis

119-122 Zac. 4,2

Ἔθνη διασκέδασον
καθ᾽ ἡμῶν κινούμενα
ταῖς σαῖς παρακλήσεσι,
μακάριε Φίλιππε,
καὶ πάσης ἡμᾶς ἄλλης
ἐξελοῦ θεομηνίας.

Ἤγειραν κηρύττοντες
Χριστοῦ τὴν ἀνάστασιν
ἐκ τάφου νεκρώσεως
τοὺς πάλαι παράφρονας
f. 194 Φίλιπ‖πος καὶ ὁ μέγας
ἀληθῶς Βαρθολομαῖος.

θεοτ. Γλώσσῃ καὶ καρδίᾳ σε
κηρύττω, πανάμωμε·
Θεὸν γὰρ ἀθάνατον
ἔτεκες, πανύμνητε,
ᾧ πάντες μελῳδοῦμεν·
« ὁ Θεὸς εὐλογητὸς εἶ ».

ᾠδὴ η΄. *Σοὶ τῷ παντουργῷ*

Ὄμβροις διδαχῶν
κεχερσωμένας φρένας
πλουσίως ἠρδεύσατε
καὶ καρποφόρους αὐτάς,
θεῖοι τοῦ λόγου,
εἰργάσασθε, αὐτόπται·
ὅθεν καταχρέως
ὑμᾶς ἀνευφημοῦμεν.

(Cd, f. 93) ‖ Ῥήματα ζωῆς
ἐκ ζωηρῶν ταμείων
προφέροντες, ἔνδοξοι,

145-146 θεοτόκον (-κε V) ἔτεκες / Θεὸν γὰρ ἀθάνατον Cd V heirm. η΄ EE 131, n. 182, Joannis 150 καὶ χερσωμένας V 154 εἰργάσασθαι Cc V 158 ταμιείων Cd 159 προσφέροντες Cc

τοὺς νεκρωθέντας τὸ πρὶν
ὄφεως πλάνου
τῷ δήγματι ἰᾶσθε
καὶ ζωῆς μελλούσης
ἐργάζεσθε μετόχους.

Ὅλην τὴν αὐγὴν
τοῦ παρακλήτου ἤδη
χωρήσαντες, πάνσοφοι,
ὅλην τῆς πλάνης ἀχλὺν
φέγγει τοῦ λόγου·
ἐλύσατε καὶ ὅλων
ὤφθητε ἀνθρώπων
ἀκοίμητοι φωστῆρες.

θεοτ. Νέον ἐπὶ γῆς
τὸν πρὸ αἰώνων βρέφος,
παρθένε, ἐκύησας
νεοποιοῦντα ἡμᾶς
πάλαι κακίᾳ
δεινῶς παλαιωθέντας·
ὅθεν σε ὑμνοῦμεν,
ἁγνή, εἰς τοὺς αἰῶνας.

f. 194v ᾠδὴ θ΄. *Ἡσαΐα, χόρευε*

Ἱεροῖς σε ᾄσμασιν
εὐφημοῦμεν, Φίλιππε, πιστῶς
κυκλοῦντές σου τὴν σορόν,
ὥσπερ κιβωτὸν
σεπτοῦ ἁγιάσματος,
ἐξ ἧς ἡμῖν βλύζεις ποταμοὺς
θείων ἰάσεων
καὶ εὐώδη μύρα πάντοτε.

160 τὸ πρὶν] ἡμᾶς V 162 δείγματι V ἰᾶσθαι Cc 164 ἐργάζεσθαι Cc 170 ἐλύσατε] ἐλάμψατε Cd ὅλων] ὅλοι V 171 ὤφθηται V 177 κακίας Cc heirm. θ΄ EE 131, n. 182, Joannis 181 σε ᾄσμασιν] σεβάσμασιν V 183 σωρὸν Cd V 186 βλύζει ποταμὸς V 188 εὐωδεῖ V

Ὡς ἐργάται φέροντες
ἐπ' αὐχένος τίμιον ζυγὸν
ἀρότρῳ τῷ τοῦ σταυροῦ
φρένας δυσσεβῶν,
σοφοί, ἐνεώσατε
καὶ τοῦ λόγου σπόρον μυστικὸν
καταβαλόμενοι
θεῖον στάχυν ἐθερίσατε.

Σέ, Θεὲ φιλάνθρωπε,
δυσωποῦμεν, οἴκτειρον ἡμᾶς
Βαρθολομαίου λιταῖς
τοῦ πανευκλεοῦς,
Φιλίππου δεήσεσι
τοῦ μαθητοῦ τε καὶ μιμητοῦ
καὶ παρακλήσεσι
Μαριάμνης τῆς θεόφρονος.

Ἤδη τὰ οὐράνια
κατοικοῦντες, Λόγου μαθηταί,
(Cd, f. 93v) καὶ ‖ σὺν ἀγγέλοις Χριστῷ
τῷ παμβασιλεῖ
φαιδρῶς παριστάμενοι,
τῶν δυσχερῶν ῥύσασθε ἡμᾶς
καὶ παραπτώσεων
καὶ παντοίων περιστάσεων.

θεοτ. Φύλαξον τοὺς δούλους σου,
παναγία ἄχραντε ἁγνή,
f. 195 ‖ ἀτρώτους ἐκ τῶν βελῶν
πάντων τοῦ ἐχθροῦ
καὶ θραῦσον φρυάγματα
τῶν τῆς Ἄγαρ πάντων δυσμενῶν,
ὅπως ἐν πίστει σε,
θεοτόκε, μακαρίζωμεν.

---

190 αὐχένας V 191 τῷ om. Cd 202 τε] σοῦ V 210 ῥύσασθαι Cc V 211 καὶ παραπτώσεων] πάσης κακώσεως V 220 μακαρίζομεν Cc Cd μεγ(αλύνωμεν) V

IN SANCTUM GREGORIUM THAUMATURGUM EPISCOPUM NEOCAESARIENSEM

Synaxarium, 229-232: Γρηγορίου τοῦ θαυματουργοῦ ἐπισκόπου Νεοκαισαρείας. Οὗτος ὑπῆρχεν ἐπὶ Αὐρηλιανοῦ τοῦ βασιλέως ἐξ ἑλλήνων γεννηθείς· τῇ δὲ τῶν κρειττόνων μερίδι εὐθὺς ἐξ ἀρχῆς προσθεὶς ἑαυτόν, τὴν ἀληθῆ καὶ κατὰ Χριστὸν πίστιν ἐπέγνω· καὶ προϊούσης τῆς ἡλικίας ⟨τὸ⟩ τῆς εὐσεβείας αὐτῷ συνηυξάνετο· μεγέθει δὲ καὶ πλήθει θαυμάτων ἃ κατειργάσατο τὸ ἐπώνυμον ἔσχεν ὃ λέγεται. Ἔτι γὰρ ἐν τῇ σχολῇ συνήθως φοιτῶν ἐν Ἀλεξανδρείᾳ καὶ παιδείας μεταλαμβάνων τῆς κατὰ φιλοσοφίαν, ἑταιρικὸν γύναιον ἐξ οἰκήματος ἐπὶ διαβολῇ αὐτοῦ προσελθὸν καὶ δαίμονι διὰ τὴν συκοφαντίαν ληφθὲν καὶ εἰς γῆν σπαραττόμενον ἰάσατο διὰ προσευχῆς· καὶ τὴν Θεοτόκον ἅμα Ἰωάννῃ τῷ θεολόγῳ εἶδεν μυοῦντας αὐτὸν τὸ τῆς Τριάδος μυστήριον, καὶ μετὰ τὸ ἐπίσκοπος χειροτονηθῆναι παρὰ Φαιδίμου τοῦ τῆς Ἀμασείας προέδρου, ἐν τῷ ἀπιέναι πρὸς τὴν λαχοῦσαν ἐκκλησίαν καὶ μετὰ τὸ ἀπελθεῖν, ἀκοῆς ἀνώτερα καὶ μείζονα πίστεως πεποιηκέναι λέγεται. Λίθον γὰρ βουνῷ παραπλήσιον διὰ προσευχῆς ἐκίνησε καὶ πρὸς ἕτερον μετήγαγε μέρος· ἔνθα καὶ τὸν νεωκόρον, ὅθεν διὰ προστάγματος τοῦ ἁγίου τὰ δαιμόνια ἐξῆλθεν καὶ πάλιν εἰσῆλθεν, ἐφειλκύσατο πρὸς τὴν πίστιν· καὶ λίμνην θαλάσσῃ κυμαίνουσαν ἴσα, μίαν νύκτα διακαρτερήσας ἐν προσευχῇ, ἄνικμον καὶ χέρσον ἀπέδειξε, τῶν δύο ἀδελφῶν τῶν ἀντιποιουμένων τῆς λίμνης τὸν κατ' ἀλλήλων συναποξηράνας θυμόν, πολεμικῶς καὶ ἀδιαλλάκτως ἐχόντων. Ἔτι δὲ καὶ τοῦ ποταμοῦ τὴν ἐπὶ τὰ πρόσω φορὰν ἐπέσχε, τῶν προσοίκων αὐτοῦ δεηθέντων, κατὰ τῆς διαβρόχου γῆς καὶ ὀμβρώδους ἐρείσας τὴν βακτηρίαν καὶ προσθεὶς τῷ θαύματι θαῦμα· τότε γὰρ ῥεῖθρον ὁρᾶται ἀναχαιτιζόμενον ὥσπερ δεδοικὸς προσψαῦσαι τῇ ῥάβδῳ· καὶ ἡ ῥάβδος οὖσα ἤδη ξηρὰ καὶ τῆς φυσικῆς ὑγρότητος ἄμοιρος, εἰς εὐθαλὲς ἐγένετο δένδρον· καὶ οὐδὲ ὁ χρόνος λύμη τῷ θαύματι γέγονεν· ἀλλὰ καὶ νῦν, ὥς φασι, τοῦ ποταμοῦ τὴν εἰς τὸ ἔμπροσθεν φεύγοντος πρόοδον καὶ τοῦ δένδρου τοσούτοις ἐξαρκοῦντος ἔτεσι, ἡ ἐν Θεῷ δύναμις τοῦ μεγάλου Γρηγορίου κηρύττεται. Καὶ πρὸς τούτοις ὁ ὑποκριθεὶς Ἑβραῖος τὸν νεκρὸν ἐν ὑπτίῳ καὶ ἐκτεταμένῳ σχήματι αὐτὸ τοῦτο διὰ τῆς αὐτοῦ προσευχῆς κατὰ ἀλήθειαν γέγονεν ὅπερ ἐσχηματίζετο. Ἐνομίσθη δέ ποτε καὶ ἐν τῷ ὄρει ἑστὼς καὶ προσευχόμενος τοῖς διώκουσι δένδρον· καὶ λοιμὸν τοῖς ἀπίστοις ἐπήγαγε καὶ προσελθοῦσι τῇ πίστει τοῦ θανάτου ἀπήλλαξεν. Ἐν δὲ τῷ μέλλειν πρὸς Κύριον ἐκδημεῖν, εὐχαριστηρίους ἀφῆκε φωνάς, ὅτι τὴν πολυάνθρωπον πόλιν καὶ τοσοῦτον τῇ ἀπιστίᾳ πλήθουσαν ἐπὶ τῆς ἐναντίας τάξεως καταλέλοιπεν· ὅσους γὰρ εὗρε τοὺς παραδεξαμένους τὴν πίστιν, τοσούτους τοὺς παραμεμενηκότας τῇ ἀπιστίᾳ καταλέλοιπεν.

Crypt. Δ.α. XIII = Cc, ff. 207-211

⟨῾Ο κανὼν φέρων ἀκροστιχίδα·
Γρηγόριον μελέεσσι λιγυφθόγγοισσι γεραίρω.

(᾿Εν τοῖς τριαδικοῖς· ταπεινὸ[ς] vel -νο[ῦ]).
(᾿Εν τοῖς θεοτοκίοις· Γρηγόριο[ς] vel -ρίο[υ]).

῏Ηχος δ΄.

ᾠδὴ α΄. *Γεώσας διάρροον*
φύσιν ὑδάτων, ἀγαθέ,
θεοπρεπῶς ὡδοποίησας
τρίβον, ἐκάλυψας δὲ
ἰσχὺν ὑπέροπλον
διαγαγὼν
πεζεύοντα πέλαγος
᾿Ισραηλίτην λαὸν
ᾠδὴν ἀναμέλποντα
τὴν ἐπινίκιον.

῾Ρ — —́ — — —́ — —
— — — —́ — — — —́
— — — —́ — — —́ — —
— — — —́ — (— —)
— — — —́ — —
— — — —́
— —́ — — —́ — —
— — — —́ — — —́
— —́ — — —́ — —
— — — —́ — — (—).

Η — —́ — — —́ — —
— — — —́ — — — —́
— — — —́ — — —́ — —

tit. deest, quia folium inter ff. 206-207 cecidit; nomen hymnographi Γρηγόριος e θεοτ. eiusdem adjectivum ταπεινὸς e τριαδ. primis litteris habeas
heirm. α΄ ΕΕ 115, n. 158, Georgii; heirmos omnes integros refert cd., qui autem, mutilus, vv. 1-40 nobis subtrahit

— — — —́ — (— —)
— — — —́ — —
— — — —́
— —́ — — —́ — —
— — — —́ — — —́
— —́ — — —́ — —
— — — —́ — — (—) .

Γ — —́ — — —́ — —
— — — —́ — — — —́
— — — —́ — — —́ — —
— — — —́ — (— —)
— — — —́ — —
— — — —́
— —́ — — —́ — —
— — — —́ — — —́
— —́ — — —́ — —
— — — —́ — — (—).

Ο — —́ — — —́ — —
— — — —́ — — — —́
— — — —́ — — —́ — —
— — — —́ — (— —)
— — — —́ — —
— — — —́
— —́ — — —́ — —
— — — —́ — — —́
— —́ — — —́ — —
— — — —́ — — (—)⟩.

τριαδ. ‖ Τὴν μίαν θεότητα
ἐν ὑποστάσεσι τρισὶ
θεολογοῦντες δοξάζομεν
Θεὸν Πατέρα,
Θεὸν Υἱὸν γεννητόν,
Θεὸν ὁμοῦ
τὸ Πνεῦμα τὸ ἅγιον
ἐκπορευτὸν ἐκ Πατρός,
οὐσίαν ὁμόδοξον
καὶ ὁμοδύναμον.

θεοτ. Γλῶσσα πᾶσα ἕλκεται
καὶ νοῦς, ἁγνή, ἀγωνιᾷ
ἀξιοχρέως ὑμνῆσαί σε·
ἐν σοὶ ὁ Λόγος
σὰρξ γὰρ ἐγένετο,
φύσει Θεὸς
ὑπάρχων συνάφραστος
Πατρὶ καὶ Πνεύματι,
οὐ φύρσιν, οὐ σύγχυσιν
οὐδὲ τροπὴν πεπονθώς.

ᾠδὴ γ'. *Ῥήματι*
ὁ φέρων τὰ σύμπαντα
τῆς σῆς ἰσχύος
καὶ οἰκονομῶν ἐν σοφίᾳ
καὶ κρίσει χρηστότητος
ἐν τῇ πέτρᾳ με
τῶν ἐντολῶν σου, σῶτερ, στερέωσον.

Ἰδοὺ δὴ
νεότητα κρείσσονα
πίονος γήρως,
ἣν ἐπιδεικνύμενος ὤφθη
ὁ ῥήτωρ ἐν ῥήτορσι
καὶ φιλόσοφος
ἐν φιλοσόφοις ὢν ὑπερκόσμιος.

Ὁ θεῖος
σεμνοῖς ἐνεσχόλαζε
παιδευτηρίοις·
φθόνου δὲ βληθέντες ἀνοίαις
δεινῶς οἱ ὁμήλικες
κατεπείγοντο
ταῖς ἑαυτῶν μωμῆσαι τὸν δίκαιον.

---

heirm. γ' EE 115, n. 158, Georgii
heirm. 3 τῇ σῇ ἰσχύι EE   73 κατεπήγοντο   74 ἑαυτὸν

54-55 Joh. 1,14   63 Ps. 91,15

Νέος ὢν
ἁγνὸς Ἰωσὴφ ὤφθη,
τούτου τι πλέον
ἔχων ἐν ἀτόμῳ τὴν δίκην
θεόθεν ὁ ἅγιος
τὴν ἀκόλαστον
ὡς δαιμονίῳ πλήξας ἰάσασθαι.

τριαδ. Ἄναρχον,
σεπτήν, τρισυπόστατον,
μίαν οὐσίαν
ἐν ἁγιασμοῖς θεοπνεύστοις
τρισὶ προσκυνήσωμεν
οἱ θεόφρονες
τὸν ἐν τριάδι πλοῦτον δοξάζοντες.

θεοτ. Ῥήματι
ἀσπόρως συνέλαβες
τὸν Θεὸν Λόγον
μείνασα ἁγνὴ ὡς πρὸ τόκου
καὶ μετὰ τὴν κύησιν·
διό, ἄχραντε,
σὺν τῷ ἀγγέλῳ 'χαῖρε, βοῶμέν σοι.

Κάθισμα.

Ἦχος γ'. *Θείας πίστεως*

(α') Νέος γέγονας Μωσῆς τοῖς ἔργοις
....

f. 207v || Ἄλλο.

Ἦχος πλ. δ'. *Τὸ προσταχθὲν*

(β') Ἱεραρχίας εὐσεβοῦς βίον ἐφαίδρυνας,
τὸν τοῦ Κυρίου ἀληθῶς λόγον κατέλαμψας

Καθ. α' MR II, 179
heirm. καθ. β' HR, 223

τοῖς ἀνθρώποις, Γρηγόριε,
τῇ ἀστραπῇ τοῦ πνεύματος
ἐκχέων τοὺς τῶν δογμάτων ὄμβρους τῇ γῇ
πανσόφως ἐγκατασπείρας ἤθη χρηστά·
ὅθεν πίστει λαμβάνοντες
τῆς γνώσεως τοὺς καρποὺς
γευσάμενοι ἐπέγνωμεν
θείας δόξης ἀπόλαυσιν.

ᾠδὴ δ'. *Μόνος φύσει ἅγιος*
εἶ καὶ ἀγαθός,
τῆς πατρῴας δόξης ἀπαύγασμα,
ὁ βουλήσει πτωχεύσας σαρκί,
ἵν' ἐγὼ πλουτήσω θεότητι
καὶ νικήσω τὴν φθορὰν
ἀφθαρσίας χρισθεὶς ὡραιότητι·
θαυμαστὰ τὰ ἔργα σου, Λόγε Θεοῦ,
καὶ πλήρη τὰ σύμπαντα
τῆς σῆς αἰνέσεως.

Ἔνθους καθιστάνομαι
ὡς ὑφ' ἡδονῆς
συνεπαίρομαι τοῖς σοῖς θαύμασι,
κἂν ἀξίως ὑμνεῖν ἀπορῶ
τὴν ἐν σοὶ τοῦ πνεύματος δύναμιν·
ὅμως, ὦ θαυματουργέ,
σὺ ἐν τόπῳ παντὶ τεθαυμάστωσαι
πυκασμῷ ἀστράψας φαιδρῶν ἀρετῶν
καὶ βλύζων ἰάματα
τοῖς ἐν τοῖς πέρασιν.

Λαμπτῆρα ἀκοίμητον
καὶ περικαλλῆ
ἐκκλησία πᾶσα σὲ κέκτηται
ἀπελαύνοντα πλάνης ἀχλὺν
τῷ φωτὶ τῆς ἄνωθεν γνώσεως

---

heirm. δ' EE 115, n. 158, Georgii
heirm. 9 πλήρης

καὶ δεικνύντα τηλαυγῶς
εὐσεβέσι ψυχαῖς ἐναστράπτουσα⟨ν⟩
τὴν σεπτὴν Τριάδα ἑνὶ φωτισμῷ
τρισί τε λαμπρότησι
τοῦ ἀπαυγάσματος.

Ἔρημος, εὐφήμησον!
ὁ γὰρ πολιστὴς
ἐπὶ σοὶ Γρηγόριος ᾤκησεν
ἑαυτῷ προσλαλεῖν καὶ Θεῷ,
ἡσυχίαν ἄγων ἐνάρετον
ἐν ψυχῇ βασιλικῇ
καὶ ἀΰλου νοὸς καθαρότητι·
ἐπαχθεῖς φροντίδα⟨ς⟩ ἐξέκλινε γὰρ
καὶ εὗρε κατάπαυσιν
ἐν ἀκηράτῳ ζωῇ.

Ἔνθεον ἐμφάνειαν
εἶδεν ὁ Μωσῆς·
τῆς νεφέλης εἴσω κεχώρηκεν·
ὑπεδέξατο νόμον γραπτόν,
f. 208 τὸν Θεὸν ‖ δακτύλῳ τυπούμενον·
ἀλλὰ σύ, θαυματουργέ,
ἠξιώθης τῆς κρείττονος χάριτος,
ἧς τὴν δόξαν ὄντως Μωσῆς καὶ πολλοὶ
ἰδεῖν ἐπεπόθησαν
οἱ προφητεύσαντες.

τριαδ. Πάντων ἡ Τριάς ἐστιν
ἄναρχος ἀρχή,

---

112 ἐναστράπτουσα 113 ἐνῇ 114 λαμπρότητι 123 ἐπαχθεὶς φροντίδα

116-125 PG 46, 908: ... ἑαυτὸν χωρίσας, ἐν ἐσχατιᾷ τινι ἑαυτῷ μόνῳ συνῆν, καὶ δι' ἑαυτοῦ τῷ Θεῷ, μικρὸν παντὸς τοῦ κόσμου καὶ τῶν ἐν αὐτῷ λόγον ποιούμενος, οὐ βασιλείας πολυπραγμονῶν ... ἀλλ' ὅπως ἂν ἡ ψυχὴ δι' ἀρετῆς τελειωθείη, τὴν φροντίδα ποιούμενος, ... καὶ τὰ ἐν αὐτῷ πράγματα χαίρειν ἐάσας ἄλλος τις οὗτος ἐν τοῖς καθ' ἡμᾶς χρόνοις Μωϋσῆς...

---

128 Ex. 24,18 129-130 Ex. 31,18

ὡς αἰτία πάντων ἀναίτιος,
ἡ πηγὴ τῆς ἀφθόνου ζωῆς
καὶ παντὸς νοὸς τηλαυγὴς φωτισμός,
ἐν ᾗ ζῶμεν ἀληθῶς
καὶ ἐσμὲν ἐν αὐτῇ καὶ κινούμεθα,
ἐξ ἑνὸς νοοῦντες αὐτῆς τὸ τρισσὸν
εἰς ἓν συναπτόμενον
σέβας τρισάγιον.

θεοτ. Ἥτις γυνὴ τέτοκε
τὴν παρθενικὴν
συντηρῆσαι ζώνην οὐκ ἴσχυσεν,
οὐδὲ σώζουσα ταύτην τεκεῖν·
ἀλλ' αὐτή, σεμνὴ μητροπάρθενε,
συλλαβοῦσα ἐν γαστρὶ
ὑπὲρ λόγον τὸν Λόγον ἐκύησας
πρὸ αἰώνων ὄντα Θεὸν ἐκ Θεοῦ
ἀνάρχου γεννήτορος
υἱὸν συνάναρχον.

ᾠδὴ ε'. *Σὺν τῷ προφήτῃ*
ἐκ νυκτὸς ὀρθρίζομεν,
ὁ Θεὸς τῆς εἰρήνης,
πρὸς τὴν σὴν ἀνέσπερον ἀγαθότητα·
ὅτι παρὰ σοὶ πηγὴ ζωῆς
ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Στέφος χαρίτων
ἀνεδήσω, ἅγιε,
διὰ τῆς πολιτείας,
ἧς ἐν γῇ ὡς ἄσαρκος πεπολίτευσαι·

---

150 αὐτῇ
heirm. ε' EE 115, n. 158, Georgii

141-145 PG 46, 921: ... μικρὸς ὑμῖν οἶκος εἶναι ὁ Θεὸς δοκεῖ, εἴπερ ἐν αὐτῷ ζῶμεν καὶ κινούμεθα καὶ ἐσμέν; ...

141-142 Act. 17,28

κρείττω⟨ν⟩ τῶν παθῶν ἐδείχθης γὰρ
τὸν χοῦν ἐνθέως τῷ πνεύματι δούς.

Ἱερωσύνης
Ἀαρὼν ὑπέρτερα
τὰ ἐν σοί, ἱεράρχα·
οὐ γὰρ ἐν σκιώδεσιν, ἀλλὰ χάριτι
τῇ ἀληθινῇ ἱερουργεῖν
ἐχρίσθης πνεύματι ὄντως Θεοῦ.

Λευχειμονοῦσα
πᾶσα πόλις σήμερον,
εὐφημεῖτε σὺν πόθῳ
τὸν πολύ⟨ν⟩ καὶ μέγαν ὄντως Γρηγόριον
ἐπὶ τῇ αὐτοῦ ἀειλαμπεῖ
καὶ θείᾳ μνήμῃ ἐνθέοις ᾠδαῖς.

τριαδ. Ἐν τῇ Τριάδι
ὡς οὐδὲν ἐπείσακτον,
οὐ τρεπτόν, οὐδὲ δοῦλον,
ἀλλ' ἐν ταυτότητι τῆς θεότητος·
εἷς γὰρ ὁ Θεὸς τῇ φύσει ὢν
ἐν ὑποστάσεσι νοεῖται τρισίν.

θεοτ. Γῆν σε ἁγίαν
ὁ Μωσῆς προέγραψε
τὴν θεόνυμφον κόρην,
κιβωτὸν Δαβὶδ δὲ τοῦ ἁγιάσματος,
f. 208v ἐν ᾗ ὁ Θεὸς || τὸ ἑαυτοῦ
ἐμοὶ παρέσχε λαβὼν τὸ ἐμόν.

---

160 κρείττω 171 πολὺ 172 ἀειλαμπῆ

174-179 PG 46, 913: Οὔτε οὖν κτιστόν τι ἢ δοῦλον ἐν τῇ τριάδι, οὔτε ἐπείσακτόν τι, ὡς πρότερον μὲν οὐχ ὑπάρχον, ὕστερον δὲ ὑπεισελθόν. Οὔτε οὖν ἐνέλιπέ ποτε Υἱὸς Πατρί, οὔτε Υἱῷ τὸ Πνεῦμα· καὶ ἀναλλοίωτος ἡ αὐτὴ τριὰς ἀεὶ ...

180-182 Ex. 3,5 183 Ps. 131,8

ᾠδὴ ς'. *Ἰησοῦ βασιλεῦ τῶν δυνάμεων,*
τὴν καταποθεῖσάν μου ψυχὴν
ὡς θηρὶ κατωτάτῳ τοῖς πάθεσι
τῆς φθορᾶς ἀναγαγὼν
ἀπαθείᾳ τῇ σῇ περιποίησαι·
πρὸς σὲ γάρ, παντοδύναμε,
ἐβόησα ἐν θλίψει μου.

Γνωστικοῖς ὀφθαλμοῖς προορώμενος
λόγον σε ἐπέχοντα ζωῆς
ὁ σοφὸς καὶ θαυμάσιος Φαίδιμος
τὸν ποιμένα τὸν καλὸν
ὡς ποιμὴν ἀληθὴς ἀνεκήρυττεν·
οὐκ ἔφερε γὰρ κρύπτεσθαι
τὸν θησαυρὸν τοῦ πνεύματος.

Ὑπὲρ νοῦν κατιδεῖν τὰ τῆς χρίσεως,
ὅπως διεστῶτες σαρκικοῖς
τῇ ψυχῇ συνηρμόζοντο πνεύματι·
καὶ γὰρ ἔχριε Θεῷ
ἱερεὺς ἱερέα οὐχ ὡς Σαμουὴλ
ἐλαίῳ τῷ τοῦ κέρατος
τῷ μύρῳ δὲ τοῦ πνεύματος.

Φωτισθεὶς ἀστραπῇ τῆς θεότητος
φῶς περὶ τὸ ποίμνιον παρῆν·
οὐ γὰρ πρότερον εἶξε τῷ χρίσματι
ὁ πολὺς θαυματουργός,
πρὶν θεόθεν αὐτῷ τὸ μυστήριον
τῆς πίστεως ἐν χάριτι
ὀφθῆναι τελεώτερον.

τριαδ. Ἱερώνυμε φύσις ἀέναε,
ἄναρχε Τριάς, εἷς ὁ Θεός,
ὁ Πατὴρ καὶ Υἱὸς σὺν τῷ Πνεύματι,

---

heirm. ς' EE 115, n. 158, Georgii   202 ἧξε

189-190 Joh. 10,11   197-198 I Regn. 16,13   204-205 I Tim. 3,9

τὰς φωνὰς τῶν ἱκετῶν
μὴ παρίδῃς ὡς φύσει φιλάνθρωπος,
ἀλλ' ἔπιδε καὶ δώρησαι
εἰρήνην ταῖς ψυχαῖς ἡμῶν.

θεοτ. Ὃν ἀσπόρως, παρθένε, συνέλαβες,
Κύριον τῆς δόξης καὶ Θεόν,
τὸν τὰ σύμπαντα φέροντα ῥήματι
ἱκετεύουσα ἀεὶ
τὴν ζωὴν ἐν εἰρήνῃ κυβέρνησον
ἡμῶν τῶν θεομήτορα,
ἁγνή, ὁμολογούντων σε.

Κοντάκιον.

Ἦχος α'. *Τὰ χρυσότατα τῆς καθαρᾶς σου γλώττης ἔπη*

(α') Ὁ κλεινότατος τῆς ἐκκλησίας στῦλος θεῖος,
τὸ περίδοξον τῶν ἱερέων μέγα κλέος,
θαυματουργίας κατεπλούτισας τὰ πέρατα
καὶ ἄλλος Μωσῆς τερατουργῶν ἀνεδείχθης
μετάγων λαοὺς τῆς τῶν εἰδώλων πλάνης
ἱεραρχῶν ὁ θαυματουργικώτατος·
ἀλλὰ τῷ Κυρίῳ ὑπὲρ ἡμῶν
ἀδιαλείπτως ἱκέτευε.

f. 209 ‖ ⟨Ὁ οἶκος.⟩

(α') Ἄγαν ἐρρύπωσα
ἔργῳ τε ἅμα καὶ λόγῳ·
ἀλλά μοι κάθαρον, Χριστέ,
καρδίας ὄμμα
ὑμνῆσαι ὥσπερ δεῖ τὸν ἱεράρχην σου Γρηγόριον,
τὸ κλέος τῶν ἱερῶν θαυμάτων,
ὧνπερ ἐν βίῳ ἐξήστραψε

---

216 ὡς τὰ σ. φέρων τῷ ῥ.   219 τὸν
heirm. κοντ. α' PAS I, 654   3 κατεπλούτησας   οἶκ. α' 5 δὴ

καὶ δογμάτων θεοπρεπῶν,
ὧνπερ τὴν ἐκκλησίαν Χριστοῦ
κατηγλαϊσμένος ὑπερφυῶς κατεκόσμησεν·
ἀλλὰ καὶ νῦν, ὦ θαυματουργέ,
μὴ ἐπιλάθῃ τοῦ σοῦ λαοῦ,
ἀλλὰ τῷ Κυρίῳ ὑπὲρ ἡμῶν
ἀδιαλείπτως ἱκέτευε.

Ἄλλο.

Ἦχος β'. *Τὰ ἄνω ζητῶν*

(β') Θαυμάτων πολλῶν
....

Ὁ οἶκος. *Τράνωσόν μου*

(β') Πόθεν ἀπάρξομαι τοὺς ἐπαίνους
....

Ἄλλο.

Ἦχος γ'. *Ἡ παρθένος σήμερον*

(γ') Ὁ πολὺς ἐν θαύμασι
....

Ὁ οἶκος. *Τὴν Ἐδὲμ Βηθλεὲμ*

(γ') Ἀρετῶν ἀστραπῇ
f. 209v ....

Ἕτερον κοντάκιον.

Ἦχος πλ. δ'. *Ὡς ἀπαρχὰς τῆς φύσεως*

(δ') Ὁ ἐν ἁγίοις ἅγιος
καὶ τῶν αἰώνων Κύριος,

κοντ. et οἶκ. β' MR II, 181 κοντ. et οἶκ. γ' PAS I, 608
heirm. κοντ. δ' PeR, 463

ὁ θαυμαστώσας
τὸν ἐν θαύμασι θαυματουργὸν Γρηγόριον,
τὰ ἐλέη σου, Λόγε,
ἐν ἡμῖν θαυμαστώσας τὴν ἐκκλησίαν σου
ἐν σοὶ ἀσάλευτον
ταῖς αὐτοῦ ἱκεσίαις
συντήρησον, πολυέλεε.

Ὁ οἶκος.

(δ') Γρηγορήσας τῷ λόγῳ τῆς χάριτος
ἐμυήθης τὰ θεῖα, μακάριε·
καθαγνίσας σαφῶς γὰρ τὸν βίον σου
καὶ παθῶν καταρδεύσας ἀκρότατα
τῆς παρθενίας ⟨— — —́ — —
— — —́ — — —́ — — — — —́ —
— — —́ — — —́ — — —́ — —
— — —́ — — —́ — — (—́) — (—́)
— — — — — — — — —́ —
συντήρησον, πολυέλεε⟩.

ᾠδὴ ζ'. *Θεολόγων παίδων τῷ στερρῷ*
πυρὸς ὑπεῖξε φύσις καὶ μετεβάλλετο·
οὐ προφλέγειν εἶχεν εὐσεβεῖς,
ἀλλ' ἀρρήτως δροσίζειν
ὡς διασυρίζοντι πνεύματι
τὸν αἰνετὸν τῶν πατέρων ὑμνούντων Θεόν.

Ὀφθαλμὸς ἐγρήγορος σὺ εἶ
καὶ θέλημα Κυρίου, σοφὲ Γρηγόριε,
ὃν ἐδυσωπήθη καὶ αὐτὴ
ἡ ἀναίσθητος φύσις,
τρόμῳ δὲ Βελίαρ ἐτρόμασσε,
χεὶρ τοῦ Θεοῦ παντοκράτορος ἦν μετὰ σοῦ.

vv. 5-9 οἴκ. δ' desunt in cd., spatio vacuo a scriba relicto
heirm. ζ' EE 115, n. 158, Georgii heirm. 6 τὸν πατέρων

226 Luc. 1,66

Γαιωθεῖσα λίμνη δι' εὐχῆς
κηρύττει σε εἰσέτι καὶ νῦν, Γρηγόριε,
ποταμός φθορεύς τε πεδηθεὶς
καὶ τῶν οἰκείων ὅρων
ἐντὸς ὥσπερ ἦν φόβῳ γενόμενος·
ὅριον γὰρ τούτῳ ἔθηκας ῥάβδον τὴν σήν.

Γεγηθὼς Ἀλέξανδρος σκιρτᾷ
ἐν πνεύματι Χριστοῦ ἁγίῳ χριόμενος·
διορατικῷ γὰρ ὀφθαλμῷ
συνιὼν προκατεῖδες
τὸν ἐπισκοπῆς προϊστάμενον,
κάλλος ψυχῶν οὐ σωμάτων, τρισμάκαρ, ζητῶν.

Οὐδ' αὐτὸς ὁ κόσμος ἱκανὸς
τὸ πέλαγος χωρῆσαι τῶν θαυμάτων σου,
ὧν ἐν σοὶ ἐνήργησε Χριστὸς
f. 210 ὁ Θεὸς τῶν θαυ‖μάτων,
νείμας σοι τὸν πλοῦτον τῆς χάριτος,
θαυματουργέ, τῆς Τριάδος θεράπον πιστέ.

τριαδ. Νῦν, σεπτή, ἀνάστηθι, Τριάς,
καὶ τῷ φρικτῷ μεγέθει τοῦ σοῦ βραχίονος
ὡς τὸν πάλαι θραῦσον Φαραὼ

---

230 τὸν οἰκεῖον ὅρον 232 τοῦτο

227-229 PG 46, 925: ... παραμείνας ταῖς ὄχθαις τῆς λίμνης ὁ τοῦ Θεοῦ ἄνθρωπος καὶ διακαρτερήσας ἐν ἀγρυπνίᾳ τὴν νύκτα... εὐχῇ πᾶσαν αὐτὴν ἀθρόως ἀποχερσώσας, ἤπειρον ἔδειξεν τῷ ὄρθρῳ τὴν λίμνην, ξηράν τε καὶ ἄνικμον ... Μὴ γὰρ ὄντος τοῦ ὑπὲρ οὗ τὸν καὶ ἀλλήλων ἐξήρτυον πόλεμον, εἰρήνη τὸν θυμὸν διεδέξατο καὶ πάλιν ἑαυτὴν ἐν τοῖς ἀδελφοῖς ἡ φύσις ἐγνώρισεν ... PG 46, 932: ... ὥστε λίμνην μὲν εἰς πυροφόρον χώραν με ...

229-232 PG 46, 932: τῷ δὲ ῥείθρῳ τὸ φυτὸν ὅρος ἐπάγη... τότε περὶ τὸν πυθμένα τοῦ δένδρου κατὰ τὸ ἄκρον ἐπιψαύσας τῷ ὕδατι πάλιν ὀγκωθεὶς κατὰ τὸ μέσον συστέλλει τὸ ῥεῖθρον καὶ οἷον φοβούμενος ἐμπελάσαι τῷ δένδρῳ κυρτῷ τῷ κύματι παραμείβει τὸν χῶρον...

233-238 PG 46, 936: ... ἐν μέσοις τοιοῦτος ἑστὼς ὁ Ἀλέξανδρος, τῷ δὲ διορατικῷ ἐκείνῳ ὀφθαλμῷ πολλὴν παρεῖχεν ἔκπληξιν τὸ γινόμενόν τε καὶ ὁρώμενον...

---

234 Act. 10,38 243 Eph. 1,7 246-247 Ex. 14,26-31

ἐχθροὺς ὑπεναντίους,
ὅτι καθ' ἡμῶν ἐβουλεύσατο
ὁ δυσμενὴς καὶ ὑψαύχην τῆς Ἄγαρ λαός.

θεοτ. Ῥητορεῦσαι ἅπας ἀπορεῖ
τὸν τόκον σου, ἁγία θεογεννῆτορ ἁγνή·
ἐν γὰρ μήτρᾳ, ἄσπιλε, τῇ σῇ
μὴ στενοχωρηθέντα
ἤνεγκας Θεὸν τὸν ἀχώρητον
καὶ οὐρανῶν πλατυτέρα ἐδείχθης, σεμνή.

ᾠδὴ η'. *Ἴνδαλμα κενὸν καὶ ἄπνοον*
οἱ θεοσεβεῖς
παραδειγματίσαντες παῖδες ἐν Βαβυλῶνι
ὡς ὕβρεων ἄξιον
ἐδροσίζοντο ἐν καμίνῳ
ὕμνον τῷ ζῶντι Θεῷ
μελῳδοῦντες ἐν εὐφροσύνῃ·
« πᾶσα ἡ κτίσις
εὐλογείτω ὑμνοῦσα τὸν Κύριον ».

Σὲ ὡς καθαρὸν καὶ ἄμωμον
ἡ πανευκλεὴς
ὄντως καὶ ὑπέραγνος μήτηρ Θεοῦ τοῦ Λόγου
παροῦσα ἐσόφισεν
Ἰωάννῃ σὺν τῷ παρθένῳ
ἃ καὶ ταῖς ἀγγελικαῖς
ἀκατάληπτα θεωρίαις
ἔγκριτα, πάτερ,
ἡ πηγὴ τῆς ἐν χάριτι γνώσεως.

Σὺ ὡς τῆς εἰκόνος σύμμορφος
τῆς βασιλικῆς
ἔσχες συνεργόν σοι τὸ πνεῦμα τῆς ἀληθείας
ὁμοίως ἐν θαύμασι

---

250 ὑψαύχης
heirm. η' EE 115, n. 158, Georgii 261 τῷ] τῇ

---

266 Rom. 8,29

καὶ ἐν δόγμασι θεηγόρος,
ἔνδοξε θαυματουργέ,
ὁ πυρίγλωσσος νοῦς, ὁ βρύων
λόγια ζῶντα,
τὸ θεόπνευστον στόμα τῆς χάριτος.

Ἴδωσαν λαοὶ θαυμάσια·
ἴδωσαν λαοὶ
ἃ διὰ χειρὸς τοῦ παιδός σου τερατουργεῖσθαι
παράδοξα ἔδωκας
ὁ Θεὸς ὁ τῶν θαυμασίων
καὶ ἐν τῷ ἀπατηλῷ,
ὃν οὐκ εἴασε ζῆν ἡ δίκη,
τῇ διπλοΐδι
συνδοθείσης αὐτῷ τῆς νεκρώσεως.

Γνήσιον σοφίας γνώρισμα,
οἷα σοφιστῶν
f. 210v γλῶσσα ἐξαρ‖κέσει πρὸς ὕμνον τῶν σῶν θαυμάτων,
παμμάκαρ Γρηγόριε,
ὁ ἐκ μήτρας ἡγιασμένος;
πνεύματι γὰρ πονηρῷ
ἐπετίμησας τῇ ἐμπνεύσει
τοῦ στόματός σου
τὴν ὀθόνην προσάγων τῷ κάμνοντι.

Ἔρημον οἰκεῖ τὸ δεύτερον
Ἱερουσαλὴμ
τῆς ἐπουρανίου ὁ μέγας ἀεὶ πολίτης
καὶ συναγωνίζεται
τοῖς ἀθλοῦσι τῇ ἀληθείᾳ
πόρρωθεν προπολεμῶν

281 ἔασεν

281-283 PG 46, 940: ... ὁ δὲ μελλήσας οὐδὲν τὴν περικειμένην αὐτῷ διπλοΐδα ἐπιβαλὼν τῷ κειμένῳ, τοῦ πρόσω τῆς ὁδοιπορίας εἴχετο... νεκρὸς γὰρ ἦν ὁμοῦ τῇ ἐπιβολῇ τοῦ ἱματίου, κατ' ἀλήθειαν ἐν τῷ θανάτῳ γενόμενος, ὃν ἐπὶ τῇ ἀπάτῃ τοῦ Μεγάλου καθυπεκρίνετο...

290-292 PG 46, 944: ... τὸ ἐκ τοῦ στόματος αὐτοῦ ἆσθμα διὰ τῆς ὀθόνης τῷ κάμνοντι προσαγόμενον...

293-301 Cfr. canon. XXXVI, vv. 186-194.

τῶν Χριστοῦ λογικῶν θρεμμάτων
καὶ τῶν βασάνων
δι' εὐχῆς κατεπᾴδων τῷ πνεύματι.

τριαδ. Ὅλος φωτισμὸς εἶ, Κύριε,
ὅλος γλυκασμός,
ὅλος δωρεῶν αἰωνίων ἐπιθυμία·
Τριὰς ὁμοούσιε,
ἡ ἀΐδιος ἐξουσία
πάντων δημιουργικὴ
ὁρατῶν τε καὶ ἀοράτων,
σὲ προσκυνοῦμεν
τὸν τρισάγιον ὕμνον κραυγάζοντες.

θεοτ. Ἴδον οἱ πιστοὶ παράδοξα,
ὅτι τὸν Θεὸν
Λόγον διὰ σπάγχνα ἐλέους συγκαταβάντα
ἐν μήτρᾳ ἐχώρησας,
ἀπειρόγαμε θεοτόκε,
ὅλον με ἐν ἑαυτῷ
τὸν φθαρέντα καινοποιῆσαι
καὶ οὐκ ἐφλέχθης
τῷ ἀΰλῳ πυρὶ τῆς θεότητος.

ᾠδὴ θ'. *Ῥητόρων*
τὸ τῆς γλώττης εὔστροφον καὶ πολύφθογγον
ἐπὶ σοὶ ἀμήχανον
καθορᾶται, θεόνυμφε·
παρθενία γὰρ τόκῳ ὡμίλησεν
καὶ σὰρξ κατηλλάγη θεότητι
ἐν σοὶ τοῦ Λόγου σκηνώσαντος ὑπὲρ ἔννοιαν·
ὅθεν σὺν πόθῳ
πᾶσαι αἱ γενεαὶ
μακαρίζομεν τὰ μεγαλεῖά σου.

Ἀθέων
τὴν ὁρῶσαν, ἅγιε, τῶν αἰσθήσεων

heirm. θ' EE 115, n. 158, Georgii

302 Ps. 26,1

δι᾽ εὐχῆς ἠμαύρωσας
δυσμενῶς διωκόντων σε,
ἀλλοιούμενος θείαν ἀλλοίωσιν
ὡς δένδρον ἐκείνοις νομίζεσθαι,
τὸ δένδρον ὄντως τὸ εὔκαρπον καὶ φυσίζωον
τοῦ παραδείσου,
ὅπερ ἐν τῇ τρυφῇ
κατεφύτευσεν αὐτὸς ὁ ὕψιστος.

Ἰσχύι
τοῦ ἁγίου πνεύματος ἐνεργούμενος
τοῦ ἐχθροῦ τὴν δύναμιν
ὥσπερ χοῦν κατεπάτησας
ὁ τῷ σῷ μαθητῇ τὴν ἀπάθειαν
εὐχῶν δωρησάμενος χάριτι
λουτρῷ τοῦ κόπου τὸ ἄτονον θεραπεύοντι·
ὅθεν ὁ δαίμων
⟨—́ — — — — —́
— — —́ — — — — — — —́ — —

ʽΡ — —́ —
— — —́ — —́ — — — — — —́ — —
— — —́ — —́ — —
— — —́ — — —́ — —
— — —́ — — —́ — — —́ — —
— —́ — — —́ — — —́ — —
— —́ — —́ — — —́ — — — — — —́ — —
—́ — — —́ —
—́ — — — — —́
— — —́ — — — — — — —́ — —

Ω —́ —
— — —́ — —́ — — — — — —́ — —
— — —́ — —́ — —
— — —́ — — —́ — —
— — —́ — — —́ — — —́ — —
— —́ — — —́ — — —́ — —
— —́ — —́ — — —́ — — — — — —́ — —
—́ — — —́ —
—́ — — — — —́
— — —́ — — — — — — —́ — —

Σ (vel Υ) — —́ —
— — —́ — —́ — — — — — —́ — —
— — —́ — —́ — —
— — —́ — — —́ — —
— — —́ — — —́ — — —́ — —
— —́ — — —́ — — —́ — —
— —́ — —́ — — —́ — — — — — —́ — —
—́ — — —́ —
—́ — — — — —́
— — —́ — — — — — — —́ — —

Σ (vel Υ) — —́ —
— — —́ — —́ — — — — — —́ — —
— — —́ — —́ — —
— — —́ — — —́ — —
— — —́ — — —́ — — —́ — —
— —́ — — —́ — — —́ — —
— —́ — —́ — — —́ — — — — — —́ — —
—́ — — —́ —
—́ — — — — —́
— — —́ — — — — — — —́ — —⟩

---

vv. 338-379 desunt; folium enim e codice cecidit

320-329 Cfr. canon. XXXVI, vv. 195-203.

330-337: PG 46,949: Ἑσπέριος δὲ τῆς πόλεως ἐντὸς γεγονώς, καὶ κοπώδης ἐκ τῆς / 952 ὁδοιπορίας γενόμενος, λουτρῷ θεραπεῦσαι τὸν κόπον ἀναγκαῖον ᾠήθη. Ἐπεκράτει δὲ κατὰ τὸν τόπον ἐκεῖνον δαίμων τις ἀνθρωποκτόνος ἐπιχωριάζων τῷ λουτρῷ... Ὁ δὲ τὴν σφραγῖδα ἑαυτοῦ προβαλλόμενος, καὶ τὸ τοῦ Χριστοῦ ἀνακαλῶν ὄνομα, ... ἀνεθεὶς δὲ ἤδη τῷ ὕδατι, ... ἐπεὶ κατὰ νοῦν αὐτῷ προὐκεχωρήκει τὰ πάντα, ἐκβοῆσαι λέγεται πρὸς αὐτὸν ἀνθρωπίνῃ φωνῇ τὸ δαιμόνιον, μὴ ἐπ᾽ αὐτῷ τὴν δύναμιν ἐκείνην λογίσασθαι, δι᾽ ἧς τὸν ὄλεθρον ἔφυγεν· ἡ γὰρ φωνὴ τοῦ παραθεμένου αὐτὸν τῷ φυλάσσοντι τὸ ἀπαθὲς ἐχαρίσατο.

17 NOV. *CANON* XXXVI

IN SANCTUM GREGORIUM THAUMATURGUM EPISCOPUM NEOCAESARIENSEM

Mess. gr. 135 = N, ff. 191(195)-196(200)

Ὁ κανών.

Ἦχος πλ. δ´.

ᾠδὴ α´. *Ὑγρὰν διοδεύσας ὡσεὶ ξηρὰν*

Τὴν ὑψηλοτάτην τῶν ἀρετῶν
καὶ προσφιλεστάτην
τῷ δοτῆρι τῶν ἀγαθῶν
σοφίαν ἐκ πρώτης ἡλικίας,
θαυματουργέ, κατησπάσω, Γρηγόριε.

Τῷ καθαρωτάτῳ σου τῆς ψυχῆς
ὀφθαλμῷ τῶν θείων
μυστηρίων, θαυματουργέ,
ἐπόπτης κατέστης ἐν ἐρήμοις
f. 191v (195v) ‖ φιλοσοφίας ἀΰλως, Γρηγόριε.

θεοτ. * Σωτῆρα τεκοῦσά σε καὶ Θεὸν
δυσωπῶ, παρθένε,
λυτρωθῆναί με τῶν δεινῶν·
σοὶ γὰρ νῦν προσφεύγω ἀνατείνων
καὶ τὴν ψυχὴν καὶ τὴν διάνοιαν.

---

heirm. α´ EE 220, n. 315, Joannis II, 143 11-15 θεοτ., in marg. scriptum, MR 14 προσφεύγων ἀνατείνω MR

6-10 PG 46,908: ... πέρας γὰρ... ἀναχωρήσεως ἦν τῷ καθαρῷ τῆς ψυχῆς ὀφθαλμῷ κατανοῆσαι τὰ θεῖα μυστήρια...

ᾠδὴ γ´. *Οὐκ ἔστιν ἅγιος ὡς ὁ Κύριος*

Ἀξίως σε Φαίδιμος
ὁ θειότατος
ἱερέα καὶ πρόεδρον
Θεοῦ προχειρίζεται
διεστῶτα μὲν τόπῳ
παρόντα δὲ πνεύματι,
πάτερ παμμακάριστε.

Τῆς ὄντως, Γρηγόριε,
θεομήτορος
ὀπτασίαις καὶ νεύμασι
τὴν πίστιν μεμύησαι
τῆς ἀκτίστου Τριάδος
σεπτοῖς ἐκδοθεῖσάν σοι
τοῦ θεολόγου ῥήμασιν.

Δογμάτων ἀλήθειαν
διδαχθεὶς ὁ κλεινὸς
τῆς φανείσης ἐκ χάριτος
Γρηγόριος ὄψεως
πρὸς τοὺς ἄθλους εὐθύμως
χωρεῖ τὴν ψυχόλεθρον
ἀπάτην ἐκπορθούμενος.

θεοτ. * Σκηνήν σε θεότευκτον
προδιέγραψε Μωσῆς
τοῖς Σεραφὶμ συγκαλύπτουσαν
ἁγίων τὰ ἅγια
προτυπῶν σου, παρθένε,
τὸν τόκον τὸν ἄχραντον,
Χριστὸν σαρκὶ γραφήσεσθαι.

---

heirm. γ´ EE 226, n. 323, Germani; heirm. integrum praebet cd. 37-43 θεοτ., in marg. scriptum, TR, 90 41 προτυπὸν

ᾠδὴ δʹ. *Εἰσακήκοα, Κύριε,*
τῆς οἰκονομίας σου τὸ μυστήριον

f. 192 (196) ‖ Ταῖς εὐχαῖς σου, μακάριε
καὶ θαυματουργέ, δαιμόνων τὰς φάλαγγας
ἐξοικίσας ἐφυγάδευσας
ἱεροῦ, ἐν ᾧπερ ἐσεβάζοντο.

Ἐναργῆ τὴν ἀσθένειαν
σὺ τῷ νεωκόρῳ, πάτερ, ἀπέδειξας
τῶν δαιμόνων διὰ γράμματος
εἰσοικίσας ὅθεν τούτους ἤλασας.

Καταλέλοιπεν ἅπαντα,
πάτερ, ἐκπλαγεὶς τοῖς ξένοις σου θαύμασι
νεωκόρος ὁ Θεόκλητος
καὶ προσεκολλήθη σοι ἐκ πίστεως.

θεοτ. * Ἀπολαύοντες, πάναγνε,
τῶν σῶν δωρημάτων σοὶ χαριστήριον
ἀναπέμπομεν ἐφύμνιον
οἱ γινώσκοντές σε θεομήτορα.

ᾠδὴ εʹ. *Ἵνα τί με ἀπώσω*

Ὡς γενναῖος ὁπλίτης
πίστεως στερρότητι περιφραξάμενος
καὶ τὸν βίον λόγῳ
παρρησίας κοσμήσας, ἀοίδιμε,
δυσσεβείας πλήρη
ἑλληνικῆς τὴν πόλιν πᾶσαν
ἣν ποιμαίνειν λαχὼν ἠλευθέρωσας.

---

heirm. δʹ EE 225, n. 322, Cosmae 48 ἐναργεῖ 56-59 θεοτ., in marg. scriptum, MR II, 146 57 χαριστήρια MR 58 ἀναμέλπομεν ἐφύμνια MR
heirm. εʹ EE 219, n. 314, Joannis 63 παρρησίᾳ 64 πλήρις

Ὡς μικρὸν ὁ Χριστός σοι,
f. 192ᵛ (196ᵛ) ‖ πάτερ, παρατίθεται αὐτοῦ τὸ ποίμνιον,
ἀλλ' εἰς μυριάδας
τῇ ἀγρύπνῳ δεήσει σου αὔξεται·
εἰς γὰρ τόπον χλόης
κατασκηνῶν καὶ ἐφ' ὑδάτων
ἀναπαύσεως τοῦτο οὐκ ἔληξας.

Ἀρετή τε καὶ πίστις
ὅλον οὐρανόφρονα σὲ ἀπειργάσαντο
μηδεμίαν σχέσιν
πρὸς τὰ ἔνυλα ἔχειν ἐάσασαι·
ἐν ὑψίστοις ὅθεν,
ὡς ἐπὶ γῆς, πάτερ, βαδίζων
συνευφραίνει ταῖς θείαις δυνάμεσιν.

θεοτ. * [Ἴασαι, ἁγνή,
τῆς ψυχῆς μου τὴν ἀσθένειαν
ἐπισκοπῆς σου ἀξιώσασα
καὶ τὴν ὑγείαν
ταῖς πρεσβείαις σου παράσχου μοι.]

ᾠδὴ ϛʹ. *Τὴν δέησιν ἐκχεῶ πρὸς Κύριον*

Τὸν ἔμψυχον οἱ λαοί σε τοῦ Χριστοῦ
ἀρεταῖς ἠγλαϊσμένον ὁρῶντες,
f. 193 (197) ‖ θαυματουργέ,

---

75 ἀπειργάσατο 81-85 θεοτ., quod in MR II, 146, editum invenies, expunxi, quia ad heirmum «Φώτισον ἡμᾶς» pertinet 82 τῆς ψυχῆς] τῶν παθῶν MR
heirm. ϛʹ EE 219, n. 314, Joannis

86-92 PG 46, 924: ... ὥστε πρὸς ναοῦ κατασκευὴν ὁρμῆσαι, πάντων χρήμασί τε καὶ σώμασι πρὸς τὴν σπουδὴν ὑπουργούντων· οὗτός ἐστιν ὁ ναός, οὗ τὰς ἀρχὰς ἐκεῖνος τῆς κατασκευῆς κατεβάλετο ... οἷον τινὰ θεμέλιον καὶ κρηπῖδα τῆς ἰδίας ἱερωσύνης τῷ περιφανεστάτῳ τῆς πόλεως ἐναπέθετο... Σεισμοῦ γάρ ποτε βαρυτάτου τῇ πόλει ἐν τοῖς καθ' ἡμᾶς χρόνοις γεγενημένου καὶ πάντων μικροῦ δεῖν ἄρδην ἀπολωλότων... μόνος ἔμεινεν ὁ ναὸς ἐκεῖνος ἀρραγής τε καὶ ἄσειστος...

71-73 Ps. 22,2

οἶκον σὺν προθυμίᾳ
τῷ σῷ δεσπότῃ ναὸν ἐδομήσαντο,
ὃν ἄπτωτον ἐν τοῖς σεισμοῖς
ἡ κρηπὶς τῆς εὐχῆς σου τετήρηκεν.

Μεγίστων, θαυματουργέ, καὶ φοβερῶν
τεραστίων ἀνεδείχθης ἐργάτης·
τὴν γὰρ ὑγρὰν
λίμνην εἰς πυροφόρον
ταῖς προσευχαῖς σου ξηράνας ἐχέρσωσας
σὺν ταύτῃ δὲ ἀδελφικὰς
εἰ⟨ς⟩ σπονδὰς ἀλλοιώσας τὰς ἔριδας.

Ταῖς ὄχθαις ἐγκαταπήξας τὴν σεπτὴν
βακτηρίαν σου, τρισόλβιε πάτερ,
τοῦ βλαπτικοῦ
ποταμοῦ καὶ φθορέως
τὰ πανώλεθρα τούτου ὁρμήματα
συνέπηξας καὶ διαρκῆ
τοῖς πιστοῖς ἐπορίσω τὴν λύτρωσιν.

θεοτ. * Προστάτιν σε τῆς ζωῆς ἐπίσταμαι
καὶ φρουρὰν ἀσφαλεστάτην, παρθένε,
f. 193^v (197^v) || καὶ πειρασμῶν
διαλύουσαν ὄχλον
καὶ ἐπηρείας δαιμόνων ἐλαύνουσαν·
σοῦ δέομαι τῆς ἀγαθῆς
τῶν παθῶν μου ῥυσθῆναι, πανάχραντε.

Κάθισμα.

Ἦχος γ'. *Θείας πίστεως*

Στῦλος γέγονας ὀρθοδοξίας
....

99 εἰσπονδὰς 107-113 θεοτ. MR II, 147 107 προστάτην 112 καὶ δέομαι διὰ παντὸς MR Κάθ. MR V, 9 simillimum est ac κάθ. in S. Athanasium; in v. 3 πανόλβιε pro Ἀθανάσιε legitur

92-99 Cfr. canon. XXXV, vv. 227-229. 100-106 Cfr. canon. XXXV, vv. 229-232.

ᾠδὴ ζ'. *Οἱ ἐκ τῆς Ἰουδαίας*

Ἐπεκρότουν τὸ ξένον
τῶν θαυμάτων σου, πάτερ,
καὶ ὑπερόριον
ταῖς σαῖς διδασκαλίαις
πειθόμενοι καὶ πίστει
τῷ Χριστῷ ἀνακράζοντες·
« ὁ τῶν πατέρων ἡμῶν
Θεὸς εὐλογητὸς εἶ ».

Τῇ τοῦ πνεύματος αἴγλῃ
f. 194 (198) φωτισθεὶς || ὁ θεόφρων
ψυχὴν καὶ ἔννοιαν
τὰ ἄλλοις κεκρυμμένα
ἐγκρίτῳ προοράσει
διεσκόπει καὶ ἔψαλλεν·
« ὁ τῶν πατέρων ἡμῶν
Θεὸς εὐλογητὸς εἶ ».

Προβληθεὶς ἱεράρχης
ὁ τῆς χάριτος πλήρης
ὤφθη Ἀλέξανδρος
ταῖς σαῖς ἐκφαντορίαις,
Γρηγόριε παμμάκαρ,
οἷς ἐδόθη κραυγάζουσιν·
« ὁ τῶν πατέρων ἡμῶν
Θεὸς εὐλογητὸς εἶ ».

θεοτ. * Θησαυρὸν σωτηρίας
καὶ πηγὴν ἀφθαρσίας
τὴν σὲ κυήσασαν
καὶ πύργον ἀσφαλείας
καὶ θύραν μετανοίας
τοῖς κραυγάζουσιν ἔδειξας·
« ὁ τῶν πατέρων ἡμῶν
Θεὸς εὐλογητὸς εἶ ».

heirm. ζ' EE 224, n. 321, Joannis 120, 128, 136, 144 post πατέρων orat. varie intermittit cd. 138-145 θεοτ. MR II, 149

ᾠδὴ η΄. *Ἑπταπλασίως κάμινον*

Χλευαστικῶς ὁ ἄνομος
Ἰουδαῖος, ἀοίδιμε
πάτερ, σωφρονίζεται προσυπαντήσας σοι·
νεκρὸν γὰρ ἀνείμονα
f. 194v (198v) τὸν συνεμπαί||κτην ἔλεγε
καὶ τὰ πρὸς τροφὴν εἰρωνικῶς ἐπεζήτει,
τὴν σὴν δὲ διπλοΐδα
περιθεὶς τῷ δειλαίῳ
κυρίως τεθνεῶτα
δεικνύεις εἰς αἰῶνας.

Θαυμαστικῶς ἁπάντων σου
ἀκουόντων τὰ δόγματα
ἄλλον σοι μειράκιον ὑπὸ τοῦ δαίμονος
δεινῶς ἐνοχλούμενον
τοῖς συνελθοῦσιν ἔλεγε
διεξοδικῶς τοῖς ὑπὸ σοῦ λαλημένοις
κεχρῆσθαι παρεστῶτα·
ἀλλὰ τοῦτο καθαίρεις,
παμμάκαρ, εὐφημίζων
Χριστὸν εἰς τοὺς αἰῶνας.

Ἁπανταχοῦ τὸ κήρυγμα
διατρέχον θεώμενος
ταῖς σαῖς διδαχαῖς ὁ τῶν πιστῶν ἀντίπαλος
θυμῷ καθοπλίζεται
καὶ διωγμὸν τεκταίνεται
f. 195 (199) κατὰ τῆς σῆς ποίμνης· ἀλλ' ἐβόας || σὺν ταύτῃ,

heirm. η΄ EE 219, n. 314, Joannis   158 ἄλλο   160 ἔλεγες   167 διατρέχων

156-165 PG 46, 941: ... καὶ πάντων θαυμαστικῶς διακειμένων πρὸς τὰ διδάγματα, μειράκιόν τι πρὸς τοὺς συνεστῶτας ἐβόα, μὴ παρ' αὐτοῦ ταῦτα τὸν διδάσκαλον λέγειν, ἀλλ ἕτερον αὐτῷ παρεστῶτα διεξιέναι τοὺς λόγους ...

146-155 Cfr. canon. XXXV, vv. 275-283.

παμμάκαρ, ἀσιγήτως·
« ἱερεῖς εὐλογεῖτε,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

θεοτ. * Ἡ κραταιὰ βοήθεια
τῶν πιστῶν, ἀειπάρθενε,
ῥῦσαί με τῆς πλάνης τοῦ δολίου δράκοντος
δεινῶς πολεμοῦντός με
καὶ ἀπολέσαι σπεύδοντος·
σὺ γὰρ ἀπλανὴς τῶν ἐπὶ σοὶ πεποιθότων
ὑπάρχεις σωτηρία
τῶν βοώντων ἀπαύστως·
« λαὸς ὑπερυψοῦτε
Χριστὸν εἰς τοὺς αἰῶνας ».

ᾠδὴ θ΄. *Ἐξέστη ἐπὶ τούτῳ ὁ οὐρανὸς*

Τὴν ὅλην ἐκκλησίαν τοῖς τοῦ ἐχθροῦ
διωγμοῖς κλονουμένην θεώμενος
ὁ συμπαθὴς
καὶ τῶν συμφερόντων προνοητὴς
σαυτὸν φυγῆς ὑπόδειγμα
τέθεικας τοὺς ἄθλους οὐ δεδιώς,
παντὶ δὲ τῷ ποιμνίῳ
μεγίστης σωτηρίας,
θαυματουργέ, λιμὴν γενόμενος.

f. 195v (199v) || Ὡς ὅλος σου ὁ βίος, θαυματουργέ,
θαυμασίων ἀρρήτων μεμέστωται!

174, 184 post ὑπερυψοῦτε orat. intermittit cd.   176-185 θεοτ. MR VI, 211   180 ἀπολέσαι] ταπεινῶσαι MR   182 σωτηρία] ὁδηγία MR
heirm. θ΄ EE 220, n. 314, Joannis

195-203 PG 46,948: Ὁ δὲ ἦν ἔρημόν τινα καταλαβὼν λοφιάν, ἔχων μεθ' ἑαυτοῦ τὸν ἐκ νεωκόρου κατ' ἀρχὰς προσαχθέντα τῇ πίστει, ἤδη τῇ χάριτι τῆς διακονίας ὑπηρετούμενον... ὑπόδειγμα δὲ ... ἑαυτὸν ἐποίει τῷ διακόνῳ, βλέπων τε πρὸς οὐρανὸν ἀμετατρέπτῳ ὄμματι, καὶ τεταμέναις ταῖς χερσὶν ἐν ὀρθίῳ τῷ σχήματι... διεβεβαιοῦντο δὲ οἱ ζητοῦντες μηδένα ἑωρακέναι, πλὴν εἰ μὴ δύο δένδρα μόνον μικρὸν ἀπ' ἀλλήλων διεστηκότα.

καὶ γάρ τινα
ἔρημον λοφίαν καταδραμὼν
σὺν μαθητῇ θεόφρονι
κρύβει τοὺς διώκτας καὶ ἀσεβεῖς
εἰς δένδρον μορφωθέντας
δυάδα τοῦ δεσπότου
ταῖς προμηθείαις, παμμακάριστε.

Τὸ μέγεθος θαυμάσας, θαυματουργέ,
καὶ τὸ πλῆθος τῶν θείων θαυμάτων σου
τὴν θαυμαστὴν
μνήμην σου, παμμάκαρ, θαυμαστικῶς
καὶ γεγηθὼς Χριστοῦ ὁ λαὸς
πίστει καὶ ἐλπίδι ἐπιτελεῖ
ταῖς σαῖς πλημμελημάτων
πρεσβείαις λυτρωθῆναι
καραδοκῶν, σεπτὲ Γρηγόριε.

θεοτ. * Ἀπόδυσον, παρθένε, τὸ δυσειδὲς
f. 196 (200) τῶν δεινῶν μου πταισμάτων κλυ||δώνιον
καὶ τὴν φαιδρὰν
ἔνδυσον τῆς δόξης καταστολὴν
καὶ σωτηρίας ἔνδυμα
καὶ φωτοδοσίας περιβολὴν
τὴν χάριν τὴν δοθεῖσαν
τοῖς σέ, θεογεννῆτορ,
ἀκαταπαύστως μεγαλύνουσιν.

201 fort. scribendum εἰς δένδρων μορφωθέντες   213-221 θεοτ. PID, ρξζ'

IN SANCTUM ROMANUM MARTYREM

Synaxarium, 235: Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Ῥωμανοῦ καὶ τοῦ σὺν αὐτῷ νηπίου. Οὗτος ἦν ἐπὶ Μαξιμιανοῦ βασιλέως· διὰ δὲ τὸν ὑπὲρ τῆς εἰς Χριστὸν πίστεως ζῆλον, εἰσελθεῖν βουλόμενον τὸν ὕπαρχον Ἀσκληπιάδην εἰς τὸν τῶν εἰδώλων ναόν, κατέσχε διελέγχων, « Οὐκ εἰσι, λέγων, τὰ εἴδωλα θεοί », καὶ ὅτι « ὑπερέχουσιν οἱ χριστιανοὶ τῶν ἐν ἀσεβείᾳ ζώντων ». Τύπτεται οὖν παρ' αὐτοῦ εἰς τὸ στόμα καὶ ἀναρτηθεὶς ξέεται τὰς παρειάς. Ἠνέχθη δὲ καὶ παιδίον, τοῦ ἁγίου τοῦτο αἰτησαμένου, εἰς ἔλεγχον τοῦ ὑπάρχου· καὶ ἐρωτηθέν, ποῖον δεῖ σέβειν Θεόν, τὸν τῶν χριστιανῶν εἶπεν· καὶ τυπτηθὲν τὴν κεφαλὴν ἀπετμήθη. Ὁ δὲ ἅγιος Ῥωμανὸς τὴν γλῶτταν ἐκτέμνεται καὶ μετὰ τὴν τομὴν φθέγγεται παραδόξως, εὐχαριστῶν τῷ Θεῷ. Ἐμφανισθέντος οὖν τοῦ κατὰ τὸν ἅγιον παραδόξου θαύματος Μαξιμιανῷ τῷ βασιλεῖ, προστάξει αὐτοῦ ἐν τῇ εἱρκτῇ ὁ ἀδάμας διὰ πνιγμονῆς τῆς προσκαίρου ζωῆς ἀπολύεται· καὶ τὸν τοῦ μαρτυρίου κομίζεται στέφανον.

Paris. gr. 13	= Q,	ff. 140-141
Paris. gr. 1570	= Pf,	ff. 107v-110
Athon. Docheiariou 31	= Ad,	ff. 131-136v

Ὁ κανών, οὗ ἡ ἀκροστιχίς·
Ἀθλητικοῖς σε, Ῥωμανέ, στέφω κρότοις.

Ἦχος δ'.

ᾠδὴ α'. *Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος*

Ἀδύτοις μαρμαρυγαῖς λαμπόμενος
ταῖς τῆς Τριάδος τρανῶς
καὶ ἀθλοφόρων λάμπων ἐν χοροῖς
φωτισμόν μοι κατάπεμψον

tit. Ὁ κανὼν τοῦ ἁγίου Ῥωμανοῦ, οὗ ... Q Pf   Ἕτερος κανὼν τοῦ ἁγίου Ῥωμανοῦ φέρων ἀκροστιχίδα τήνδε Ad; nomen hymnographi Θεοφάνους in marg. Q Pf tradunt; Ad τοῦ αὐτοῦ (scil. Θεοφάνους) praebet
heirm. α' EE 94, n. 133, Joannis

σκότος παθῶν ἐλαύνοντα
ταῖς εὐπροσδέκτοις, Ῥωμανέ, σου λιταῖς.

Θαλάσσης εἰδωλικῆς προσκλύσεσι
μὴ σαλευόμενος,
ὡς τοῦ Χριστοῦ τῇ πέτρᾳ ἑδρασθείς,
τρικυμίας διέλυσας
αὔραις τοῦ θείου πνεύματος
πολυταράχου ἀθεότητος.

Λειμῶνα ὡς εὐκλεῆ καὶ εὔκαρπον
τὴν ἐκκλησίαν Χριστοῦ
εὐθηνουμένην πᾶσιν ἀγαθοῖς,
Ῥωμανέ, διετήρησας
τοῖς λύκοις ἀνεπίβατον
σαῖς διδαχαῖς περιτειχίζων αὐτήν.

θεοτ. Ἠλέηται διὰ σοῦ, πανάμωμε,
φύσις βροτῶν ἀληθῶς·
ὁ ποιητὴς ἐκ σοῦ γὰρ σαρκωθεὶς
ὑπὲρ λόγον καὶ ἔννοιαν
ὑπὲρ ἡμῶν εἰς θάνατον
ἤχθη λυτρούμενος ἐξ ᾅδου ἡμᾶς.

ᾠδὴ γ'. *Εὐφραίνεται ἐπὶ σοὶ*

Τὸν θῆρα τὸν νοητὸν
ἐκσφενδονίσας, Ῥωμανέ, λόγοις σου,
ποίμνην Χριστοῦ διέσωσας
ἐξ εἰδωλικῆς λύμης ἄφθορον.

---

8 σαλευόμενος] ζαλιζόμενος Ad   13 εὐκλεεῖ Ad   15 πᾶσαν Ad
heirm. γ' EE 94, n. 133, Joannis

7-12 PG 50,615: ...τῆς εἰδωλικῆς θαλάττης βλάσφημα μυκωμένης, καὶ κατὰ τοῦ ἐκκλησιαστικοῦ σκάφους λυττώσης, μόνος ἀνθοπλίζεται τῇ μαινομένῃ θαλάττῃ, καὶ εἰς ἄκρον ὁρῶν τὸ σκάφος σφαλλόμενον, ἀφυπνίζει τὸν ἐν τῷ πλοίῳ Δεσπότην...

---

9 I Cor. 10,4

f. 140v ‖ Ἰσχύων ὅπλῳ σταυροῦ
τὰς προσβολὰς τῶν αἰκισμῶν ἔτρεψας
καὶ ἀσθενεῖς ἀπήλεγξας,
Ῥωμανὲ σοφὲ ἀξιάγαστε.

Κατέπτωσας δυσμενῶν
μύλας συνθλάσας, Ῥωμανὲ ἔνδοξε,
ὑπὲρ Χριστοῦ, μακάριε,
παρειὰς ξεσθεὶς σου, ἀοίδιμε.

θεοτ. Ὁ φύσει μόνος Θεὸς
λόγος Πατρὸς καὶ συμφυὴς Πνεύματι
σάρκα ἐκ σοῦ ἠμπέσχετο
τοὺς βροτοὺς θεώσας, μητρόθεε.

Κάθισμα.

Ἦχος δ'. Πρός· *Ἐπεφάνης σήμερον*

Ὡς ἀστέρα μέγιστον
....

ᾠδὴ δ'. *Ἐπαρθέντα σε ἰδοῦσα ἡ ἐκκλησία*

Ἰθυνόμενος ὡς κλίμακι ἐπὶ ξύλου
ἀνυψωθείς, μακάριε,
τὸ ἄφραστον κάλλος
καὶ τὴν διαμένουσαν

---

38 πνεύματος Ad   40 μητρόθεε] μητροπάρθενε Q
Κάθ. MR II, 189; aliud κάθ., quod ineditum videtur, praebet Ad (idem in cd. Paris. gr. 346 invenies): Ἦχος δ'. *Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ ἑκουσίως*   Ἀσκητικῶς τὸν πονηρὸν συμπατήσας / ἀθλητικῶς, μάρτυς Χριστοῦ, ἐδοξάσθης / καθυπομείνας βάσανα τελείῳ νοΐ· / ὅθεν συνηρίθμησαι / τοῖς χοροῖς τῶν μαρτύρων / καὶ τὴν αἰωνίζουσαν / βασιλείαν ἐκτήσω, / ἐν ᾗ χορεύων μέμνησο ἡμῶν / τῶν ἐκτελούντων ἐν πίστει τὴν μνήμην σου.
heirm. δ' EE 94, n. 133, Joannis

---

34 Ps. 57,7

χορείαν κατείληφας,
μάρτυς Ῥωμανὲ ἀξιάγαστε.

Συναπεβάλου νεκρώσεως τοὺς χιτῶνας
ἐν τοῖς ξεσμοῖς, μακάριε,
καὶ τοῦ σωτηρίου
φωτεινὸν ἱμάτιον
λαμπρῶς, πανναοίδιμε
μάρτυς Ῥωμανέ, ὑπενδέδυσαι.

Σοφισθεῖσα ἐπιπνοίᾳ τοῦ παρακλήτου
ἡ τοῦ νηπίου γλῶσσά σε
Κύριον τῆς δόξης
ποιητὴν ἐκήρυξε
τῶν πάντων, φιλάνθρωπε,
καὶ Θεὸν τὸν σώζειν δυνάμενον.

θεοτ. Εὐλογημένος, παρθένε, τῆς σῆς κοιλίας
καρπὸς δι' οὗ ἐρρύσθημεν
κατάρας θανάτου·
πᾶσαι πατριαὶ τῶν ἐθνῶν
καὶ σοὶ εὐλογούμεναι
ὡς ζωῆς ὑμνοῦμέν σε πρόξενον.

ᾠδὴ ε'. *Σύ, Κύριέ μου, φῶς*

Ῥοαῖς ἀθλητικαῖς
τῶν αἱμάτων σου ἔκλυσας
θαλάσσας τῆς ἀθεΐας,
Ῥωμανέ, ποταμοὺς δὲ
ἰάσεων ἀνέβλυσας.

Ὡς δῶρον ἐκλεκτόν,
ἱερεῖον ὡς ἄμωμον

52 ἐπενδέδυσαι Q Ad
heirm. ε' EE 94, n. 133, Joannis

49-50 Is. 61,10 55 I Cor. 2,8 60-61 Gal. 3,13 62 Ps. 21,28

προσήνεγκας τῷ δεσπότῃ,
Ῥωμανέ, θεολόγον
τὸ νήπιον σφαττόμενον.

Μωρίαν τοῦ ἐχθροῦ
τῇ σοφίᾳ τοῦ πνεύματος
κατέτρωσας τοῦ ἁγίου
μαστιχθείς σου τὸ σῶμα,
Ῥωμανὲ πανναοίδιμε.

θεοτ. Ἀνεῖλες τὴν ἀράν,
τὴν χαρὰν ὡς κυήσασα·
ἐθέωσας τοὺς ἀνθρώπους
τῷ σῷ τόκῳ, παρθένε
Μαρία ἀπειρόγαμε.

ᾠδὴ ς'. *Θύσω σοι*
μετὰ φωνῆς αἰνέσεως, Κύριε,

Νέκρωσιν
καὶ φθορὰν τοῖς ξεσμοῖς ἀποθέμενος,
ζωῆς ἀφθάρτου τὸ κάλλος
περιέθου, μάρτυς, ἠγλαϊσμένος
λαμπηδόσι,
Ῥωμανέ, ταῖς ἀδύτοις τοῦ πνεύματος.

Ἔβλυσεν
ὡς αἱμάτων ῥοὰς καὶ διδάγματα
ἡ ἐκτμηθεῖσά σου γλῶσσα,
δι' ὧν ἀνεξάλειπτον ἐκληρώσω,
ἀθλοφόρε,
μακαρισμὸν ἀεὶ διαμένοντα.

heirm. ς' EE 94, n. 133, Joannis 90 ταῖς] τοῖς Q Ad

71-72 Hebr. 9,14

Σοφίας
τὸν χειμάρρουν διψῆσαν ἐξέπιε
τῇ συμβουλῇ τῆς τεκούσης
στόμα θεολόγον τὸ τοῦ νηπίου
διὰ ξίφους
πρὸς ζωὴν ἐκδημῆσαν τὴν ἄλυπον.

θεοτ. Ταχεῖα
καταφυγὴ γενοῦ μοι, πανάχραντε,
ἐπηρειῶν λυτρουμένη
καὶ παθῶν αἰσχίστων ἐξαιρουμένη
καὶ πρὸς θείας
διιθύνουσα τρίβους, μητρόθεε.

f. 141 ᾠδὴ ζ′. *Ἐν τῇ καμίνῳ*

Ἐν τῇ ἀγχόνῃ
σοῦ, ἀθλοφόρε, πνίξας τὸν δράκοντα,
εὗρες τὴν ζωὴν τὴν ὄντως ἀληθινήν,
Ῥωμανέ, κραυγάζων πάντοτε·
« εὐλογημένος εἶ
ἐν τῷ ναῷ τῆς δόξης σου, Κύριε ».

Φωτὸς ἀδύτου
ταῖς λαμπηδόσι καταστραπτόμενος
φλόγα ἐπηρμένην ἔσβεσας, Ῥωμανέ,
προφητείας τῷ χαρίσματι
κατακοσμούμενος
καὶ μαρτύρων χοροῖς συναπτόμενος.

---

102 ἄλυπον] ἄλυτον Ad
heirm. ζ′ EE 94, n. 133, Joannis 111 ἀληθινὴν] πανευκλεῆ Ad
113 post εὐλ(ογημένος) orat. varie detruncant cdd. 120 συναπτόμενος] συνταττόμενος Ad

---

97-100 AB 50 (1932), 255-256: ... Βασανιζόμενον δὲ (scil. τὸ νήπιον) ἐδίψησεν καὶ ... εἶπεν· « Μῆτερ, δός μοι ὕδωρ πιεῖν ὅτι διψῶ ». Ἡ δὲ μήτηρ εἶπεν αὐτῷ· « Μή, τέκνον, μὴ πίῃς ὕδωρ· ἄπελθε πρὸς ὕδωρ ζῶν... ».
117-118 Cfr. canon. XXXIX, vv. 130-133, 141-147.

Ὡς ἐκ λειμῶνος
πολυανθοῦς μητρὸς τοῖς διδάγμασι
ῥόδον εὐωδίας νήπιον ἐκφυὲν
μαρτυρίας ἐν τῷ αἵματι
καταρδευόμενον
τῷ Χριστῷ ἀκηράτως προσφέρεται.

θεοτ. Καταπτωθέντας
τῆς ἁμαρτίας βάθει, πανύμνητε,
μόνη τὸν Θεὸν τεκοῦσα ἄνευ σπορᾶς
ἀνειλκύσω ἡμᾶς ψάλλοντας·
« εὐλογημένη εἶ
ἐν γυναιξί, πανάμωμε δέσποινα ».

ᾠδὴ η′. *Χεῖρας ἐκπετάσας Δανιὴλ*

Ῥημάτων ὑπήκοος Χριστοῦ
ὑπάρξας, ἔνδοξε,
ψυχήν σου τέθεικας
ὑπὲρ τῆς ποίμνης σου πρόθυμος
δι᾽ αὐτὸν ἀπαγχονούμενος·
μετὰ στρεβλώσεις καὶ ξεσμούς τε
καὶ ῥαπίσματα
« εὐλογεῖτε
πάντα τὰ ἔργα < — ἐβόας — τὸν Κύριον > ».

Ὄντως σου τὸ στόμα χαρμονῆς,
ἀγαλλιάσεως
ἡ γλῶσσα πέπλησται

---

127 Καταποθέντας Ad 128 βάθη Ad 131 εἶ] σὺ Ad post εἶ orat. varie intermittunt cdd.
heirm. η′ EE 94, n. 133, Joannis 134 ὑπῆρξας Ad 141 ἐβόας τὸν Κύριον supplevi: post πάντα orat. varie intermittunt cdd.

142-145 PG 50,614: Πρέπον ἄρα τῷ μάρτυρι τοῦ προφήτου τὸ μέλος. « Ἐπλήσθη χαρᾶς τὸ στόμα ἡμῶν καὶ ἡ γλῶσσα ἡμῶν ἀγαλλιάσεως... ».

131-132 Luc. 1,28,42 140-141 Ps. 102,22; Dan. 3,34 142-144 Ps. 125,2

ἐπευλογεῖν Θεὸν ἄληκτα·
ἐκτμηθεῖσα γὰρ καὶ αἵμασι
νόμους τῆς πίστεως ἡμῖν,
Ῥωμανέ, τίθησιν
ἐκβοῶσα·
« πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον ».

θεοτ. Τὸν Λόγον τεκοῦσα τοῦ Πατρὸς
ἐν θείῳ πνεύματι
παρθένος ἔμεινας,
θεογεννήτρια ἄνανδρε,
ὑπερβᾶσα τοὺς τῆς φύσεως
θεσμοὺς τῷ τόκῳ σου· διὸ
χαίροντες ψάλλομεν·
« εὐλογεῖτε
πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον ».

ᾠδὴ θ'. *Λίθος ἀχειρότμητος ὄρους*

Ὅλην σου τὴν ἔφεσιν, μάρτυς,
πρὸς τὸν δεσπότην ἀνατείνας
καὶ πολυειδεῖς τοὺς αἰκισμοὺς
καθυπομείνας, Ῥωμανὲ ἔνδοξε,
δόξης ἀφράστου ἔτυχες
καὶ μακαρίας ἀπολαύσεως.

Ἰδοὺ ἀντὶ πόνων τρυφῆς σοι
χειμάρρους, μάρτυς, διεδόθη
στεφανηφοροῦντι, Ῥωμανέ,
καὶ ἐξ αἱμάτων χλαμύδα φέροντι

---

145 ἐπευλογεῖν] -γεῖ Ad   150 post πάντα orat. varie intermittunt cdd.   158 post εὐλογεῖτε orat. varie intermittunt cdd.
heirm. θ' EE 94, n. 133, Joannis

---

159 Ps. 102,22; Dan. 3,34

καὶ ῥόδον ὡς ἀμάραντον
εὐῶδες νήπιον τυθὲν τῷ Χριστῷ.

θεοτ. Σὺ τῆς ἀρχεγόνου κατάρας
βροτούς, παρθένε, ἐξελοῦσα
ἤνοιξας ἡμῖν τὴν τῆς ζωῆς
Ἐδὲμ τῷ τόκῳ τῷ ὑπὲρ φύσιν σου·
διὸ ἐπαγαλλόμενοι
σέ, θεοτόκε, μεγαλύνομεν.

---

171 τυθὲν τῷ] τυθέντι Ad

IN SANCTUM ROMANUM MARTYREM

Crypt. Δ.α. XIX = Cu, ff. (75v-77v)
Paris. gr. 259 = Pa, ff. 171v-174v
Patm. 196 = Πb, ff. 124v-129v

Ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε·
Θείαις ἐπαινῶ Ῥωμανὸν μελῳδίαις· ἐγὼ ὁ Ἰωσήφ.

Ἦχος δ'.

ᾠδὴ α'. *Τῷ ὁδηγήσαντι πάλαι*

Θεοφεγγής, ἀθλοφόρε,
ἀναδειχθεὶς ἥλιος
πᾶσαν τὴν κτίσιν φρυκτωρεῖς,
ταῖς τῶν ἀγώνων σου λάμψεσιν·
ὅθεν πιστῶς ἐκβοῶμέν σοι·
« φώτισον
τὰς διανοίας τῶν πιστῶς
ὑμνολογούντων σε ».

Ἐκ νεαρᾶς ἡλικίας
τὸν σὸν σταυρόν, ὅσιε,
ἐπὶ τῶν ὤμων σου λαβών,
τῷ σταυρωθέντι Θεῷ ἡμῶν
ἀσκητικῶς ἠκολούθησας
ὕστερον
ἀθλητικῶς καταβαλὼν
τὸν πολυμήχανον.

---

tit. Τῇ αὐτῇ ἡμέρᾳ κανὼν τοῦ ὁσίου Ῥωμανοῦ φέρων... Cu   Τῇ αὐτῇ ἡμέρᾳ εἰς τὸν ἅγιον Ῥωμανὸν ὁ κανὼν... Pa
heirm. α' EE 106, n. 149, Andreae   1 Θεοφεγγεῖς Cu   11 τὸν ὦμον Pa

Ἱερονίκους στεφάνους
καὶ εὐκλεῆ τρόπαια
κατὰ δαιμόνων δυσμενῶν,
μάρτυς, ἐστήσω, πανόλβιε,
καὶ νικηφόρος γενόμενος
(f. 76) || εἴληφας
τὴν βασιλείαν τοῦ Θεοῦ
τὴν ἀδιάδοχον.

θεοτ. Ἀκατανόητον θαῦμα!
πῶς ὁ Θεὸς ᾤκησεν
ἐν τῇ ἁγίᾳ σου γαστρί,
παρθενομῆτορ πανάμωμε,
δι' εὐσπλαγχνίαν ἀπόρρητον
σώζων με
καθυπαχθέντα τῇ φθορᾷ
καὶ ἀπολλύμενον.

Pa, f. 172 || ᾠδὴ β'. *Ἴδετε, ἴδετε*
ὅτι ἐγώ εἰμι
ὁ Θεὸς ὁ Λόγος
ὁ ἐν τοῖς κόλποις τῆς μητρὸς
ἀπεριγράπτως εἰσδὺς μὴ χωρισθεὶς τοῦ πατρός,
ὡς Θεὸς δὲ συμπληρῶν
σὺν τοῖς ἄνω τὰ κάτω καὶ παρέχων
τὸ μέγα ἔλεος.

Ἴχνεσιν ὥδευσας
πάντων τῶν μαρτύρων
τῶν πρὸ σοῦ τὸ αἷμα
ἐκκενωσάντων, Ῥωμανέ,
καὶ σταθερῷ λογισμῷ τῷ παλαμναίῳ ἐχθρῷ
ἀντετάξω ἀνδρικῶς
καὶ τὰς τούτου καθεῖλες πανουργίας
καὶ τὰ μηχανήματα.

---

17 Ἱερονίκους στεφάνους] Ἱερωτάτους ἀγῶνας Pa
heirm. β' EE 104, n. 147, Andreae   3 ὁ Θ. Λ. EE   4 κόλποις] σπλάγχνοις EE   6 δὲ] γὰρ EE   συμπληρῶ EE   7 παρέχω EE
odem β' om. Cu Πb

Σοῦ ὁ παράνομος
θλᾷ τὰς σιαγόνας
ὡς μὴ φέρων, μάκαρ,
τοὺς ἐκ τῆς γλώσσης ἐλεγμοὺς
τῆς φθεγγομένης Θεοῦ τὰ μεγαλεῖα τρανῶς
καὶ ἐλέγχοις τῶν ἐχθρῶν
ἀναισθήτους καρδίας σπαραττούσης
γνώμης στερρότητι.

Ἔτεινε ξύλῳ σε,
μάρτυς, ὁ παράφρων
Pa, f. 172v καὶ βασάνοις ‖ τὸ σὸν
σῶμα συνέτριψε πολλαῖς
ὁμολογοῦντα Χριστὸν τὸν ἐπὶ πάντων Θεόν,
οὗ τὸ πάθος, Ῥωμανέ,
τὸ σεπτὸν εἰκονίζων ἐκληρώσω
δόξαν ἀδιάδοχον.

θεοτ. Πανυπερθαύμαστε
δέσποινα τοῦ κόσμου,
τῶν μαρτύρων δόξα
τῶν ἀθλησάντων καρτερῶς
ὑπὲρ Χριστοῦ τοῦ Θεοῦ τοῦ σαρκωθέντος ἐκ σοῦ,
σὺν αὐτοῖς ὑπὲρ ἡμῶν
ἀενάως δυσώπει, ὅπως λύσιν
τῶν πταισμάτων λάβωμεν.

ᾠδὴ γʹ. *Μὴ καυχάσθω ὁ καυχώμενος*

Ἀπηρνήσω, μάρτυς ἔνδοξε,
καιρῷ τῶν ἄθλων
τὸ θεῖόν σου σῶμα
καὶ ὥσπερ ἄλλου πάσχοντος
οὕτω διέκεισο,

55 ἐκληρώσω scripsi: ἐκπληρώσω Pa 60 ἀθλησάντων metri et sensus causa scripsi: ἀθλητῶν Pa
heirm. γʹ EE 106, n. 149, Andreae; heirm. integrum praebent Pa Πb

45 Act. 2,11

ἐκδημήσαντος τοῦ νοὸς
πρὸς τὸν Κύριον τελειοτάτῃ στοργῇ.

Ἰταμῶς μὲν ὁ παράνομος
τὰς παρειάς σου
ξεσμοῖς ἀφανίζει,
ἀλλὰ τρανῶς διήγγελλες
τὰ μεγαλεῖα Χριστοῦ,
Ῥωμανέ, μεγάλως βοῶν·
« οὐ χωρίσει με Θεοῦ βασάνων πληθύς ».

Νηπιόφρονα τὸν τύραννον
κατανοήσας,
νηπίῳ διδάσκειν
τοῦτον προστάττεις, ἅγιε,
τὴν γνῶσιν τοῦ δι' ἡμᾶς
νηπιάσαντος λυτρωτοῦ
εἰς ἀναίρεσιν τοῦ παλαιοῦ πτερνιστοῦ.

θεοτ. Ὡς παλάτιον εὐρύχωρον
χωρεῖς τὸν πάντων,
ἁγνή, βασιλέα,
ὃν ἡ πληθὺς ἐκήρυξε
τῶν ἱερῶν ἀθλητῶν
ἐναθλοῦσα καρτερικῶς,
μεθ' ὧν πρέσβευε ἐλεηθῆναι ἡμᾶς.

ᾠδὴ δʹ. *Εἰσακήκοα, ὁ Θεός,*
τὴν ἀκοήν σου καὶ ἐφοβήθην

Ῥητορεύει θαυμαστικῶς
Θεοῦ τὸν λόγον καὶ καταπλήττει
τὸ παιδίον τοὺς παράφρονας

post v. 71 κονδ., quod inc. Τὸν ἀριστέα τοῦ Χριστοῦ στρατιωτῶν AK, 76 et οἶκ., qui inc. Τῆς ἐκκλησίας ὁδηγὸν καὶ πρόβολον AK, 76, 213, praebet Πb 72 Ἰταμὸς Πb 75 ἤγγελες Cu διήλεγχες Πb 78 χωρήσει cdd. 81 νηπιώδη Cu 87 χωρὶς Pa 92 post πρέσβευε orat. intermittit Pa
heirm. δʹ EE 107, n. 150, Andreae; heirm. integrum praebet Pa 93 θαυμητικῶς Pa

76 Act. 2,11

καὶ χοροῖς προστίθεται
τῶν ἀθλητῶν ἀθλῆσαν λαμπρότατα.

« Ὦ γλυκύτατέ μου υἱέ,
πορεύου χαίρων πρὸς τὸν πατέρα
τὸν οὐράνιον — ἐκραύγαζε
τὸ ὡραῖον γύναιον —
σφαγιασθεὶς ἀρνίον ὡς ἄκακον ».

« Μεγαλύνω σε, ὁ Θεός,
ὑμνῶ, δοξάζω τὸ ὄνομά σου »,
ἐπὶ ξύλου ἀναρτώμενος
καὶ πληγαῖς βαλλόμενος
ὁ Ῥωμανὸς ὁ θεῖος ἐφθέγγετο.

θεοτ. Ἀναμάρτητον ἐπὶ γῆς
Θεὸν τεκοῦσα, ἁγνὴ παρθένε,
ἁμαρτίαις βυθιζόμενον
καὶ ταῖς παραβάσεσιν
ἠχρειωμένον οἴκτειρον, σῶσόν με.

ᾠδὴ ε΄. *Ἀνάτειλόν μοι, Κύριε,*

Νοός σου τὴν στερρότητα
βασάνων οὐ κατέκαμψε,
μάρτυς ἀήττητε, τὸ ἔμμονον,
ἀλλ' ἵστασο καθάπερ
(f. 76v) στῦλος ἀπερίτρε||πτος
πρὸς τὸν σοὶ ποθούμενον
ἀτενίζων, Ῥωμανέ.

Οἱ πόνοι τῆς ἀσκήσεως
τοῖς πόνοις τῆς ἀθλήσεως
ἀναμειχθέντες θείᾳ χάριτι

105 ἀναρτούμενος cdd. 112 ἀχρειούμενον Πb
heirm. ε΄ EE 106, n. 149, Andreae 116 καθάρπερ Πb

99 Tob. 8,21; Joh. 14,12,28; 16,28 102 Jer. 11,19 103-104 Gen. 12,2; Is. 25,1

τὴν ἄπονόν σοι λῆξιν
καὶ ζωὴν τὴν μέλλουσαν,
μάρτυς, προεξένησαν
εἰς αἰῶνας, Ῥωμανέ.

Νομίμως ἐναθλοῦντά σε
χορὸς ἀγγέλων ἄνωθεν
ὑπερεθαύμασεν, πανόλβιε·
πυρὰν γὰρ ἐξαφθεῖσαν
προσευχῆς κατέσβεσας
ἐπομβρίαις ἔκπληξιν
ἐμποιῶν τῷ δυσμενεῖ.

θεοτ. Μαρτύρων ἐγκαλλώπισμα,
τῶν προφητῶν τὸ κήρυγμα,
τῆς οἰκουμένης τὸ κραταίωμα,
κραταίωσον τὸν νοῦν μου,
παναγία δέσποινα,
ὅπως μὴ τοῖς πάθεσιν
ὑποκύψας δουλωθῇ.

ᾠδὴ ϛ΄. *Ζάλη με*
λογισμῶν καταλαβοῦσα

Ἔγνωκας
ὡς οὐ λάβῃς, μάρτυς, πεῖραν
πυρὸς οὗ ἐξέκαυσεν
εἰς σὴν ἐχθρὸς τιμωρίαν

125 προ(σ)εξένησαν (sup. lin.) Pa 127 ἐναθλοῦντά σε] ἐναθλήσαντα Πb 129 ἐθαύμασε Πb 131 προσευχῶν Pa Πb 133 δυσμενῆ Pa 140 δουλωθῶ Pa
heirm. ϛ΄ EE 107, n. 150, Andreae; heirm. integrum in marg. praebet Πb 144 εἰσὴν Pa

130-133 AB 50 (1932), 257: Καὶ προσέταξεν ἔξω τῆς πόλεως πυρὰν πολλὴν γενέσθαι καὶ ... βληθῆναι Ῥωμανὸν εἰς τὸ πῦρ. Ὡς δὲ ἐποίησαν ἔκκαυμα μέγα τῇ ἑξῆς... τὸ πῦρ ἐσβέσθη. Καὶ ἀπαγομένων αὐτῶν, συνέβη διὰ τὴν βροχὴν ὑποστρέψας πάλιν εἰς τὴν φυλακὴν... εἰς πάντας ἐκπλήττεσθαι μεμνημένους τοῦ λόγου Ῥωμανοῦ οὗ εἶπεν ... μηδὲ τὸ πῦρ ἰδεῖν...

127 II Tim. 2,5

καὶ προφήτης ὡς ἔνθεος τρανῶς
προεῖπες τοῦτο, μάκαρ,
καὶ τοὺς ὁρῶντας κατέπληξας.

Λόγοις σου
ὥσπερ βέλεσιν ὁ πλάνος,
παμμάκαρ, βαλλόμενος
ἐξέτεμέ σου τὴν γλῶτταν,
ἧς διόλου τμηθείσης, Ῥωμανέ,
ὡς ὄργανον ἐλάλεις
θείᾳ κινούμενος χάριτι.

Ὢ θαῦμα!
πῶς ἐπλήσθη σου τὸ στόμα
χαρᾶς καὶ ἡ γλῶσσά σου
ἀγαλλιάσεως θείας
ἐκτμηθεῖσα καὶ ὕμνεις τὸν Θεὸν
μεγάλως καταπλήττων,
μάρτυς Χριστοῦ, τοὺς παράφρονας.

θεοτ. Δίδου μοι
βοηθείας, ἁγνή, χεῖρα
κειμένῳ εἰς βάραθρα
ἀμέτρων πλημμελημάτων,
ἡ τεκοῦσα Θεὸν ἀληθινὸν
τὸν τοὺς κατερραγμένους
ἐν οἰκτιρμοῖς ἀνορθούμενον.

ᾠδὴ ζʹ. *Τῇ εἰκόνι τῇ χρυσῇ*

Ἱερεῖον καθαρὸν
ὡς εὐωδέστατον θῦμα,
δεκτὴ θυσία ὡς ὁλοκάρπωμα,

146 μάκαρ] μάρτυς Πb 154 θεῖα Cu 155-161 cfr. canon. XXXVII, vv. 142-145 163 ἁγνῇ Cu 164 κείμενον Cu
heirm. ζʹ EE 107, n. 150, Andreae 171 δεκτῇ Cu

156-158 Ps. 125,2 171 Phil. 4,18; Sap. 3,6

ὡς προσφορά, ἔνδοξε, τελεία
προσηνέχθης τῷ Χριστῷ,
ἐναθλήσας καρτερῶς
καὶ ἄπειρα βάσανα
ὑπενεγκὼν τῇ σαρκὶ
ἀνδρειοτάτῳ νοΐ.

Αἱ πορεῖαί σου, σοφέ,
κατευθυνθεῖσαι τελείως
τῷ μαρτυρίῳ πρὸς τὸν φιλάνθρωπον,
τοῦ δυσμενοῦς πάσας τὰς πορείας
ἀπεστένωσαν σαφῶς
καὶ ὁδὸς πρὸς οὐρανὸν
(f. 77) ἀπάγου||σα ὤφθησαν
τοῖς εὐφημοῦσι πιστῶς
τὴν σὴν ἀνδρείαν, Ῥωμανέ.

Ἰατρεῖον ὁ ναὸς
ὁ σὸς ὑπάρχει καθαίρων
ψυχῆς ῥυτίδας καὶ πάθη σώματος,
ἐν ᾧ πιστῶς σὲ ἐκδυσωποῦμεν,
ἀθλοφόρε Ῥωμανέ,
πάντων ἡμῶν τὰς προσευχὰς
Κυρίῳ προσάγαγε,
ὅπως πταισμάτων πολλῶν
τὴν λύσιν λάβωμεν.

θεοτ. Συντριβέντα μου τὸν νοῦν
ταῖς μεθοδίαις τοῦ πλάνου
καὶ τῇ ἀπάτῃ δελεαζόμενον
καὶ ῥαθυμίᾳ κεκρατημένον
ἐπίσκεψαι, ἀγαθή,
καὶ ἀνάνευσίν μοι δὸς

172 προσφορᾶ Cu Pa 182 ἀπεστένωσαν] -σας Pa ἀπεστέρησαν Πb 184 ἀπάγουσαν Pa ὀφθεῖσαν Πb 188 ὑπάρχων Πb 198 δελεαζόμενος Πb 199 κεκρατημένον] καταπτωθέντα Pa καταποθέντα Πb

172-174 Eph. 5,2 178 Ps. 67,25 183-184 Matth. 7,14

καὶ ἴασαι, δέσποινα,
τὴν ταπεινήν μου ψυχήν,
ὅπως ἀεί σε ὑμνῶ.

ᾠδὴ η'. *Γῆ καὶ πάντα τὰ ἐν αὐτῇ*

Ἐκραταίωσέ σε Χριστὸς
τὸν δράκοντα νικῆσαι, Ῥωμανέ,
τὸν ἐν κακίᾳ δυνατὸν
καὶ ἰδοὺ κατευμεγεθήσας
τῶν τούτου παγίδων
κυριεύεις αὐτοῦ τῆς δυνάμεως
καὶ ὡραιοτάτοις
καταπατεῖς ποσί σου.

Γῆ βοᾷ σου τὰ θαυμαστὰ
παλαίσματα, τοὺς ἄθλους τοὺς μακρούς,
τοὺς ὑπὲρ φύσιν σπαραγμούς,
τὴν ἀνδρείαν, τὴν καρτερίαν,
τοὺς δρόμους, τὴν νίκην,
τὰ λαμπρὰ κατ' ἐχθρῶν ἀριστεύματα,
Ῥωμανὲ παμμάκαρ,
μαρτύρων μέγα κλέος.

Ὦ μεγίστης ὑπομονῆς
τοῦ μάρτυρος! εἱρκτῇ γὰρ συγκλεισθείς,
οἷά περ φύλαξ τῶν Χριστοῦ
παναγίων δικαιωμάτων,
πνιγμῷ ὁ γενναῖος
τὸ μακάριον τέλος ἐδέξατο
ὅλων τῶν δαιμόνων
τὸ στῖφος ἀποπνίξας.

θεοτ. Ὁ τὸ εἶναι πᾶσι διδοὺς
πλάττεται ἐκ σοῦ θεοπρεπῶς

heirm. η' EE 107, n. 150, Andreae; heirm. integrum in marg. praebet Πb
223 τῶν] τοῦ Πb 227 ὅλον Πb

καὶ τῶν μαρτύρων τοὺς χοροὺς
μιμουμένους αὐτοῦ τὸ πάθος,
ἁγνή, μεγαλύνει
καὶ κινδύνων παντοίων καὶ θλίψεων
ἐναπολυτροῦται
ἀεὶ τοὺς σὲ τιμῶντας.

ᾠδὴ θ'. *Ἐποίησε κράτος*

Ἰδεῖν ἠξιώθης
τὸν ποθούμενον Χριστόν,
ἀπέλαβες τῶν πόνων σου τὰ γέρα,
κατεκληρώσω τὴν γῆν,
ἣν οἰκοῦσιν οἱ πραεῖς,
νυμφῶνος ἐπέτυχες τερπνοῦ,
κατανοεῖς τὰ κάλλη
τὰ ἀθέατα ἀεί,
Ῥωμανὲ θεόφρον.

(f. 77v) ‖ Ὡράθης ὡς πύργος
ἀπερίτρεπτος, σοφέ,
ἐξήνθησας ὡς φοῖνιξ καὶ ὡς ῥόδον
ἡδύπνοον τῶν πιστῶν,
εὐωδίασας ψυχάς,
ὡς ἥλιος ἔλαμψας φαιδρὸς
τὴν κτίσιν καταυγάζων
τῶν ἀγώνων σου λαμπρῶς
ταῖς φωτοχυσίαις.

Σὺν τῷ Ἡσυχίῳ
τῷ γενναίῳ ἀθλητῇ
νηπίῳ τε τῷ μάρτυρι Κυρίου
τιμῶμέν σε, Ῥωμανὲ

234 κινδύνων παντοίων] παντοίων κινδύνων Pa Πb
heirm. θ' EE 106, n. 149, Andreae; heirm. integrum in marg. praebet Πb 237 ἠξιώθης] κατηξιώθης Pa 243 κάλλει Cu 251 φαιδρῶς Πb 254 ταῖς] καὶ Πb

248 Ps. 91,13; Sir. 39,13

γενναιόφρον, οἱ πιστοί·
πρεσβείαν ποιήσατε ὁμοῦ
ὑπὲρ ἡμῶν ἀπαύστως,
ὅπως ἐπιτύχωμεν
αἰωνίου δόξης.

Ἡμῶν τῶν τελούντων
τὴν φαιδράν σου ἑορτὴν
μνημόνευε ὡς ἔχων παρρησίαν
σὺν τοῖς συνάθλοις τοῖς σοῖς,
ἀθλοφόρε Ῥωμανέ,
ῥυσθῆναι ἡμᾶς τῶν χαλεπῶν
τοῦ δυσμενοῦς σκανδάλων
καὶ κολάσεως ἐκεῖ
διαιωνιζούσης.

θεοτ.

Φρικτόν σου τὸν τόκον
ἀνυμνεῖ πᾶσα ἡ γῆ,
δοξάζει σε χορὸς σεπτῶν μαρτύρων
καὶ ἀποστόλων ἀεὶ
καὶ ἁγίων προφητῶν,
μεθ᾽ ὧν ἡμῖν αἴτησαι πολλῶν
ἁμαρτημάτων λύσιν,
παναγία δέσποινα,
προστασία πάντων.

---

273 Φρικτῶς Pa Πb

20 NOV. *CANON* XXXIX

IN SOLLEMNIS DIEI VIGILIAM PRAESENTATIONIS BEATAE MARIAE VIRGINIS ET IN SANCTOS DASIUM MARTYREM ET GREGORIUM DECAPOLITAM

Synaxarium, 241: Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Δασίου τοῦ ἐν Δοροστόλῳ. Ἰστέον, ὅτι ἐν ταύτῃ τῇ πόλει τοιοῦτον ἔθος ἦν τοῖς ἕλλησι· τῷ Κρόνῳ ἐπετέλουν ἑορτὴν ἐτησίως, πρὸ τριάκοντα δὲ ἡμερῶν τῆς τοιαύτης μυσαρᾶς ἑορτῆς ἐπελέγοντο ἕνα τινὰ τῶν στρατιωτῶν νέον καὶ εὐειδῆ, καὶ εὐτρέπιζον πρὸς θυσίαν, ἐνδύοντες αὐτὸν ἱμάτια βασιλικὰ καὶ προτρεπόμενοι ἀποπληροῦν πᾶσαν ἐπιθυμίαν αὐτοῦ, ὡς μετὰ τριάκοντα ἡμέρας μέλλοντα ἐπισφάττεσθαι τῷ βωμῷ τοῦ Κρόνου. Ἐλθόντος δὲ τοῦ κλήρου καὶ ἐπὶ Δάσιον τὸν στρατιώτην καὶ τῶν συστρατιωτῶν περιστάντων αὐτῷ καὶ πρὸς τὰ ὅμοια ἐκβιαζομένων, ἐκεῖνος ἀγαθῷ λογισμῷ χρησάμενος ἐσκόπησε τὸ συμφέρον, εἰπὼν ὅτι· «Ἐπεὶ μέλλω θανεῖν, κρεῖττόν μοί ἐστιν ὡς χριστιανῷ ὑπὲρ τοῦ Χριστοῦ μου ἀποθανεῖν»· ὅθεν παραστὰς τῷ τοῦ ἄρχοντος βήματι, Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ τοῦτο μαθόντων καὶ προσταξάντων, καὶ πολλὰ τιμωρηθεὶς τελευταῖον τὴν διὰ ξίφους ἐδέξατο τελευτήν. .....

239-240: Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Γρηγορίου τοῦ Δεκαπολίτου. Ὃς ὑπῆρχεν ἐπὶ τῆς βασιλείας τῶν εἰκονομάχων. Οὗτος ἔφυ μὲν ἐν μιᾷ τῶν ἐν τῇ Δεκαπολιτῶν πρὸς τῇ Ἰσαυρίᾳ πόλεων, ᾗ ὄνομα Εἰρηνούπολις, γεννητόρων δὲ Σεργίου καὶ Μαρίας. Ὀκταετὴς δὲ γενόμενος, πρὸς τὴν μάθησιν τῶν ἱερῶν γραμμάτων ἐκδίδοται καὶ τούτων πλήρης γεγονὼς ταῖς ἐκκλησίαις ἐσχόλαζε. Τῆς ἥβης δὲ αὐτῷ ἐπανθούσης, πρὸς γάμον ἐκδοθῆναι ὑπὸ τῶν γονέων παρεσκευάζετο. Ὁ δὲ λάθρα φυγὼν καὶ μάλιστα διὰ τὴν ἐπικρατοῦσαν τότε τῶν εἰκονομάχων αἵρεσιν, περιήρχετο τόπον ἐκ τόπου τοὺς ἁγίους ἄνδρας κατασπαζόμενος, τὴν ὠφέλειαν παρ᾽ ἑαυτῷ θησαυρίζων. Τῇ ἐγκρατείᾳ δὲ καὶ σκληραγωγίᾳ ἑαυτὸν καθυποβαλών, πολλαῖς κακώσεσι καὶ μάλιστα δαιμονικαῖς ἐπάλαισεν· ὅθεν καὶ μέγας θαυματουργὸς ἀνεφάνη. Οὗτος καὶ τὴν Ἀσίαν κατέλαβε καὶ πρὸς τὸ Βυζάντιον ἐπεδήμησεν, ἐπιθυμίαν ἔχων ἐπιτυχεῖν τῆς ὁμολογίας. Ἐκεῖθεν πρὸς τὴν Ῥώμην ἀπέπλει, καὶ πᾶσαν τὴν ἑσπέραν περινοστησάμενος καὶ θαύμασι καὶ τέρασι πολλοὺς ἐκπλήξας, πάλιν πρὸς τὸ Βυζάντιον ἔρχεται· εἶτα πρὸς τὸ Ὀλύμπιον ὄρος μετέστη, ὅπου καὶ ὑδεριάσας καὶ πάνυ ἐκτακεὶς ἀπὸ μόνης φωνῆς τοῖς εἰδόσιν ἐγνωρίζετο. Καὶ πάλιν οὖν ἀπὸ τοῦ ὄρους κατελθὼν καὶ τὴν Θεσσαλονίκην καταλαβὼν ἐκεῖθέν τε τῷ Βυζαντίῳ προσορμήσας καὶ Συμεὼν τὸν ὁμολογητὴν καὶ θεοφόρον, θεῖον αὐτοῦ ὄντα, ὑπὲρ τῶν σεπτῶν καὶ ἁγίων εἰκόνων εὑρὼν ἐγκεκλεισμένον καὶ πολλὰ καθικετεύσας καὶ προσκυνήσας, ἐν εἰρήνῃ ἐκοιμήθη, πολλὰ καὶ διάφορα νοσήματα ἐξ ἀνθρώπων ἀπελάσας.

Paris. gr. 1570 = Pf, ff. 123v-127v
Mess. gr. 138 = Mb, ff. 60-61v
Paris. gr. 259 = Pa, ff. 179-180v, 185v-187

Ὁ κανὼν προεόρτιος, οὗ ἡ ἀκροστιχίς·
Πύλας ἀνοίγει τῇ Θεοῦ ναὸς πύλη χαίρων.
Ἐν τοῖς θεοτοκίοις· Γεωργίου.

Ἦχος α′.

ᾠδὴ α′. *Σοῦ ἡ τροπαιοῦχος δεξιὰ*

Πύλας καὶ εἰσόδους ὁ ναὸς
ἀναπετάσας τὴν πύλην εἰσδέχεται
τοῦ παμβασιλέως
καὶ Θεοῦ καὶ κοσμεῖ τὰ ἐνδότερα,
ἧς ἐν τῇ εἰσόδῳ
καταφαιδρύνεται χάρισιν.

Ὑπερεπλεόνασε βροτοῖς
τῶν ἀγαθῶν τοῦ Θεοῦ τὰ χαρίσματα
τὴν οἰκείαν σήμερον
αὐτῷ ἀπαρχὴν εὐτρεπίζουσι
δῶρον ἀποδοῦναι
καὶ παρρησίας ἐνέχυρον.

Λαμπρύνεται σήμερον τερπνῶς
τοῦ ἀθλοφόρου ἡ μνήμη ταῖς χάρισι
ταῖς τῆς θεομήτορος
Pa, f. 179v || καὶ κοσμεῖται ταῖς ταύτης ἐπιλάμψεσι
καὶ ὑπερεκβλύζει
ἀνθρώποις πᾶσι τὰ θαύματα.

Ἀνύστακτον ἔχων τῆς ψυχῆς
καὶ διανοίας τὸ ὄμμα, Γρηγόριε,

---

tit. Ὁ κανὼν προεόρτιος Mb   Ὁ κανὼν προεόρτιος τῶν εἰσοδίων τῆς θεοτόκου (et in marg. Γεωργίου) Pa   Ἕτερος κανὼν εἰς τὸν ἅγιον μάρτυρα Δάσιον Pa

heirm. α′ EE 1, n. 1, Joannis   9 οἰκίαν Mb   12 παρρησία Pa   13 sqq. troparia in S. Dasium cdd. Pa et Pf praebent, ceteri cdd. om.; troparia autem in S. Gregorium tantum cd. Pf profert

---

7-8 I Tim. 1,14

πρὸς τὰ ἀθεώρητα
καὶ νοητὰ καὶ ἀεὶ διαμένοντα
τὰ γεώδη πάντα
ἐμίσησας ὡς ἀνύπαρκτα.

θεοτ. Γένος γηγενῶν καταλλαγῆς
καὶ οἰκειώσεως, μόνη πανάχραντε,
Mb, f. 60v σὲ τῷ ποιη||τῇ
καὶ πλαστουργῷ σήμερον παρεχόμενον
χαίρει καὶ δοξάζει
τὸν σὲ δοξάσαντα Κύριον.

ᾠδὴ γ′. *Ὁ μόνος εἰδὼς τῆς τῶν βροτῶν*

Σήμερον φαιδρὰς παρθενικαὶ
χορεῖαι εὐτρεπίσασαι
τὰς νοητὰς λαμπάδας προτρέχουσι
καὶ τὰς εἰσόδους τοῦ ἱεροῦ τοῦ Θεοῦ
προκοσμοῦσι χαίρουσαι
καὶ προκαταγγέλλουσι
τῆς πανάγνου τὴν θείαν ἐπέλευσιν.

Αἱ τῶν παλαιῶν καὶ τυπικῶν
συμβόλων παρατρέχουσι
σκιαὶ καὶ τὰ ἐν νόμῳ αἰνίγματα
ὑποχωροῦσι τῆς θεομήτορος
τὴν τῶν ὄντων ἔκβασιν,
Χριστὸν τὸν Θεὸν ἡμῶν,
κηρυττούσης ἐν οἴκῳ τῆς δόξης αὐτοῦ.

Νέφη διαδρὰς τὰ τῶν βασάνων,
μάρτυς, ἐλλαμπόμενος

---

25 sqq. θεοτ. bis invenies in Pa; canones enim in S. Deiparam et in S. Dasium separatim tradit cd.   27 τὸν ποιητὴν Mb Pa   28 πλαστουργὸν Pa

heirm. γ′ EE 1, n. 1, Joannis   35 προσκοσμοῦσι Pa   χαίροντες Mb   36 προκαταγγέλλουσαι Pa

---

25 Rom. 5,11   31-33 Matth. 25,7

τῆς καρτερίας αἴγλῃ καὶ χάριτος
φωτὶ τῷ ὄντως ἀδύτῳ, ἔνδοξε,
Χριστῷ προσεπέλασας
καὶ φωστὴρ ἀκοίμητος
ἀνεδείχθης τοῖς πέρασι, Δάσιε.

Ὅλως τὴν διάνοιαν ἀρθεὶς
καὶ περιὼν ἐν πνεύματι
καὶ ἐπὶ γῆς ὑπάρχων, Γρηγόριε,
πρὸς ἀόρατον δόξαν καὶ ἔρωτα
ποθουμένων ἔτυχες
ἀγαθῶν καὶ ἔφθασας
τὰς χορείας τῶν ἄνω δυνάμεων.

θεοτ. Ἔθελξας, ἁγνή, παρθενικὰς
χορείας τῆς ἁγνείας σου
τῇ εὐωδίᾳ, ἃς καὶ ηὐτρέπισας
προστρέχειν πόθῳ ἐν τῷ ναῷ τοῦ Θεοῦ
καὶ τὰ μεγαλεῖά σου
ἀναγγέλλειν χάριτι
καὶ βροτῶν σε κηρύττειν εὐπρέπειαν.

ᾠδὴ δ'. *Ὄρος σε,*
τῇ χάριτι τῇ θείᾳ κατάσκιον

Ἵδρυνται
τῆς χάριτος οἱ θεῖοι θεμέλιοι
καὶ κατεσείσθησαν βωμοὶ
τῆς ἀθεΐας καὶ ναοὶ
εἰς γῆν κατεκλίθησαν
τῆς τοῦ Θεοῦ
σκηνῆς ἐν οἴκῳ τῆς δόξης αὐτοῦ
ἀνατεθείσης εἰς πάντων ἐπίγνωσιν.

---

62 προτρέχειν Pa 64 χάριτι] σήμερον Pa
heirm. δ' EE 1, n. 1, Joannis 70 κατεκλήθησαν Pa 73 ἀνατεθήσεις Mb

---

63 Act. 2,11 66-67 II Tim. 2,19

Γνόντες σε
παστάδα τοῦ Θεοῦ ἐπουράνιον
αἱ τῶν ἀγγέλων στρατιαὶ
προωδοποίουν ἐν χαρᾷ
τῇ σῇ, θεονύμφευτε,
ἐν τῷ ναῷ
ἀφιερώσει καὶ ἅπαντας
τοὺς γηγενεῖς εἰς δόξαν σου συνήθροιζον.

Ἔλαιον
ἀπάτης καὶ θωπείας, ἀοίδιμε,
ἀποσεισάμενος, σοφέ,
οὐκ ἐλιπάνθης τὴν ψυχὴν
κακῶν εἰσηγήσεσιν,
ἀλλὰ Χριστοῦ
τῇ θείᾳ πίστει καὶ χάριτι
καταρδευόμενος ὤφθης ἀήττητος.

Ἴσχυσας
τῇ χάριτι τῇ θείᾳ νευρούμενος
τοὺς ἀοράτους σου ἐχθροὺς
καὶ ἀσωμάτους ἐν θνητῷ,
Γρηγόριε, νεύματι
καὶ ὁρατῷ
καταπαλαῖσαι καὶ τρόπαια
νικητικὰ κατὰ τούτων κομίσασθαι.

---

81 συνήθροισεν Mb -ζεν Pa

82-89 AB 16 (1897), 14-15: Ὡς δὲ ἠνάγκαζον αὐτὸν προσενεγκεῖν θυσίαν τοῖς ἀκαθάρτοις δαίμοσιν, τότε λαβὼν ταῖς ἰδίαις χερσὶν ὁ μακάριος Δάσιος διεσκόρπισεν αὐτῶν τὰ θυμιάματα καὶ κατέβαλεν τὰ δυσσεβῆ καὶ ἀθέμιτα τῶν ἱεροσύλων εἴδωλα εἰς τὴν γῆν κατασύρας, ὥπλισέν τε τὸ μέτωπον αὐτοῦ τῇ σφραγῖδι τοῦ τιμίου σταυροῦ τοῦ Χριστοῦ, οὗτινος τῇ δυνάμει ἰσχυρῶς πρὸς τὸν τύραννον ἀντεγνωρίσατο...

90-97 JOANNOU, 131: ... κονισάμενος δὲ κατ' αὐτοῦ (scil. ὄφεως) καὶ τοῦτον ἡττήσας ὅση δύναμις... ἔδει γὰρ τὸν πρὸς ἀοράτους ἐχθροὺς ἀνῃρῆσθαι πόλεμον μέλλοντα...

82-85 Ps. 140,5

θεοτ. Ὡς ὄντως
ὡραίαν σε καὶ δόξῃ τῇ κρείττονι
κεκοσμημένην ὁ ναὸς
νύμφην δεξάμενος, ἁγνή,
τὰ σύμβολα σήμερον
τῆς μυστικῆς
Θεῷ προσφέρει νυμφεύσεως
νυμφοστολῶν σε τὴν μόνην ἀνύμφευτον.

ᾠδὴ ε΄. *Ὁ φωτίσας*
τῇ ἐλλάμψει τῆς σῆς παρουσίας, Χριστέ,

Τῇ νεφέλῃ
τοῦ ἡλίου τῆς δόξης τὰ νῶτα ἡ γῆ
ὑποθεῖσα
τὴν αὐτῆς ἀπεκδέχεται πρόοδον
Mb, f. 61 καὶ χαίρουσα σή‖μερον
αὐτῇ βοᾷ ἐγκαυχωμένη
ἐπιβατήριον αἴνεσιν.

Ηὐτρεπίσθη
τοῦ ναοῦ ἀνεπίβατα ἄδυτα
καὶ τὴν πύλην
τοῦ Θεοῦ τὴν μόνην ἀδιόδευτον
ἐν χαρᾷ προτρέπεται
ἔνδον εἰσδῦσαν εὐωδίας
ταῦτα πληρῶσαι τῆς κρείττονος.

Θαυμάσια
ἐν ἁγίοις ὑπάρχει τὰ ἔργα σου
καὶ τὸ κράτος
ἐν αὐτοῖς ἀπορρήτως δοξάζεται,
δι᾽ οὗ τὴν ἀντίπαλον
ἰσχύν, Χριστέ, ἐκπολεμοῦντες
τροπαιοφόροι ἐδείχθησαν.

---

heirm. ε΄ EE 1, n. 1, Joannis

100-101 Apoc. 21,2 120-121 Apoc. 15,3

Ἐμίσησας
ἐκ νεότητος, μάκαρ Γρηγόριε,
ὁρωμένων
ματαιότητα, πάτερ, καὶ ἔσπευσας
διὰ βίου κρείττονος
τῶν ἀθεάτων καὶ ἀφθάρτων
ἐπαπολαῦσαι, μακάριε.

θεοτ. Ῥανάτωσαν
αἱ νεφέλαι ὄμβρον τὸν οὐράνιον·
τοῦ ὑετοῦ
τῆς ζωῆς ἡ νεφέλη γὰρ σήμερον
ἐφαπλοῦσθαι ἄρχεται
τῇ πρὸς τὰ ἅγια εἰσόδῳ
χάριτος στάζουσα νάματα.

ᾠδὴ ς΄. *Ἐκύκλωσεν ἡμᾶς*
ἐσχάτη ἄβυσσος

Οἱ ἄγγελοι Θεοῦ
οἱ ὄντες ἔφοροι
ἐν τῷ ναῷ τῆς δόξης αὐτοῦ
προεόρτιον κροτοῦσι νοητῶς
τὴν θεοπρεπῆ χορείαν σήμερον
καὶ τῇ ἁγνῇ
ἀναβοῶσιν ᾠδὴν εἰσόδιον.

Ὑπέρτιμον Θεῷ
δῶρον ἡ ἄχραντος
βροτῶν τῆς ταπεινώσεως
εὐτρεπίζεται προσάγεσθαι δεκτὸν
εἰς καταλλαγάς τε καὶ ἐνέχυρον
τῶν τῆς Ἐδὲμ
ἀποβληθέντων διὰ παράβασιν.

---

135 οὐράνιον] εὐφρόσυνον Pa 140 στάζουσαν Pa
heirm. ς΄ EE 1, n. 1, Joannis 148 θεοῦ Mb 151 εὐτρεπίζεσθαι Mb προσάγασθαι Pa 152 ἐνέχυρα Pa

---

134-135 Is. 45,8

Pa, f. 180 Νεότητι ψυχῆς
καὶ ἀκμαζούσαις φρεσὶν
ἀνδρείᾳ τε καὶ χάριτι
τὸν ἀρχέκακον κατέβαλες, σοφέ,
τούτῳ συμπλακεὶς ἐν ἄθλοις, Δάσιε·
τὸν κραταιὸν
Χριστὸν γὰρ ἔσχες σὲ ἐνισχύοντα.

Ἀντλήσας ἐκ πηγῆς,
πάτερ, τοῦ πνεύματος
τὰ νάματα τῆς χάριτος,
ταῦτα ἔνειμας ἀφθόνως τοῖς πιστοῖς
τοῖς εἰλικρινῶς ἐξαιτουμένοις σε,
ἅπερ καὶ νῦν
ἡμῖν προχέοις τοῖς εὐφημοῦσί σε.

θεοτ. Γνωρίσματα νυνὶ
τῆς οἰκειώσεως
οἱ ἄνθρωποι λαμβάνουσι
διὰ σοῦ τῆς πρὸς τὸν πάντων ποιητήν,
σέ, θεοκυῆτορ, τούτῳ φέροντες
ὡς ἀπαρχὴν
αὐτῶν καὶ δῶρον καὶ ἱερεῖον δεκτόν.

ᾠδὴ ζ'. *Σὲ νοητήν,*
θεοτόκε, κάμινον

Οἱ νοητοὶ
ποταμοὶ τῆς χάριτος
νῦν πλημμυροῦσιν ἐπὶ γῆς
τὴν τὸ ὕδωρ τὸ τῆς ζωῆς
ἐν τῷ οἴκῳ σήμερον
τοῦ Θεοῦ εἰσάγεσθαι

172 τῆς] τὴν Pa   175 αὐτῷ Mb Pf   heirm. ζ' EE 1, n. 1, Joannis
179 τὴν] νῦν Pf   τῆς Mb

174-175 Apoc. 14,4   177-179 Apoc. 22,1

ὑπερφυῶς πηγῆς ἐκβοώσης αὐτῷ·
« ὁ αἰνετὸς τῶν πατέρων
Θεὸς καὶ ὑπερένδοξος ».

Σὲ φωτεινόν,
θεοτόκε, ὄχημα
τοῦ βασιλέως καὶ Θεοῦ
ὁ τοῦ νόμου θεῖος ναὸς
μέλλων ὑποδέχεσθαι
ἔχαιρε κοσμούμενος
καὶ τῷ ἐκλεξαμένῳ σε ἔκραζεν·
« ὁ αἰνετὸς τῶν πατέρων
Θεὸς καὶ ὑπερένδοξος ».

Πρὸς συμπλοκὴν
ἀντιθέων, Δάσιε,
ἐγκαθοπλίσας σεαυτὸν
δυναμούμενος ἐν Χριστῷ
ἔτρεψας, ἐνίκησας
καὶ γενναίως ἤθλησας
παρεμβολὰς ἐχθρῶν ἀναμέλπων ἀεί·
« ὁ αἰνετὸς τῶν πατέρων
Θεὸς καὶ ὑπερένδοξος ».

Ὑποταγεὶς
τοῖς Χριστοῦ θελήμασι,
πάτερ Γρηγόριε, σαρκὸς
τὰς κινήσεις καὶ τὰς ὁρμὰς
ὑπὸ πόδας τέθεικας
καὶ δαιμόνων φάλαγγας
τῇ τοῦ Χριστοῦ ἰσχύι ὑπέταξας,
τὸν αἰνετὸν ἀναμέλπων
Θεὸν καὶ ὑπερένδοξον.

θεοτ. Ἴδον καινὸν
τοῦ ναοῦ σου θέαμα
οἱ παλαιοὶ τύποι, ἁγνή,

183, 192, 201, 210, 219 post αἰνετὸς (-ὸν) orat. varie intermittunt cdd.
185 Σὺ Mb Pa

εἰσαχθείσης σου ἐν αὐτῷ
καὶ ὡς ἀληθείας σε
πλήρωμα ἐδέξαντο
καὶ τῷ δεσπότῃ πάντων ἐβόησαν·
« ὁ αἰνετὸς τῶν πατέρων
Θεὸς καὶ ὑπερένδοξος ».

Mb, f. 61v || ᾠδὴ η΄. *Ἐν καμίνῳ παῖδες Ἰσραὴλ*

Λαμπαδούχων
σήμερον χοροὶ
λαμπάδας νοουμένας
τῶν λόγων καὶ ὁρωμένας
ἑτοιμάζουσι φαιδρῶς
πρὸς τὴν σὴν ὑπάντησιν
καὶ βοῶσιν·
« πάντα τὰ ἔργα Κυρίου
τὸν Κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

Ἡ παστάς σοι
ἡ τῶν ἱερῶν,
παρθένε, καὶ ἀδύτων
τῇ κρείττονι ἑτοιμάζεται
παστάδι τοῦ Θεοῦ
καὶ κοσμεῖται σήμερον
ἐκβοῶσα·
« πάντα τὰ ἔργα Κυρίου
τὸν Κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

Χαρμόσυνον
σήμερον ᾠδὴν

heirm. η΄ EE 1, n. 1, Joannis 228, 239, 250, 261, 272 post πάντα orat. varie intermittunt cdd. 232 παστάσοι Mb

προσάγων τῇ παρθένῳ
ὁ μάρτυς διπλῆν ⟨— ´— — (—)⟩
προστίθησιν ἡμῖν
εὐφροσύνην κράζουσιν·
« εὐλογεῖτε
πάντα τὰ ἔργα Κυρίου,
τὸν Κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

Ἀρώματα,
πάτερ, νοητὰ
χαρίτων καὶ θαυμάτων
προφέρων ἐκ τῆς σοροῦ σου
τῆς ἁγίας δαψιλῶς
ἡδύνεις τοὺς ψάλλοντας·
« εὐλογεῖτε
πάντα τὰ ἔργα Κυρίου,
τὸν Κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

θεοτ. Οἱ πόθῳ σοι,
δέσποινα ἁγνή,
τὰ θεῖα μεγαλεῖα
τιμῶντες καὶ εὐφημοῦντες
προεόρτιον ᾠδὴν
πλεκόμενοι σήμερον
ἐκβοῶμεν·
« πάντα τὰ ἔργα Κυρίου
τὸν Κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

246 tres syllabae desiderantur 265 Ὁ π. σου Pa 271 ἐκβοῶντες Pa

ᾠδὴ θ'. *Τύπον*
τῆς ἁγνῆς λοχείας σου

Ἴδεν
ἑαυτῆς, πανάχραντε,
ἡ τῶν ἀνθρώπων φύσις ξένην οἰκείωσιν
τὴν πρὸς τὸν δεσπότην καὶ Θεόν σε παρέχουσα
προσφορὰν αὐτῷ δεκτὴν καὶ ἄμωμον·
διὸ προεορτάζει
καὶ μεγαλύνει σου τὰ θαύματα.

Ῥάβδος
εὐθαλὴς βασίλειος
ἐν τῷ ναῷ Κυρίου ἐξευτρεπίζεται
σήμερον εἰσάγεσθαι καὶ προεόρτιον ἥδυσμα
τὴν αὐτῆς εὐωδίαν προτίθησιν
ἡμῖν τοῖς διαπύρως
ταύτην ἀπαύστως μεγαλύνουσιν.

Ὤφθης
τῶν ἐχθρῶν ἀνώτερος
ὡς παρωσάμενος, μάρτυς, τὰ χαμαίζηλα
καὶ τὰ νοητὰ ἐπιποθήσας καὶ μένοντα·
διὰ τοῦτο καὶ νίκην οὐράνιον
ἐδέξω ἐν ἀγῶσι
τὸν λυτρωτὴν δοξάζων, Δάσιε.

Νέφη
ὑπερβὰς τοῦ σώματος
καὶ προσπελάσας τῷ φωτὶ τῷ τοῦ πνεύματος

---

heirm. θ' EE 1, n. 1, Joannis 277 ἑαυτὴν Pa 279 τὴν] τὸν Mb παρέχουσαν Mb 288 τῆς διαπήροις Mb

---

299-300 Joannou, 129: ... ἄλλον ἄλλο τι τῶν τῆς ἀρετῆς καθαρῶν ἐμφάσεων ἐρανίζεσθαι προὔτρεπεν...

---

280 Heb. 9,14 283-284 Heb. 1,8

θείων καθαρῶς, πάτερ, ἐμφάσεων ἔτυχες·
διὰ τοῦτο χαρίτων, Γρηγόριε,
ἠξίωσαι δοξάζων
τὸν σὲ ἐν θαύμασι δοξάζοντα.

θεοτ. Ὕμνους
τοὺς σεπτούς σοι πλέκοντας
Pa, f. 180v καὶ δῶρα ‖ θεῖα τούτους ὡς προεόρτια
φέροντας, πανάχραντε ἁγνή, καταξίωσον
ἐν αὐτῇ τῇ εἰσόδῳ τῆς δόξης σου
τυχεῖν τῶν σῶν χαρίτων
καὶ εὐφροσύνως μεγαλῦναί σε.

---

306 ὥσπερ ἑόρτια Pa ὡπροεόρτια Pa, f. 187

20 NOV. *CANON XL*

IN SANCTUM GREGORIUM DECAPOLITAM

Mess. gr. 52 = M, ff. 52^{r-v}
Crypt. Δ.α. XIX = Cu, ff. 79^{v}
Lesb. Leimonos 124 = Λ, ff. 182-191

Ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε·
Λόγοις σε θείοις, παμμάκαρ, μέλπω, πάτερ· ὁ Ἰωσήφ.

Ἦχος δ'.

ᾠδὴ α'. *Τῷ ὁδηγήσαντι πάλαι*

Λελαμπρυσμένος ἀκτῖσι
τρισσολαμποῦς χάριτος,
φωτοειδεῖς μαρμαρυγὰς
ἐναπαστράπτεις ἰάσεων
φωταγωγῶν τοὺς τελοῦντάς σου
πάντοτε
τὴν φωτοφόρον ἑορτήν,
πάτερ Γρηγόριε.

Ὁλοκαρδίως ποθήσας
τῶν ἀγαθῶν αἴτιον,
ταῖς ἀνενδότοις πρὸς Θεὸν
νεύσεσι, πάτερ Γρηγόριε,
ἀπεγεώθης καὶ γέγονας

tit. Ὁ κανὼν M   Ἕτερος κανὼν τοῦ ἁγίου Γρηγορίου, οὗ ἡ ἀκροστιχὶς Λ; acr. om. M   λόγοι (σε om.) Λ   ὁ sup. lin. Cu   heirm. α' EE 106, n. 149, Andreae   1 ἀκτῖσι om. Λ   3 φωτοειδοῦς M   7-8 τὴν φωτοφόρον καὶ σεπτὴν / μνήμην Γρηγόριε M   13 τότε σαρκὸς ὑπεχώρησε M propter homoioteleuton v. 28

χάριτι
ὅπερ αὐτὸς φύσει ἐστί,
μακαριώτατε.

Γῆν καταλείψας πατρῴαν
καὶ τὸ τῆς γῆς φρόνημα
ἀπαρνησάμενος, σοφέ,
ἀσκητικαῖς ἐπιδόσεσι
πάθη ψυχῆς ἀπετέφρωσας
καὶ ἄνθρακας
τῆς ἀπαθείας ὡς Χριστοῦ
θεράπων εἴληφας.

Ὅτε σε ἔρως ὁ θεῖος
φωτοειδῶς ἤστραψε
καὶ κατεκράτησε τῆς σῆς
ψυχῆς, θεόφρον Γρηγόριε,
τότε σαρκὸς ὑπεχώρησαν
ἔρωτες
τὸ τῆς ἁγνείας σου καλὸν
περιποιούμενοι.

θεοτ. Ἰσοσθενῆ Λόγον τίκτεις
ὑπερφυῶς, πάναγνε,
Πατρὸς καὶ Πνεύματος, Χριστόν,
τὸν δι' ἡμᾶς νηπιάσαντα
καὶ τὸν αὐτοῦ μεγαλύναντα
ὅσιον
ἀσκητικῶς τὸν πονηρὸν
καταπαλαίσαντα.

⟨ᾠδὴ β'. ....

Σ ....
....

Σ ....
....

21 ψυχᾶς M   25-32 trop. om. M   37 μεγαλύνοντα M
odem β' om. cdd.

Ε ....
....

θεοτ. Θ ....
.... 〉.

ᾠδὴ γʹ. *Ὁ στερεῶν βροντὴν καὶ κτίζων πνεῦμα*

Ἐπὶ μειζόνων ἔργων ἐπιδείξει
Θεός σε προσκαλούμενος
μεταναστεύειν παρεγγυᾷ
τῆς πατρῴας γῆς καὶ ξένην
ξενοπρεπῶς διέρχεσθαι
ἐφέσει τῆς ἄνω Σιών.

Ἱερωτάτῳ βίῳ ἀπαστράπτων
ἱερωσύνης ἔλαμψας
φωτοειδέσι μαρμαρυγαῖς,
ἱερὲ θαυματοφόρε,
τῶν μοναζόντων καύχημα,
φωστὴρ διαυγέστατε.

Ὁ ἐκ Θεοῦ δοθείς σοι συνοδίτης
περιφρουρῶν σε ἄγγελος
ἀπ' οὐρανόθεν φέρει τροφὴν
σὲ ῥωννύουσαν, παμμάκαρ,
καὶ πλειοτέρᾳ χάριτι
σαφῶς σε λαμπρύνουσαν.

---

heirm. γʹ EE 104, n. 147, Andreae 41-52 ordinem stropharum Λ invertit 41 ἐπιδείξῃ Cu 43 μεταστρατεύειν M 44 ξένης Λ vv. 53-238 desunt in Cu, cum post v. 52 folia nonnulla cecidissent 53 δοθείη Λ 57 καὶ τῶν θαυμάτων χάριτι M

47-48 JOANNOU, 156: Καὶ πρὸς ἱερωσύνης ἀνάληψιν ἄξιον ἑαυτὸν παρεσκεύασε.

49 Cfr. v. 3.

54-55 JOANNOU, 145: Καὶ ἦν ἔκτοτε ὑπομένων, τὴν παρὰ τοῦ θεοῦ χορηγίαν ἀπεκδεχόμενος. Ὁ δὲ Κύριος... ὡς Ἠλίᾳ πάλαι τράπεζαν ὑπὸ πτηνοῦ δαψιλευσάμενος καὶ δι' ἀγγέλου προφήτην ἄλλον, λάκκῳ κατακριθέντα τροφῇ κορέσας καὶ τῷ ὁσίῳ διὰ γυναίου τὴν ἐφήμερον βρῶσιν παρήρτυσεν.

θεοτ. Ἰχνηλατῶν Θεὸν τὸν ἐκ παρθένου
τεχθέντα, παναοίδιμε,
ξένος καὶ πάροικος καὶ πτωχὸς
διετέλεσας ἐν βίῳ·
πλουτοποιοῖς χαρίσμασι
διό σε κατεπλούτισεν.

ᾠδὴ δʹ. *Εἰσακήκοα ὁ Θεὸς*
τὴν ἀκοήν σου καὶ ἐφοβήθην

Στομωθεὶς τῷ θείῳ πυρί,
κατὰ δαιμόνων ὠράθης ξίφος
τὰς αὐτῶν ἐκτέμνων φάλαγγας,
ἱερὲ Γρηγόριε,
καὶ νικητὴς ἐνθέως δεικνύμενος.

Ποταμὸν τοῦ βίου περῶν
παθῶν ῥυτίδι οὐκ ἐμολύνθης,
ποταμοὺς δὲ μᾶλλον ἔβλυσας
ἰαμάτων, ὅσιε,
ἀρρωστημάτων χύσιν ξηραίνοντας.

Ἀκτησίᾳ σου ἀρετῶν πολλὴν
ἐκτήσω περιουσίαν
καὶ πολλούς, πάτερ, ἐπλούτισας
τοῖς ἐν σοὶ χαρίσμασι,
πτωχοποιῶν παθῶν λυτρωσάμενος.

---

63 πλουτοποιεῖς cdd. 64 κατεπλούτησεν Λ κατελάμπρυνεν M

post odem γʹ haec praebet Λ, quae inedita videntur:

Κοντ. ἦχος γʹ: *Ἡ παρθένος σήμερον*
— Τῶν θαυμάτων εἴληφας / λαμπαδουχία τοῦ κόσμου ...
Ὁ οἶκος: — Ἐρασθεὶς τοῦ Χριστοῦ τὰ θεῖα παραγγέλματα...
Κάθ. ἦχος πλ. δʹ: *Τὴν σοφίαν τοῦ Λόγου*
— Γρηγορήσας ἐν ὕμνοις καὶ προσευχαῖς...
— Τῶν ταγμάτων συνήφθης τῶν νοερῶν...
θεοτ. — Ἡ κιβωτός, ἣν ὁ θεῖος ἔφη Δαβίδ...

heirm. δʹ EE 107, n. 150, Andreae 66 ξίφος om. M 67-69 versus 72-74 refert M 70 ποταμὼν M 78 τούς M 79 ἐκλυτρωσάμενος M

---

65 ID., 152: Ὁ δὲ μαθητής... διαλεγομένῳ τῷ ὁσίῳ, ὁρᾷ πυρὸς γλῶσσαν τῷ στόματι αὐτοῦ ἀφικνουμένην.

θεοτ. Μὴ τραπεὶς τὴν φύσιν ἐν σοὶ οἰκεῖ
ὁ Λόγος ἀναλλοιώτως
καὶ δοξάζει, μητροπάρθενε,
τοὺς ἐν ὁσιότητι
πολιτευθέντας τούτου θεράποντας.

ᾠδὴ ε΄. *Ἀνάτειλόν μοι, Κύριε,*

Μυρίπνοος γενόμενος
τῇ πρὸς Θεὸν ἐγγύτητι,
ἱερωσύνης μύρῳ κέχρισαι
θυσίας ἀναιμάκτους
τῷ Θεῷ προσαγόμενος
τῷ τυθέντι, ὅσιε,
εἰς ἀνάπλασιν βροτῶν.

Ἀδίστακτον τὴν δέησιν
προσάγων τῷ ποιήσαντι
τῶν σῶν ἐπέτυχες αἰτήσεων·
τῷ εἴδει γὰρ χρυσῆν σοι
ἐν ἐκστάσει Κύριος
ἐγχειρίζει μάχαιραν
πάθη τέμνουσαν ψυχῆς.

Καυχᾶται τοῖς σπαργάνοις σου
Ἰσαύρων Εἰρηνόπολις
καὶ τοῖς ἀγῶσιν ἐναβρύνεται

80-84 θεοτ. om. M
heirm. ε΄ EE 106, n. 149, Andreae 85 Πυρίπνοος M 87 κέχρησε Λ 89-90 θυσίας προσαγάγεις / τῷ τιθέντι ἔνδοξε M 94 αἰτήσεων om. M 95 χρυσὸν M 97 ἐνχειρίσαι M 98 τέμνουσα cdd. ψυχῶν M 99 καυχᾶτε τοῖς λειψάνοις σου M 101 ἐναμβρύνεται cdd.

87-90 Id., 156: ...καὶ πρὸς ἱερωσύνης ἀνάληψιν... καὶ τῆς ἀναίμου θυσίας ... ἱερεὺς... Θεῷ τὴν θυσίαν ἐπαξίως ἀνήνεγκεν...
95-98 Id., 152-153: ... Ὁ δὲ πατὴρ ... ἔφη ... Ἔσται γάρ σοι οὕτω πονοῦντι ἐκτῖλαι τῇ τοῦ πνεύματος μαχαίρᾳ τὴν τῶν παθῶν ὑλομανοῦσαν ἄκανθαν ... οὕτω γὰρ καὶ τῇ ἐμῇ ὁ Θεὸς ταπεινότητι... μάχαιραν δίστομον χρυσῆν ἐνεχείρισεν.

88-89 I Pet. 2,5

λαμπρῶς Θεσσαλονίκη
καὶ Κωνσταντινούπολις,
ἱερὲ Γρηγόριε,
τὰ τεράστια τιμᾷ.

θεοτ. Ἁγία μητροπάρθενε,
ἡγίασας τὸν δοῦλόν σου
ἐπιστασίᾳ σου Γρηγόριον
καὶ τοῦτον ἀπαθείας
ἀστραπαῖς ἐλάμπρυνας,
μεθ᾽ οὗ σοῦ δεόμεθα
ῥῦσαι πάντας πειρασμῶν.

ᾠδὴ ϛ΄. *Ζάλη με*
λογισμῶν καταλαβοῦσα

Ῥώμη σε
φωτοβόλον ὡς ἀστέρα
ἑῴας ἀπάραντα
ἐδέξατο, ἔνθα, πάτερ,
τὸν ὁμίχλῃ καὶ σκότῳ πονηρῶν
κρατούμενον δαιμόνων
ἀπολυτροῦσαι, Γρηγόριε.

Μέγιστον
τῷ ὁρῶντι καθωρᾶτο
ἐν σοὶ θαῦμα, ὅσιε·
λαμπρὰ γὰρ ἀνάκλασις

---

111 σοῦ] σε M
heirm. ϛ΄ EE 107, n. 150, Andreae 117 τῶν cdd. σκότει M 118 κρατουμένων Λ 121 καθοράτω M 123 λαμπὰς γὰρ ἀντανάκλασις M

113-119 Id., 142: Ἐκεῖθεν οὖν τὴν ἐπὶ Ῥώμην τρίβον ἐστέλλετο· εἰς ἣν ἀφικόμενος... ὑπό τινος ἀνδρός, πνεύματι πονηρῷ κατισχημένου, πεφανέρωται. Ὃν ἐκ τῆς τοῦ δαίμονος ἀπολύσας ὀχλήσεως, ἐξῆλθε τῆς Ῥώμης...
120-126 Id., 152: Ὁ δὲ μαθητὴς ὁρᾷ πυρὸς γλῶσσαν... ὧδε κἀκεῖσε τὴν ὄψιν αὐτοῦ περιθέουσαν καὶ ἀντανάκλασιν φωτοειδοῦς μαρμαρυγῆς ἐπαφιεῖσαν καὶ τοῦτο οὐχ ἅπαξ, ἀλλὰ πολλάκις τεθέατο. Τοῦ θαύματος οὖν τὸ ἀσύγκριτον τὸν μαθητὴν ἐκπλῆξαν, εἰς ἀγωνίαν συνήλαυνε.

φωταυγεῖς ἐμποιοῦσα ἐκ τῶν σῶν
προέκυπτε χειλέων
πᾶσαν τὴν ὄψιν φωτίζουσα.

Ἔσχηκας
Ἠλιοῦ τὴν παρρησίαν,
Πέτρου τὴν θερμότητα
καὶ Παύλου, πάτερ, τοὺς δρόμους,
Σαμουὴλ τὸ τὰ ἔμπροσθεν ὁρᾶν,
Ἰὼβ τὴν καρτερίαν
καὶ τῶν πατέρων τὴν εὔκλειαν.

θεοτ. Λιμένα
εὑρηκώς σε, θεοτόκε,
ὁ θεῖος Γρηγόριος,
τοῦ βίου τὰς τρικυμίας
ἀχειμάστως διῆλθε καὶ τῇ σῇ,
παρθένε, κυβερνήσει
θείας γαλήνης ἐπέτυχε.

Κάθισμα.

Ἦχος δ'. *Ταχὺ προκατάλαβε*

Τῇ θείᾳ λαμπρότητι
....

f. 52v || ᾠδὴ ζ'. *Τῇ εἰκόνι τῇ χρυσῇ*

Πυρπολήσας τῶν παθῶν
τὰς ἀκανθώδεις ἰδέας
τῶν προσευχῶν σου πυρί, Γρηγόριε,

---

131 τὸ scripsi: τῶ M τοῦ Λ Κάθ. MR II, 205; κάθ. om. Λ
Post κάθ. synaxarium breve sequitur in M
heirm. ζ' EE 107, n. 150, Andreae 141-176 hoc ordine I, III, IV, II trop. praebet Λ, sed in marg. quadam litterarum serie ordinem restituit
143 σου om. Λ

---

132 Id., 156: Ὑπομονῇ δὲ κραταιῶς ἑαυτὸν συνέζευξεν... καὶ τὸν Ἰὼβ ἐν τοῖς πάθεσι χαρακτηρίσας... στῦλον ἑαυτόν... διερρίζωσεν.

ὕδωρ τὸ ζῶν ἔσχες ἐν καρδίᾳ·
ὅθεν ἔβλυσας ἡμῖν
τῶν ἰαμάτων ποταμοὺς
τοῖς εὐσεβῶς βοῶσιν·
« εὐλογητὸς ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

Ὡραιώθης καλλοναῖς
καλλοποιοῦ εὐπρεπείας
καὶ ᾠκειώθης Χριστῷ ὡραιοτάτῳ,
παρ' οὗ ἰσχύς σοι κατὰ δαιμόνων
ἐδωρήθη δυσμενῶν
τοῦ τροποῦσθαι τὰς αὐτῶν,
Γρηγόριε, φάλαγγας
ἀναβοῶντι πιστῶς·
« εὐλογητὸς ὁ Θεός ».

Προορᾷς τὰ εἰς μακρὰν
ἀφεστηκότα, παμμάκαρ,
τῇ πρὸς τὸ θεῖον, πάτερ, ἐγγύτητι
καὶ τοῖς πρὸς σὲ πίστει προσφοιτῶσι
προμηνύεις τὸν ἐγγὺς
ἐκ τοῦ βίου χωρισμὸν
χαρίσματος ἔμπλεως
ὑπάρχων προφητικοῦ
καθαρωτάτῃ ψυχῇ.

θεοτ. Ἁγιάσματος σκηνή,
τὸν ἐν ἁγίοις ἁγίως,

---

147 βοῶσιν] μελωδοῦσιν M 149 post τῶν orat. varie intermittunt cdd. 152 οἰκειώθης M ὡραιοτάτῳ] ὡραίῳ θεῷ M 157 versum om. Λ 158 Χριστὸς εὐλογητὸς M 162 πίστει om. M προσφοιτῶσι] φοιτῶσι M 163 τῶν Λ 164 ἐκ] τῶν ἐκ Λ χωρισμῶν Λ 167 σου καθαρᾷ τῇ ψυχῇ Λ 169 ἁγίως] ἅγιον Λ

159-160 Id., 146: Μοναχῷ δέ τινι ... τὴν τοῦ θανάτου ἐπιστασίαν προεῖπε ... 146-147: Ὁ δὲ διορατικῷ βλέμματι τὰ μέλλοντα συμβήσεσθαι τούτοις θεώμενος ἔφη...

---

144 Joh. 4,10 168 Ps. 131,8

παρθενομῆτορ, ἀναπαυόμενον
Λόγον Θεοῦ τίκτεις ὑπὲρ λόγον,
ὃν Γρηγόριος ποθῶν
ἀσφαλῶς πολιτευθεὶς
ὁσίοις ἠριθμήθη
ἁγιασμὸν ἀληθῆ
ἀναπηγάζων ἡμῖν.

ᾠδὴ η΄. *Γῆ καὶ πάντα τὰ ἐν αὐτῇ*

Τί πολύς σου ὁ πρὸς Θεόν,
ὅσιε, ὑπῆρξεν ἀληθῶς
ἔρως καὶ πόθος ἀκλινής!
δι' οὗ πάθη ἀπετέφρωσας
σαρκὸς ψυχοφθόρα
ἀπαθείας βολίσιν ἐξαστράψας
καὶ τῆς ἀνεσπέρου
υἱὸς ἡμέρας ὤφθης.

Ἐναργής σου ἡ πρὸς Θεὸν
ἔντευξις, δι' ἧς φῶς χορηγεῖς
τῇ ἀβλεπούσῃ καὶ γαστρὸς
μὴ τικτούσης λύεις ὠδῖνας
καὶ χρόνια πάθη
θεραπεύεις καὶ δαίμονας, ὅσιε,
πίστει φυγαδεύεις
εἰς δόξαν τοῦ σωτῆρος.

---

174 ἠριθμήθη] συνηριθμήθη M
heirm. η΄ EE 107, n. 150, Andreae 185 Ἐναργὴς scripsi: Ἐνεργεῖ M Ἐνεργῆς Λ 188 λύεις] λέγεις Λ

185-187 Id., 152: Παρθένος δέ τις λύμη τοὺς ὀφθαλμοὺς ἀμβλυώττουσα, ἔμελλε τοῦ παρόντος ἐστερεῖσθαι φωτὸς ... Ὁ δὲ ... ἐπιθεὶς αὐτῇ χεῖρα, τὴν λύμην ἔστησεν...

187-188 Id., 161: Γυνὴ δέ τις τῆς ἐγγαστρίου ὠδῖνος αὐτῇ ἐπιστάσης καὶ τρισὶν ἡμέραις τὸν τοῦ τοκετοῦ φόρτον ἐκκενῶσαι μὴ δυναμένης ἔλαιον ἐκ τῆς ἐν τῇ σορῷ τοῦ ἁγίου ὑφαπτούσης λαμπάδος ἀρυσαμένη παραυτίκα πάσης ὀδύνης ἐκτὸς τέτοκεν.

---

182 Sap. 5,21; Zac. 9,14 184 I Thes. 5,5

Ῥείθροις θείοις περικλυσθείς,
ἔβλυσας ἰάσεων πηγάς,
δι' ὧν ἐκπλύνεται παθῶν
ἀμαυρότης, θεόφρον πάτερ,
πιστῶν δὲ καρδίαι
καταρδεύονται ἀναπηγάζουσαι
ὄμβρους εὐσεβείας
ἐνθέῳ κατανύξει.

θεοτ. Ὁ τῇ δόξῃ τῇ θεϊκῇ
ἀόρατος ὁρᾶται καθ' ἡμᾶς
ἀποτικτόμενος ἐκ σοῦ,
παναγία παρθενομῆτορ,
καὶ πλῆθος ὁσίων
ἑαυτῷ συνδοξάζει ὡς εὔσπλαγχνος,
οἷς συναριθμεῖται
Γρηγόριος ὁ θεῖος.

ᾠδὴ θ΄. *Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ δυνατὸς*

Ἰδεῖν κατηξιώθης
περιὼν, θεόφρον, ἐν γῇ
μητρόπολιν τὴν ἄνω, γεγονὼς
ἐν ἐκστάσει φοβερᾷ
καθαρωτάτῳ λογισμῷ,
πάτερ Γρηγόριε.

Ὢ θαῦμα! πῶς πηγάζει
εὐωδίας μύρον τὰ σὰ
ὀστέα φανεροῦντά σε Θεοῦ
εὐωδίαν ἀληθῆ
γεγενημένον, ἱερὲ
πάτερ Γρηγόριε!

---

196 πάτερ om. Λ versus 195-196 iterantur in M 201 Ὁ] Ἐν M 202 ἀοράτως cdd. 206 ἑαυτῷ] ἐν αὐτῷ M συνδοξάζων Λ 208 θεῖος] μέγας Λ
heirm. θ΄ EE 106, n. 149, Andreae 218 ἀληθεῖ M 220 πάτερ om. Λ

Συνήφθης ἀσωμάτοις
ἀσωμάτως πολιτευθείς,
κατείληφας τὸ ὄντως ἐφετόν,
ἐχρημάτισας θεὸς
τῇ πρὸς τὸ θεῖον ἀληθῶς,
πάτερ, ἐγγύτητι.

Ἡμέραν σωτηρίας
καὶ ἑόρτιον χαρμονὴν
τὴν μνήμην τὴν ἁγίαν σου ἀεὶ
ἐκτελοῦντες εὐσεβῶς
ἁγιαζόμεθα ψυχάς,
πάτερ Γρηγόριε.

θεοτ. Φῶς τέτοκας ἀφράστως,
φωτεινὴ νεφέλη, ἁγνή,
φωτίσαν τοὺς ἐν σκότει καὶ σκιᾷ
καὶ φωστῆρα ἀπλανῆ
ἀπεργασάμενον ἀεὶ
Γρηγόριον τὸν σοφόν.

224 θεὸν M 229 τὴν μνήμην σου τὴν ἁγίαν ἀεὶ M 235 σκιὰ Λ

227 II Cor. 6,2; Is. 49,8

IN SANCTOS CLEMENTEM PAPAM ROMAE, PETRUM PAPAM ALEXANDRIAE, MERCURIUM ET AECATERINAM MARTYRES

Synaxaria, 255-256: Ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Κλήμεντος πάπα Ῥώμης, μαθητοῦ χρηματίσαντος Πέτρου τοῦ ἀποστόλου. Οὗτος ὑπῆρχε Ῥωμαῖος τὸ γένος, ἐκ βασιλικοῦ καταγόμενος γένους, πᾶσαν παιδείαν τῆς ἑλληνικῆς γνώσεως μετελθών. Τῷ κορυφαίῳ δέ ποτε τῶν ἀποστόλων Πέτρῳ περιτυχών, τὴν κατὰ Χριστὸν ἀλήθειαν ἐκπαιδεύεται καὶ κῆρυξ τοῦ εὐαγγελίου καθίσταται καὶ τῶν ἀποστολικῶν διατάξεων γίνεται συγγραφεὺς καὶ ποιμὴν ἀναδείκνυται τῆς ἐν Ῥώμῃ τῶν πιστῶν ἐκκλησίας.

256-258: Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος καὶ ἀρχιεπισκόπου Πέτρου Ἀλεξανδρείας. Οὗτος ὑπῆρχεν ἐπὶ Μαξιμιανοῦ βασιλέως διδάσκαλος τοῖς πιστοῖς εὐσεβὴς καὶ τῶν ⟨θείων⟩ δογμάτων ὑφηγητής. Ὃς ἐν τῷ μέλλειν τὴν κεφαλὴν τέμνεσθαι, διὰ τὸ προστάξαι τοῦτο τὸν βασιλέα, μαθόντα τὰ κατ' αὐτὸν προσκειμένου τοῦ Ἀρείου καὶ συγχώρησιν ἐξαιτοῦντος καὶ τοῦ λαοῦ παντὸς δυσωποῦντος, οὐκ ἔνειμεν αὐτῷ συγγνώμην ἀλλ' ἀπεπέμψατο ἐπαρασάμενος αὐτὸν εἶναι κεχωρισμένον καὶ ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι τῆς δόξης τοῦ Χριστοῦ. Ἔφη γὰρ τὸν Κύριον ὄναρ ἰδεῖν ἐν σχήματι παιδίου νεογενοῦς ὑπὲρ τὸν ἥλιον ἀστράπτοντα, περικείμενον χιτῶνα διερρηγμένον ἀπὸ κεφαλῆς ἄχρι ποδῶν· παρ' οὗ μαθεῖν, ὅτι Ἄρειος ὁ διαρρήξας αὐτόν, ἐν συμβόλῳ δηλοῦντος τὴν τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα διαίρεσιν εἶναι τὰ τῆς ἀσεβείας τοῦ Ἀρείου καὶ βλασφημίας δόγματα. Οὗτος οὖν ὁ ἐν ἁγίοις ἐτελειώθη, κατὰ τὴν τοῦ βασιλέως κέλευσιν τὴν κάραν ἀποτμηθεὶς καὶ τὸ πνεῦμα τῷ Θεῷ παραθέμενος.

258-259: Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Μερκουρίου. Οὗτος ἦν ἐπὶ Δεκίου καὶ Βαλλεριανοῦ τῶν βασιλέων, ἐκ γῆς ἀνατολῶν κατειλεγμένος τῇ στρατείᾳ τῶν Μαρτησίων, υἱὸς Γορδιανοῦ τινος Σκύθου. Ἀριστεύσας δέ ποτε κατὰ τῶν βαρβάρων, προοφθέντος αὐτῷ ἀγγέλου καὶ θάρσος ἐνθέντος, εἰς τὴν τοῦ στρατηλάτου παρὰ τοῦ βασιλέως τάξιν προήχθη· διὰ δὲ τὴν εἰς Χριστὸν ὁμολογίαν παραστὰς τῷ Δεκίῳ, χριστιανὸν ἑαυτὸν ἀνεκήρυξεν· ὅθεν ταθεὶς ἐπὶ τέτρασι πάλοις, μαχαίραις τὸ σῶμα κατατέμνεται, κάτωθεν αὐτῷ ὑποκαιομένου πυρὸς καὶ ἀποσβεννυμένου τοῖς ὀχετοῖς τῶν αἱμάτων. Εἶτα αἰκίζεται καὶ κατὰ κεφαλῆς κρεμᾶται, λίθου βαρέος ἐξαφθέντος αὐτοῦ· καὶ μετὰ τοῦτο φραγελλοῦται τετραφραγέλλῳ χαλκῷ καὶ ἐν Καισαρείᾳ τῆς Καππαδοκίας ἀχθεὶς τὴν κεφαλὴν ἀποτέμνεται. Ἦν δὲ ὅτε τοὺς ἀγῶνας διήθλησεν ἐτῶν κε', μέγεθος ἔχων σώματος, τὴν ὄψιν διαπρεπής, τὴν κόμην ξανθός, συνεπιπρέποντος αὐτῷ τοῦ κατὰ τὰς παρειὰς ἐρυθήματος.

253-254: Αἰκατερίνας. Αὕτη ὑπῆρχεν τῆς μεγαλωνύμου πόλεως Ἀλεξανδρείας γέννημα, θυγάτηρ βασιλίσκου τινὸς ὀνόματι Κώνστου, πάνυ οὖσα ὡραία καὶ τῷ κάλλει ἀμώμητος καὶ ὑπερμεγέθης τῇ ἡλικίᾳ καὶ τῷ σώματι ἀστεία. Ἦν δὲ ἐτῶν ὀκτωκαίδεκα. Αὕτη πᾶσαν παιδείαν ἑλληνικήν τε καὶ ῥωμαϊκὴν ἄκρως ἐγγυμνασθεῖσα, φημὶ δὴ Ὁμήρου τε καὶ Βιργιλίου τοῦ Ῥωμαίων μεγίστου ποιητοῦ, Ἀσκληπιοῦ τε καὶ Γαληνοῦ καὶ Ἱπποκράτους τῶν ἰατρῶν, Ἀριστοτέλους καὶ Πλάτωνος, Φιλιστίωνός τε καὶ Εὐσεβίου τοῦ φιλοσόφου, Ἰαννὴ καὶ Ἰαμβρὴ τῶν μάγων, Διονυσίου καὶ Σιβύλλης καὶ ὅση ῥητορικὴ ἐφευρέθη τῷ κόσμῳ· οὐ μὴν δὲ ἀλλὰ καὶ πᾶσαν λέξιν τῶν ἑβδομήκοντα δύο γλωσσῶν τὴν διάλεκτον μεμαθηκυῖα εἰς ἔκπληξιν ἔφερεν οὐ μόνον τοὺς ὁρῶντας αὐτὴν ἀλλά γε καὶ τοὺς ἀκούοντας τὴν φήμην τῆς σοφίας καὶ παιδείας αὐτῆς· διὰ δὲ τὴν εἰς Χριστὸν ὁμολογίαν ἐπὶ τοῦ βασιλέως Μαξεντίου πολλῶν βασάνων πεῖραν λαβοῦσα, τὴν κεφαλὴν ἀποτέμνεται καὶ τὸν τοῦ μαρτυρίου στέφανον ἀναδέχεται.

Vat. gr. 2 = V, ff. 148-151
Crypt. Δ.α. XXVII = Cv, ff. 12v-15

Ὁ κανών.

Ἦχος πλ. δ΄.

ᾠδὴ α΄. *Ἁρματηλάτην Φαραὼ ἐβύθισε*

Τετραφεγγῆ κάλλη, μαρτύρων σύμπνοιαν
δεῦτε κροτήσωμεν
τοὺς τῆς Τριάδος πίστει
πόθῳ ἐναθλήσαντας
Χριστὸν καθικετεύοντες
τὸν τῆς χάριτος δότην
σοφίας λόγον δωρήσασθαι
τοῦ πανηγυρίσαι τὴν μνήμην αὐτῶν.

Ἱερουργὸν καὶ θαυμαστὸν διάδοχον
τῶν ἀποστόλων Χριστοῦ
μυσταγωγόν τε μέγαν

tit. Τῇ αὐτῇ ἡμέρᾳ κανὼν τῶν ἁγίων... Κλήμεντος ... Πέτρου Ἀλεξανδρείας... Μερκουρίου... καὶ... Αἰκατερίνης... V
heirm. α΄ EE 219, n. 314, Joannis 1-8 trop. om. Cv 1 τετραφεγγεῖ κάλλει μ. σύμπνοια V

7 I Cor. 12,8

Κλήμεντα τὸν ἔνδοξον,
Ῥωμαίων ἐγκαλλώπισμα,
εὐφημήσωμεν ὕμνοις
καὶ Πέτρον ἅμα γεραίροντες
τῆς Ἀλεξανδρείας τὸν πρόεδρον.

Πεφωτισμένος καὶ ψυχῇ καὶ πνεύματι
μαρμαρυγαῖς θεϊκαῖς,
τοῦ ἱεροῦ ποιμνίου
λογικῶς πεφρόντικας
χριστομιμήτοις ἤθεσι
πρὸς νομὰς ζωηφόρους
ῥυθμίζων τοῦτο τοῖς λόγοις σου,
πάτερ ἱεράρχα καὶ μάρτυς Χριστοῦ.

Τὸ ἀσθενὲς τῆς γυναικείας φύσεως
εἰς ἀρρενότητα
μεταβαλοῦσα, μάρτυς,
τὸν ἐχθρὸν τοῦ θήλεος,
Αἰκατερῖνα πάνσοφε,
ἐτροπώσω ἀνδρείως
αἰσχύνης τοῦτον πληρώσασα
καὶ νικητικῶς ἀριστεύσασα.

Ἀθλητικοῖς καταβαλὼν παλαίσμασι,
μάρτυς Μερκούριε,
τὸν τῇ ἀπάτῃ πάλαι
τὸν Ἀδὰμ πτερνίσαντα
καὶ στεφηφόρος ἔλαμψας

12 Κλήμεντα] Κλήμην τε Cv 17 ψυχὴ V 18 θεϊκαῖς] ἱεραῖς V 20 λογικὸς Cv 23 ῥυθμίζον τούτους V 25-32 trop. om. V 25 ἀσθεναῖς Cv 32 ἀριστεύσασα scripsi: ἀριστεύσαντα Cv 33-48 trop. om. Cv

28-32 PG 116,289: ... τούτοις καταπλαγέντα τὸν ῥήτορα καὶ αὐτὴν ἐπισχεθέντα τὴν γλῶτταν... καὶ τὸν ἄριστον ἡμῶν οὕτω δεινῶς ὑπ᾽ αὐτῆς ἡττημένον ὁρῶμεν...
33-40 S. Binon, *Documents grecs inédits relatifs à S. Mercure de Césarée*, Louvain 1937: Μαρτύριον τοῦ ἁγίου Μερκουρίου, pp. 33-37: ... Ἐγὼ... εἰς τοῦτο ἦλθον, ἵνα νικήσω σε τὸν διάβολον ... καὶ τὸν στέφανον τῆς νίκης ἀπολάβω παρὰ τοῦ Κυρίου μου ...

καὶ βραβεῖον τῆς νίκης
f. 148v θεόθεν ὄντως ‖ ἀπείληφας
ὅπλοις εὐσεβείας φραττόμενος.

Ῥητορικῆς καὶ Βιργιλείου γνώσεως
οὐκ ἀμοιρήσασα,
ἐν τῷ σταδίῳ, μάρτυς,
ἀνδρικῶς ἐφίμωσας
σοφίᾳ τῶν δογμάτων σου
τὴν πληθὺν τῶν ῥητόρων
σταυρὸν ὡς ὅπλον κατέχουσα
καὶ Χριστὸν προθύμως κηρύττουσα.

θεοτ. Τὸν πρὸ αἰώνων ἐκ Πατρὸς ἐκλάμψαντα
Υἱὸν καὶ Λόγον σαφῶς
ἀπειρογάμως, μῆτερ,
ἐπ' ἐσχάτων τέτοκας
ἐκ παναγίου πνεύματος,
ὃν ποθοῦσα ἡ μάρτυς
Αἰκατερῖνα διήθλησε
καὶ σὲ θεοτόκον κατήγγειλεν.

ᾠδὴ β'. *Ἴδετε, ἴδετε,*
ὅτι ἐγώ εἰμι
Θεὸς ὁ διασχίσας τὴν Ἐρυθρὰν

Ῥώμη γεραίρουσα
νῦν καλλωπίζεται
τοῖς τῶν αἱμάτων σου σταλαγμοῖς,
Κλήμη, μαρτύρων ἡ καλλονὴ
καὶ τῶν ἀποστόλων μιμητά,
καὶ Ἀλεξάνδρεια

heirm. β' EE 228, n. 327, Andreae odem β' om. Cv 60 κλήμα V

41-42 PG 116, 280-281: ... ἤσκημαι δὲ πᾶσαν παιδείαν, ῥητορικῆς καὶ φιλοσοφίας, γεωμετρίας τε καὶ τῶν ἄλλων ἐπιστημῶν...
43-46 PG 116, 289: ... Οἱ δὲ (scil. οἱ ῥήτορες) εὐθέως ἀπαγορεύουσι τὸν ἀγῶνα, οὐκ ἔχομεν ἀντιθεῖναι, εἰπόντες...
46 PG 116,289: ... σύλλογον τῶν ῥητόρων...
46-48 Cfr. infra vv. 297-300.

νῦν ἐπαγάλλεται
Πέτρον κατέχουσα
καύχημα καὶ στήριγμα
ὡς τοῦ Μάρκου διάδοχον.

« Γνῶθι καὶ πρόσεχε
— φησὶν ὁ Κύριος —
ὁ διαρρήξας μου τὴν στολὴν
Ἄρειός ἐστιν ὁ δυσμενὴς
καὶ τῆς εὐσεβείας ἀρνητής·
ἀλλὰ μὴ δέξῃ αὐτὸν
εἰς κοινωνίαν ποτέ·
ὅρα μὴ πεισθῇς αὐτῷ·
διὰ σὲ γὰρ ἐλήλυθα
<— — ´ — — ´ — —> ».

Ἔχων τὴν πίστιν σου
πατροπαράδοτον
καὶ δι' ἀγγέλου καθοπλισθεὶς
στίφη βαρβάρων τὴν καλλονὴν
ἐνίκησας, μάρτυς τοῦ Χριστοῦ·
ὅθεν τὸ αἷμά σου
χαίρων ἐξέχεας
ὑπὲρ αὐτοῦ ἐναθλῶν,
ἔνδοξε Μερκούριε,
τῶν πιστῶν ἐγκαλλώπισμα.

Ἄξιον στέφος σοι
πῶς ἀναδήσωμεν
λιθομαργάρωτον, χρυσαυγές;
ἢ πῶς δοξάσωμεν κορυφὴν
τὴν θεοστεφάνωτον ἡμεῖς;
ἀλλ' οὖν τὸ πρόθυμον
καὶ τὸ ἐγκάρδιον
τῶν ἀνυμνούντων σε
δέχου ὡς θυμίαμα,
Αἰκατερῖνα πάγκλυτε.

76 versus desideratur 80 στήφει V 88 ἀναδύσομ(αι) V 89 λιθω μαργάρω τον V

θεοτ. Σὲ τὴν θεόπαιδα
μόνην καὶ ἄσπιλον,
παρθενολόχευτε, γηγενεῖς
ὕμνοις ᾀσμάτων χαρμονικῶς
τιμῶμεν σωθέντες διὰ σοῦ,
δι' ἧς καὶ μάρτυρες
καταφρονήσαντες
τῶν ἐπιγείων φθαρτῶν
οὐρανοπολήσαντες
βασιλείας ἠξίωνται.

f. 149 ‖ ᾠδὴ γ'. *Ὁ στερεώσας κατ' ἀρχὰς*

Ταῖς θεοφόροις διδαχαῖς
τῆς μελιρρύτου σου γλώττης
κατεγλύκανας ἀνθρώπων τὰ ἤθη,
ἱερέων καλλονή,
τῶν ἀποστόλων γνώριμε,
Κλήμη, μαρτύρων δόξα
καὶ οἰκουμένης διδάσκαλε.

Σὲ ὡς ποιμένα λογικὸν
ἡ τῶν θρεμμάτων σου ποίμνη
τὴν ψυχὴν ὑπὲρ αὐτῆς τεθηκότα
ἐτησίως εὐφημεῖ
τελοῦσά σου τὴν ἄθλησιν·
διὸ ταῖς σαῖς πρεσβείαις
φύλαττε ταύτην ἀπόρθητον.

Διὰ βασάνων ἀλγεινῶν
μαρτυρικῶς ἐμιμήσω
τοῦ Κυρίου τὸ σωτήριον πάθος

---

100 ᾀσμάτων] θαυμάτων cd.; cfr. infra vv. 134, 256
heirm. γ' EE 219, n. 314, Joannis   109 ἤθει Cv   115 ἡ] οἱ Cv σου om. Cv   120 ταύτης Cv

---

121-127 S. Binon, op. cit., 33-37: ... ὁ τύραννος... ἐκέλευεν... ἐνεχθῆναι δὲ τετράπλοκον φράγελλαν χαλκῆν καὶ οὕτως τύπτεσθαι αὐτὸν ἀφειδῶς...

115-116 Joh. 10,11

φραγγελλούμενος δεινῶς
τὸ νῶτον καὶ τὰ στέρνα σου·
διὸ θεόθεν σθένος
νίκης ἐδέξω, Μερκούριε.

Τὴν ἐν σοφίᾳ θεϊκῇ
τοὺς τῶν ῥητόρων φληνάφους
ὡς ἀράχνην διαρρήξασαν κόρην
καὶ εἰδώλων τὰς σπονδὰς
γενναίως καταρράξασαν
Αἰκατερῖναν πάντες
ὕμνοις ᾀσμάτων τιμήσωμεν.

θεοτ. Σὺ τὸ τῆς Εὔας λυπηρὸν
τῷ ἀπειράνδρῳ σου τόκῳ
μετεποίησας, ἁγνὴ θεοτόκε,
εἰς παγκόσμιον χαράν·
διό σε μακαρίζομεν
σὺν ἀθληταῖς ἀνδράσι
καὶ γυναικῶν ἀειπάρθενε.

ᾠδὴ δ'. *Σύ μου, Χριστέ,
Κύριος, σύ μου καὶ δύναμις*

Σὺ γεγονὼς
τῶν ἀποστόλων διάδοχος
ἐν τῇ Ῥώμῃ,
Κλήμη παμμακάριστε,
τὴν ἱερὰν ἔβαψας στολὴν
τῆς ἱεραρχίας
τῶν σῶν αἱμάτων ῥανίσεσι·

128-134 trop. om. Cv   129 τοὺς τῶν scripsi: τὰς τῶν V   130 διαρρήξασα κόρη V   132 καταρράξασα V   139 μακαρίζωμεν Cv   post v. 141 κάθ. praebet Cv, quod ineditum videtur: Ἦχος πλ. δ'. *Τὴν σοφίαν τοῦ Λόγου* inc. Τὴν σοφίαν τὴν θείαν ἐξ οὐρανοῦ...
heirm. δ' EE 219, n. 314, Joannis   146 ἔβαψαστολὴν Cv   148 ῥανίσεσι: fort. scribendum ῥαντίσεσι

128-132 Cfr. supra vv. 43-46.

διὸ τῆς ἄνω δόξης
μετασχεῖν ἠξιώθης
σὺν χοροῖς ἀθλητῶν στεφανούμενος.

Σὺ τὴν εἱρκτὴν
ὥσπερ παλάτιον ᾤκησας,
θεῖε Πέτρε·
ὅθεν τὰ συστήματα
τῶν ἱερέων καὶ μοναχῶν
καὶ παρθένων δῆμος
δάκρυσι περικυκλοῦντές σε
ἐβόων τοῖς τυράννοις·
« ὀρφανίαν θρηνοῦντες
καὶ ἡμεῖς τῷ πατρὶ συνθνηξόμεθα ».

Ὀχυρωθεὶς
τῇ εὐσεβείᾳ, Μερκούριε,
τῶν βαρβάρων
πλήθη κατηνάλωσας
τῇ σῇ ῥομφαίᾳ ὡς δυνατὸς
καὶ τῷ μαρτυρίῳ
δεδοξασμένος κεκλήρωσαι
τὴν ἄνω βασιλείαν
καὶ πρεσβεύεις ἀπαύστως
τοῦ σωθῆναι τοὺς πόθῳ τιμῶντάς σε.

Ῥητορικὸν
στάδιον δεῦτε θεάσασθε
f. 149v ‖ φιλοσόφοις
δόγμασι κροτούμενον

151 συγχωροῖς Cv   ἀθλητῶν] ἀσκητῶν V   156 μοναστῶν V   158 περικυκλοῦντα V   159 ἐβόουν cdd.   160 ὀρφανίαν] ὀρφανοὶ γὰρ Cv   165 πλήθει Cv   166 σὺ Cv   170 πρεσβεύειν Cv   172-180 trop. om. Cv

152-161 P. Devos, *Une passion grecque inédite de S. Pierre d'Alexandrie et sa traduction par Anastase le bibliothécaire*, AB 83 (1965), 163-164: ... πᾶς ὁ λαὸς ... ἀνεβόησαν ὁμοθυμαδὸν λέγοντες πρὸς αὐτοὺς (scil. τοὺς τριβούνους)· « πρῶτον ἡμᾶς τὰ τέκνα αὐτοῦ κατασφάξατε καὶ τότε τὸν πατέρα ἡμῶν λάβετε... » ἦσαν γὰρ ἐκεῖ ... πρεσβῦται ... ἅμα τοῖς ἀειπαρθένοις καὶ μονάζουσι, πάντες θρηνοῦντες καὶ δακρύοντες.
162-166 Cfr. supra vv. 76-81.   172-181 Cfr. supra vv. 43-46 et 128-132.

πλατωνικοῖς, πυθαγορικοῖς
καὶ τῆς τῶν ἑλλήνων
κακοπιστίας ἀνάμεστον,
ἐν ᾧ Αἰκατερῖνα
θαρσαλέως παρέστη
φθεγγομένη καὶ ταῦτα συγχέουσα.

θεοτ. Τῶν προφητῶν
κήρυγμα σὲ προκατήγγειλε
μακαρίαν
πύλην καὶ λυχνίαν χρυσῆν
καὶ ἀποστόλων αἱ διδαχαὶ
καὶ τῶν ἀθλοφόρων
ὁμολογία ἐκύρωσε
παρθένον θεοτόκον
καὶ ἀεί σοι βοῶμεν·
« χαῖρε πάντων ἡμῶν τὸ προσφύγιον ».

ᾠδὴ ε΄. *Ἵνα τί με ἀπώσω*

Τῇ πρεσβύτιδι Ῥώμῃ
πρόεδρον καὶ κήρυκα Χριστὸς ἀνέδειξε
καὶ τῆς οἰκουμένης
συγγραφέα καὶ θεῖον διδάσκαλον
τὸν σοφὸν Κλήμεντα
τῆς ἀληθοῦς ὁμολογίας
ἀθλητὴν ἱερὸν πολυθαύμαστον.

Τῷ ποιμένι ὡς ἄρνες
δάκρυσι παρείποντο θανεῖν ἑλόμενοι
ἱερεῖς, παρθένοι

176 πλατωνικοῖς in V iteratur   177 τῆς] τοῖς V   183 προκατήγγειλαν Cv   191 χαῖρε πάντων ἐλπὶς καὶ βοήθεια Cv
heirm. ε΄ EE 219, n. 314, Joannis   198 ἱερῶν Cv   ποπολυθαύμαστον Cv   199-205 trop. om. Cv

199-202 Cfr. supra vv. 152-161.

185 Gen. 28,17; Zac. 4,2

ἀπιόντι προθύμως εἰς θάνατον·
ὅθεν γνοὺς Ἄρειος
τοῦ χωρισμοῦ τὴν λύσιν ᾔτει
καὶ τὸν κλῆρον κινεῖ πρὸς παράκλησιν.

Τὸν Χριστοῦ στρατιώτην
ᾄσμασι γεραίροντες ἐγκωμιάσωμεν,
ὅτι τὸν Βελίαρ
ἐν τοῖς ἄθλοις καθεῖλε τὸν δεύτερον,
τὸν Χριστοῦ ἀντάρτην
καὶ εὐσεβείας παραβάτην,
ὁ γενναῖος τῇ πίστει Μερκούριος.

Ἀπορεῖ πᾶσα γλῶσσα
τὴν ἀξιοθαύμαστον κόρην καὶ μάρτυρα
εὐφημεῖν καὶ μέλπειν
ὡς πολύκυδον ὄντως καὶ ῥήτορα
καὶ τῆς ἐγκυκλίου
ὁμηρικῆς πεῖραν λαβοῦσαν,
ἀλλ' ἡμεῖς ὡς θαρροῦντες δοξάζομεν.

Ἀλεξάνδρου ἡ πόλις
χαίρει καὶ ἀγάλλεται νῦν ἐν τῇ μνήμῃ σου,
παναγία κόρη,
συγκαλοῦσα μαρτύρων τὰ τάγματα

---

206 Τὸν] Τὸν τοῦ Cv   213-219 trop. om. Cv   216 πολύκηδον V
217-218 κ. τῆς ἐν κυκλίου / ὁμειρικῆς π. λαβοῦσα V   220-226 trop. om. V
220 πόλεις Cv   223 συγκαλοῦσα] συλλαβοῦσα Cv

203-205 P. DEVOS, *Une passion*... AB 83 (1965), 164-165: ... Τοῦτο γνούς... Ἄρειος... δραμὼν καὶ συνάξας πρεσβυτέρους καὶ διακόνους καὶ ἕτερα πρόσωπα κληρικῶν... καὶ τούτους παρακαλέσας ἔπεισεν τοῦ ... προσπεσεῖν τῷ ἐπισκόπῳ ὅπως οἰκτειρήσας αὐτὸν ἐλεύθερον ποιήσῃ τοῦ χωρισμοῦ ...

206 S. BINON, op. cit., 32-33:... Ὁ δὲ ἅγιος Μερκούριος ὁ ἀληθινὸς στρατιώτης τοῦ Χριστοῦ...

206-212 PG 94, 1231: ... Παρειστήκει δὲ ἐξαιτῶν Ἰουλιανοῦ τοῦ ἀθεωτάτου καὶ ἀποστάτου τυράννου ἀναίρεσιν...

---

206 II Tim. 2,3

τοῦ πανηγυρίσαι
τὴν φωταυγῆ τῶν σῶν ἀγώνων
ἐτησίαν ἡμέραν χαρμόσυνον.

θεοτ. Ὁ λαός σου, παρθένε,
καθομολογῶν προσκυνεῖ σου τὴν κύησιν,
ἀδιστάκτῳ πίστει
θεοτόκον κυρίως δοξάζομεν·
ἀλλ' αὐτή, δέσποινα,
τῶν ταπεινῶν μὴ ἐπιλάθῃ
βοηθοῦσα, φρουροῦσα καὶ σκέπουσα.

ᾠδὴ ς'. *Τὴν δέησιν ἐκχεῶ πρὸς Κύριον*

Συνόμιλος ἀποστόλων γεγονώς,
τὴν ὑφήλιον γραφαῖς θεηγόροις
καταπλουτεῖς
ἐπιστέλλων ὡς Παῦλος
τοῖς Κορινθίοις καὶ πᾶσι τοῖς πέρασιν,
ἐν αἷς στηριζόμενοι ἀεὶ
τὴν αἰσίαν σου μνήμην γεραίρομεν.

f. 150 || Ὁμώνυμος ζηλωτὴς καὶ μιμητὴς
γεγονὼς τοῦ κορυφαίου, ὦ Πέτρε,
ὑπὲρ Χριστοῦ
τοῦ δεσπότου τῶν ὅλων
δουλοπρεπῶς τὸν αὐχένα ὑπέκλινας
καὶ ξίφει σου τὴν κεφαλὴν
ἀπετμήθης δοξάζων τὸν Κύριον.

Γενναῖος ὥσπερ Δαβὶδ ἐν πολέμοις
καὶ ἐν ἄθλοις γεγονώς, οὐκ ἠρνήσω
τὸν διὰ σὲ

---

226 αἰτησίαν Cv   228 καθομολογῶν καὶ Cv   -γεῖ V   230 δοξάζωμεν Cv
heirm. ς' EE 219, n. 314, Joannis   236 καταπλουτεῖ Cv   237 ὡς] ὁ Cv
240 γεραίρωμεν Cv   241-247 trop. om. Cv   245 ὑπέκλεινας V

245-247 P. DEVOS, *Une passion*... AB 83 (1965), 173: ... καὶ γυμνώσας αὐτοῦ τὸν τίμιον τράχηλον καὶ κλίνας τῷ Χριστῷ τὸν αὐχένα, ἐξέτεινε τὴν κεφαλὴν...

πεπονθότα σωτῆρα,
ἀλλ' εὐθαρσῶς τὸ σεβάσμιον ὄνομα
ἐνώπιον τῶν δυσσεβῶν
ἀνεκήρυττες χαίρων, Μερκούριε.

Τὴν ὄντως ἀλκιμωτάτην καὶ σοφὴν
πολυγλώσσοις ὑμνῳδίαις ᾀσμάτων
ἀνευφημεῖ
'Αλεξάνδρεια πᾶσα
καὶ οἰκουμένη σὺν πᾶσι τοῖς πέρασιν·
ἐνήθλησε γὰρ ἀνδρικῶς
καὶ τυράννους καθεῖλε δι' αἵματος.

θεοτ. Πορφύραν βασιλικήν σε καλοῦμεν,
ἐξ ἧς μόνος ὁ τῶν ὅλων δεσπότης
καὶ βασιλεὺς
τῆς σαρκὸς τὸν χιτῶνα
ὡς ἁλουργίδος στολὴν ἠμφιάσατο
ῥυόμενος τοὺς γηγενεῖς
διὰ σοῦ, θεοτόκε, τοῦ πτώματος.

ᾠδὴ ζ'. *Θεοῦ συγκατάβασιν*

Θεοῦ τὰ προστάγματα
καὶ ἀποστόλων τὰ διατάγματα
συγγραψάμενος, Κλήμη,
ταῖς ἐκκλησίαις ταῦτα παρέδωκας,
ἐν οἷς κρατοῦσαι
τὴν πίστιν ἀσάλευτον
πανηγυρίζουσι
τὴν θείαν μνήμην σου.

---

256 ᾀσμάτων] θαυμάτων Cv   260 ἀνδρικὸς Cv   267 ῥυόμενος] ῥυσάμενος Cv   post v. 268 κονδ. et οἴκ., quae inedita videntur, tradit Cv: Κονδ. ἦχος δ': *'Επεφάνης σήμερον*   inc. Τῶν θηλέων (θηλείων cd.) καύχημα... Οἶκ. *Τῇ Γαλιλαίᾳ*   inc. "Ωσπερ κρηπῖδα ἀσφαλῆ...
heirm. ζ' EE 219, n. 314, Joannis

'Αρείου τὸ βλάσφημον
δι' ὀπτασίας, Πέτρε, κατέβαλες,
ὁμοούσιον Λόγον
τρανῶς κηρύττων, ἱερομάρτυς σοφέ,
ἄκτιστον ὄντα,
συνάναρχον, σύνθρονον
καὶ ὁμοδύναμον
Πατρὶ καὶ Πνεύματι.

Τῷ ὅπλῳ τῆς χάριτος
τὸν παραβάτην, μάρτυς, κατέτρωσας·
τοῦ Θεοῦ γὰρ ἡ μήτηρ
τρανῶς ὀφθεῖσα σθένος παρέσχε σοι
ἀναβοῶσα·
« πορεύθητι, ἄνελε
τὸν βλασφημήσαντα
εἰς τὸν υἱόν μου » φησίν.

Πορφύρας τὸ γέννημα
καὶ ἀθλοφόρων τὸ ἐγκαλλώπισμα,
σὲ δοξάζει ὁ κόσμος,
Αἰκατερῖνα μάρτυς πολύαθλε·
σὺ γὰρ καθεῖλες
πεντήκοντα ῥήτορας,
τούτους προσάξασα
τῷ ἀθλοθέτῃ Χριστῷ.

θεοτ. Τὸ ξένον μυστήριον
τῆς σῆς λοχείας τίς διηγήσεται,
ἀειπάρθενε κόρη;

---

278 Πέτρε] πάτερ Cv   κατέβαλας V   280 κηρύττον V   285-292 trop. om. Cv   293 Πορφύρα Cv   294 ἀθληφόρων Cv   296 πολύαθλε] πολύολβε Cv   297 καθήλαις Cv   299 νυνὶ προσῆξας αὐτοὺς V   300 Χριστῷ] Θεῷ V   302 λογχίας Cv

---

293 PG 116, 277: ... ἐκ βασιλικοῦ γένους προηγμένη ... ἐν οἴκοις οὕτω βασιλικοῖς ταμιευομένη...   280: ... Τοῦ πρὸ σοῦ βασιλέως θυγάτηρ εἰμὶ...
297-300 PG 116, 284: ... συνῆλθον πρὸς αὐτὸν (scil. τὸν Μαξέντιον) ... πεντήκοντα ῥήτορες ... 289: ... Οἱ δὲ ... ἐκλιπαροῦσι ... καταξιωθῆναί τε αὐτοὺς καὶ τοῦ θείου βαπτίσματος... καὶ παραλαβόντες αὐτοὺς οἱ στρατιῶται, βάλλουσι μὲν χαίροντας ἐπὶ τὴν πυράν...

ὅτι ἀνάνδρως ἐκυοφόρησας
Θεὸν ἐν μήτρᾳ
παρθένος τε μείνασα
καὶ μετὰ γέννησιν,
ὡς πρὸ τοῦ τόκου, ἁγνή.

f. 150v ‖ ᾠδὴ η΄. *Ἑπταπλασίως κάμινον*

Τοῦ ἀποστάτου σὺ μόνος
τὰ ψευδῆ καὶ παμβέβηλα
τέρατα, δεινὰ καὶ μαγικὰ μυστήρια,
πανσόφως διήλεγξας
τοῖς θεοπνεύστοις λόγοις σου·
βίβλους ἱερὰς κατασκευάσας, παρέθου
Χριστοῦ τῇ ἐκκλησίᾳ
θεοφράστῳ σοφίᾳ,
ἐν αἷς στηριζομένη
θερμῶς ἀνευφημεῖ σε.

Ὡς καθαρὸς καὶ ἄξιος
τὴν ὑπέρφωτον δύναμιν,
Πέτρε, κατιδὼν θεοπρεπῶς αὐξάνουσαν
φρικτῶς ἐν τῷ θρόνῳ σου
μυσταγωγῶν τὰ ἄρρητα
τῷ ὑποβαθρίῳ ἐπιβὰς ἐκαθέσθης,
ἐν ᾧ σε κατιδόντες
ἱερεῖς καὶ λαός σου
θερμῶς σοι κατεβόων
τὸ θαῦμα ἀγνοοῦντες.

---

heirm. η΄ EE 219, n. 314, Joannis 311 μαχικὰ Cv 312 διήλλαξας Cv 317 ἐν αἰστηριζομένοι Cv 318 ἀνευφημεῖ σε] -μῆσαι Cv 321 καθιδὼν cdd. 324 τὸ ὑποβαθρίως V τὸ ὑποβαθρίων Cv ἐκαθέστης Cv 325 καθιδῶντες Cv 327 κατεβόουν cdd. 325-328 ἐν ᾧ σοι κατεβόουν / τὸ θαῦμα ἐκβοῶντες / λαὸς ὑπερ(υψοῦτε) / Χριστὸν εἰς τ(οὺς αἰῶνας) V

319-328 P. Devos, *Une passion* ..., AB 83 (1965), 175-176: ... καὶ οὕτως ἐκαθέζετο ἐν τῷ ὑποποδίῳ τοῦ θρόνου, διὸ καὶ πολλάκις ὁ λαὸς διεγόγγυζεν... ἐπέπληξεν αὐτοῖς (scil. τοῖς κληρικοῖς) λέγων· « ... βλέπω ἐν τῷ θρόνῳ δύναμίν τινα φωτοειδῆ καὶ ἄρρητα καθεζομένην ἐν αὐτῇ... ».

Καὶ μετὰ πότμον, ἅγιε,
τῇ θεόπλῳ ῥομφαίᾳ σου
Ἰουλιανὸν τὸν παραβάτην ἔτρωσας
δεινῶς βλασφημήσαντα
εἰς τὸν Θεὸν τὸν ὕψιστον·
ὅθεν ἐλυτρώσω τὴν ἰδίαν πατρίδα
τῆς τούτου προσδοκίας
καὶ ῥυσθεῖσα ἐβόα·
« λαὸς ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας ».

Ὑψικαρήνοις λόγοις σου
τὴν σφραγῖδα τῆς πίστεως
τοῖς διακοσίοις στρατιώταις δέδωκας
σὺν τῷ Πορφυρίωνι
καὶ τῇ αὐγούστῃ, ἔνδοξε·
ὅθεν διὰ ξίφους τὸ μακάριον τέλος
συμφώνως ὑπελθόντες
διὰ σοῦ ἀνεβόων·
« λαὸς ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας ».

θεοτ. Ὁ ἐν Ἐδὲμ παράδεισος
διὰ ξύλου τῆς βρώσεως
πᾶσι γηγενέσιν ἐξ Ἀδὰμ ἀπέκλεισε,
τῇ σῇ δέ, πανύμνητε,
κυοφορίᾳ ἤνοικται·
ὅθεν εὐεπίβατος λησταῖς καὶ τελώναις

329-338 trop. om. Cv 336 κ. ῥυσθεὶς ἀνεβόαν 337, 347, 357 post λαὸς orat. varie intermittunt cdd. 345 συμφώνος Cv ὑπελθότες V 346 ἀνεβόουν cdd. 353 ἤνυκται Cv 354 εὐεπίβατος] ὁ ἐπίβατος Cv

---

329-333 Cfr. supra vv. 285-286.
339-348 PG 116, 296: ... Χαρᾶς ἐπὶ τούτοις ὁ Πορφυρίων πλησθεὶς πιστεύει σὺν τοῖς διακοσίοις στρατιώταις καὶ αὐτὸς τῷ Χριστῷ... 300: Ἐκείνη (scil. ἡ Αὐγούστα) μὲν οὖν... τὴν κεφαλὴν ἔξω τῆς πόλεως ἀποτέμνεται... Κἀγὼ Χριστιανός εἰμι, ἔφη ὁ Πορφυρίων, ἀλλὰ καὶ οἱ σὺν ἐμοὶ... Ὁ δὲ (scil. ὁ Μαξέντιος) ... θάνατον εὐθέως καὶ αὐτῶν κατακρίνει...

---

340 Rom. 4,11

ἐδείχθη τοῖς ἐν πίστει
τῷ υἱῷ σου βοῶσι·
« λαὸς ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας ».

ᾠδὴ θ'. *Ἐξέστη ἐπὶ τούτῳ ὁ οὐρανὸς*

Τοὺς θείους ἱεράρχας καὶ ἀθλητὰς
ἐπαξίως ᾠδαῖς εὐφημήσωμεν,
τὸν ἱερὸν
Κλήμεντα καὶ Πέτρον τὸν θαυμαστὸν
καὶ τὸν σεπτὸν Μερκούριον
ὡς τῆς ἀληθείας ἀγωνιστάς,
σὺν τούτοις καὶ τὸ κλέος
πασῶν τῶν ἀθλοφόρων,
Αἰκατερῖναν, μακαρίσωμεν.

Τελέσας τὸν ἀγῶνα μαρτυρικῶς
ἐν τῇ Ῥώμῃ τὸ στέφος ἀπείληφας
σὺν τοῖς πρωτάρχαις
καὶ τοῖς κορυφαίοις τῶν μαθητῶν,
Κλήμη, μαρτύρων καύχημα
καὶ τῶν ἀποστόλων συγχορευτά,
μεθ' ὧν Θεὸν δυσώπει
ῥυσθῆναι πάσης βλάβης
τοὺς τὴν σεπτήν σου μνήμην σέβοντας.

Τῷ ξίφει τετμημένος τὴν κεφαλήν,
τῷ Κυρίῳ παρέθου τὸ πνεῦμά σου,
ᾧ παρεστὼς
μνήσθητι πρεσβεύων ὑπὲρ ἡμῶν,
Πέτρε, μαρτύρων καύχημα,
νόσων λυτρωθῆναι καὶ πειρασμῶν,
τυχεῖν δὲ τῆς μερίδος

---

heirm. θ' EE 220, n. 314, Joannis 363 σεπτὸν] στερρὸν Cv 364 ἀγωνιστὴν Cv 367 Αἰκατερῖνα Cv 368-376 trop. om. V 381 καύχημα] ἔνδοξε V

---

378 Luc. 23,46

τῆς ἄνω βασιλείας,
Πέτρε, μαρτύρων ἡ τελείωσις.

Ἐξ ὕψους δι' ἀγγέλου δυναμωθείς,
ἐν πολέμοις ἐδείχθης ἀήττητος,
ἐν ἄθλοις δὲ
νῦν ἀκαταγώνιστος ἀθλητής,
δι' ὧν Χριστὸς παρέσχε σοι
f. 151 στέφος οὐρα||νόθεν φωτοειδές·
αὐτὸν ἀεὶ δυσώπει,
Μερκούριε, σωθῆναι
τοὺς ἐκτελοῦντάς σου τὴν ἄθλησιν.

Τὸ θαῦμα τίς ἐξείποι τῶν γηγενῶν;
μετὰ τέλος τὸ σῶμα τῆς μάρτυρος
ἀγγελικῶς
μετακομισθὲν ἔθετο Χριστὸς
ἐν τῷ Σιναίῳ ὄρει,
ἔνθα Μωϋσῆς πάλαι παρ' αὐτοῦ
πλαξὶ θεοχαράκτοις
ἀπέλαβε τὸν νόμον
καὶ τὸ τῆς βάτου πῦρ τεθέαται.

θεοτ. * Ἐν σοὶ τῆς παρθενίας τὸ εὐγενὲς
ἐτιμήθη, Μαρία πανάχραντε·
σὺ γὰρ Θεὸν
μόνη συλλαβοῦσα ἄνευ σπορᾶς
σεσαρκωμένον τέτοκας
μείνασα παρθένος παναληθής·
διό σε θεοτόκον
κυρίως προσκυνοῦντες
ὁμολογοῦμεν καὶ δοξάζομεν.

386-403 trop. om. Cv 396 τέλους V 398 μετακομιθὲν V 404-412 θεοτ. MR II, 295 404 εὐγενὲς] καθαρὸν MR 405 ἐτιμήθη] ἐτηρήθη MR 409 παναληθεῖς cdd. 411 προσκυνοῦντες] ἀνυμνοῦμεν MR 412 ὁμολογοῦντές σε δοξάζομεν V καὶ προσκυνοῦμεν καὶ δοξάζομεν MR δοξάζωμεν Cv

---

395-399 PG 116, 301: ... Θαυματουργεῖ δέ τι κἀνταῦθα Θεός, τὴν αὐτοῦ τιμῶν μάρτυρα... ἄγγελοι τὸ ἐκείνης σῶμα τὸ τίμιον παρ' αὐτὸν τῆς τελειώσεως τὸν καιρὸν περιστείλαντες, πρὸς τὸ Σινᾶ ὄρος προπέμπειν ἐῴκεσαν...

400-402 Ex. 31,18; 32,15-16 403 Ex. 3,2

IN SANCTUM ACACIUM

Synaxarium, 261-262: Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀκακίου τοῦ ἐν τῇ Κλίμακι μνημονευομένου. Οὗτος ὑπῆρχεν ἔν τινι τῆς Ἀσίας μονῇ· νέαν δὲ ἔτι τὴν ἡλικίαν ἄγων τὸν ἀσκητικὸν βίον μετήρχετο. Εἶχε δὲ ἐπιστατοῦντα αὐτῷ γέροντα ῥᾴθυμον καὶ ἠμελημένον καὶ οὐ μόνον ὕβρεσι καὶ ἀτιμίαις αὐτὸν διηνεκῶς καθυπέβαλλεν, ἀλλὰ καὶ πληγαῖς ἐβασάνιζε· ποτὲ μὲν γὰρ τὸν ὀφθαλμὸν εἶχε μεμελανωμένον, ποτὲ δὲ τὸν τράχηλον, ποτὲ δὲ τὴν κεφαλὴν πεπληγμένην. Ποιήσας δὲ μετ' ἐκείνου τοῦ γέροντος χρόνους ἐννέα καὶ θανὼν ἐπορεύθη πρὸς Κύριον. Ταφέντος δὲ αὐτοῦ ἐν τῷ τῶν πατέρων κοιμητηρίῳ, ἀφίκετο ὁ τούτου ἐπιστάτης πρός τινα γέροντα μέγαν καὶ λέγει αὐτῷ· « Πάτερ, ὁ ἀδελφὸς Ἀκάκιος ἀπέθανε ». Ὁ δέ· « Οὔ » φησιν. Καὶ μὴ συνιεὶς ἐκεῖνος τὸ λεχθέν, λέγει πρὸς αὐτόν· « Ἔρχου καὶ ἴδε ». Ἦλθον οὖν ἀμφότεροι εἰς τὸ κοιμητήριον καὶ ὡς πρὸς ζῶντα ὁ τίμιος γέρων ἔφησε πρὸς τὸν τελευτήσαντα· « Ἀδελφὲ Ἀκάκιε, ἀπέθανες; » Ὁ δὲ εὐθέως ἀνταπεκρίθη· « Πῶς, πάτερ, ἄνθρωπον ὑπακοῆς ἐργάτην ἀποθανεῖν δυνατόν; ». . . . .

Paris. gr. 259	= Pa,	ff. 263v-266v
Mess. gr. 135	= N,	ff. 215v-218v
Athon. Lavrae B 21	= Ab,	ff. 189-192r
Athon. Docheiariou 31	= Ad,	ff. 232v-235v

Ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε·
Ἀκάκιον τὸν ἄριστον ὑπήκοον ᾄσμασιν ᾄδω.
Ποίημα Θεοφάνους.

Ἦχος δ'.

ᾠδὴ α'. *Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος*

f. 264 ‖ Ἀκάκῳ γνώμῃ, θεόφρον, χρώμενος
τὴν ἀγαθότυπον

---

tit. Ὁ κανὼν κοινὸς τῶν ἀμφοτέρων (scil. in SS. Alypium et Acacium) εἰς δὲ τὸν ὅσιον Ἀκάκιον φέρων... Pa Ὁ κανὼν N Κανὼν εἰς τὸν ὅσιον Ἀκάκιον τὸν ἐν τῇ Κλίμακι φέρων ... Θεοφάνους Ab Τοῦ δὲ ὁσίου Ἀκακίου ἡ ἀκολουθία ψάλλεται ἐν τοῖς ἀποδείπνοις. Ὁ κανὼν αὐτοῦ φέρει ... (et in marg. Θεοφάνους) Ad

heirm. α' EE 94, n. 133, Joannis

τῶν ἀρετῶν ἐκτήσω καλλονὴν
τοῦ Χριστοῦ τὴν ἑκούσιον
ὑπακοὴν μιμούμενος
μέχρι θανάτου, παμμακάριστε.

Κακίας τὸν εὑρετὴν κατῄσχυνας
τῇ ἀκακίᾳ σου
ὑπομονῇ τε, πάτερ, πειρασμῶν
τὴν αὐτοῦ ὑπερήφανον
καὶ ἐπηρμένην ἄνοιαν
πρὸς γῆν, παμμάκαρ, ἐταπείνωσας.

Ἀσκήσει καρτερωτάτῃ, ὅσιε,
προγυμναζόμενος
καὶ τῶν παθῶν ἐκτέμνων τὰς ὁρμάς,
ἀπαθείας ἐνδύματι
κατεκοσμήθης ὕστερον
χάριτι θείᾳ σκεπαζόμενος.

Κρατύνας τὴν τῆς ψυχῆς κατάστασιν
ὑπομονῇ καρτερᾷ
καὶ σταθερῷ, παμμάκαρ, λογισμῷ
καθ' ἡμέραν ὑπέμενες
μαρτυρικὸν ἀγώνισμα
καὶ στεφανίτης ἀναδέδειξαι.

θεοτ. Ἰσχύς μου ποιητικὴ καὶ ὕμνησις
Θεὸς καὶ Κύριος,
ὁ δι' ἡμᾶς ἐκ σοῦ σωματωθεὶς
καὶ τεχθεὶς τῆς προφήτιδος,
ὡς Ἡσαΐας, πάναγνε,
προφητικῶς εὐηγγελίσατο.

13-24 trop. om. N 13 Ἀσκήσῃ Pa 15 ὁρμὰς] ἀρχὰς Ad 16 ἐνδύματι] ἐν ὕδατι Pa 26 Χριστὸς ὁ Κύριος Ab

---

25-26 Ps. 117, 14 28-30 Is. 8,3

ᾠδὴ γʹ. *Εὐφραίνεται ἐπὶ σοὶ*

Ὁλόκληρον σεαυτὸν
τῷ ποιητῇ σου καὶ Θεῷ, ὅσιε,
ἀνατεθεὶς ἔφερες
τιμωρητικὴν ἐξουδένωσιν.

Νομίμως ἀθλητικὴν
f. 264v τὴν καρτερίαν, ἀσκητά, ‖ ἔδειξας
ἐπὶ τῆς γῆς· ὅθεν σοι
ἡ ἐν οὐρανοῖς τέρψις δέδοται.

Ταπείνωσιν ἀληθῆ,
μακροθυμίαν ἀκριβῆ ἤσκησας,
ὑπομονήν, ἐγκράτειαν
δι' ὑπακοῆς, παμμακάριστε.

θεοτ. Ὁ πάντων δημιουργὸς
δημιουργεῖται δι' ἡμᾶς, πάναγνε,
σάρκα λαβὼν ἔμψυχον
ἐκ σοῦ, παναγία θεόνυμφε.

ᾠδὴ δʹ. *Ἐπαρθέντα σε ἰδοῦσα ἡ ἐκκλησία*

Νεκρώσας, πάτερ, τὸ φρόνημα τῆς σαρκός σου,
τὴν σὴν ψυχὴν ἐζώωσας
καὶ δικαιοσύνης
στέφανον ἀπείληφας
κραυγάζων, Ἀκάκιε·
« δόξα τῇ δυνάμει σου, Κύριε ».

---

heirm. γʹ EE 94, n. 133, Joannis 31 σε αὐτὸν Pa σὲ αὐτὸν N 35-38 trop. om. N 37 σοι] σε Pa
heirm. δʹ EE 94, n. 133, Joannis 52,58 post δόξα orat. varie intermittunt cdd.

---

47 Rom. 8,6 49-50 II Tim. 4,8

Ἀγῶνας μακροὺς ἀνύων τοὺς καθ' ἡμέραν
καρτερικὴν ἐδείκνυες
τὴν ἔνστασιν, πάτερ·
ὅθεν μετὰ θάνατον
ὡς ζῶν ἀνεβόησας·
« δόξα τῇ δυνάμει σου, Κύριε ».

Ῥωμαλέῳ τῷ φρονήματι τὰς βασάνους
διὰ Χριστὸν ὑπέμεινας,
Ἀκάκιε μάκαρ,
τοῦτον φανταζόμενος
σταυρῷ προσηλούμενον
διὰ σωτηρίαν τοῦ γένους ἡμῶν.

f. 265 θεοτ. ‖ Ἱερωτέρα ὑπάρχεις τῶν οὐρανίων
καὶ νοερῶν δυνάμεων,
ὡς τούτων τὸν κτίστην,
πάναγνε, κυήσασα·
διό σοι κραυγάζομεν·
« χαῖρε, θεοτόκε πανάχραντε ».

ᾠδὴ εʹ. *Σύ, Κύριέ μου, φῶς*

Σύ, ὅσιε, πληγαῖς
ἀνδρικῶς αἰκιζόμενος
καὶ μάστιγας καθ' ἡμέραν
ὑποφέρων εὐτόνως
ὁσίως ἀναπέπαυσαι.

Τὸν δρόμον τὸν καλὸν
ἐκτελέσας, Ἀκάκιε,
τὴν ἄκακον καὶ καμάτων

53-58 trop. om. N 53 μακροὺς] μάκαρ Ab 60 ὑπέμενες Ab 67 τούτων τὸν] τὸν τούτων Ad 69 κραυγάζωμεν N 70 πανάχραντε] πανύμνητε Ad 70 δόξα τῇ δ(υνάμει σου Κύριε) Pa
heirm. εʹ EE 94, n. 133, Joannis

76-77 II Tim. 4,7

ἐλευθέραν καὶ πόνων
ἀπέλαβες ἀνάπαυσιν.

Ὁ νοῦς σου καθαρῷ
λογισμῷ κυβερνώμενος,
Ἀκάκιε θεοφόρε,
πρὸς τὸν αἴτιον πάντων
εὐστόχως ἐγκαθώρμισται.

θεοτ. Νοῦς καὶ ἀγγελικὸς
οὐκ ἰσχύει, πανάμωμε,
τὸν τόκον σου ἑρμηνεῦσαι·
ὑπερβαίνει γὰρ πᾶσαν
κατάληψιν καὶ ἔννοιαν.

ᾠδὴ ς'. *Θύσω σοι*
μετὰ φωνῆς αἰνέσεως, Κύριε,

Ὑπνώσας
τὸν μακάριον ὕπνον, Ἀκάκιε,
καὶ μετὰ θάνατον ὤφθης
ὑπακούων, πάτερ, τοῖς ἐρωτῶσιν,
ὡς οὐ θνήσκει
ὁ τῆς ὑπακοῆς ἀντεχόμενος.

Πληρώσας
τοὺς καλλίστους ἀγῶνας, φερώνυμε
τῆς ἀκακίας, θεόφρον,
ἠξιώθης ὄντως ἀθανασίας,
ἔνθα χαίρων
τοὺς στεφάνους τῆς νίκης ἀπέλαβες.

---

80 ἀπέλαβες] ἀνέλαβες Ab ἀπέλαυες Ad 80 ὁσίως ἀναπέπαυσε Pa; cfr. v. 75 81-85 trop. om. N 85 εὐτόχως Pa ἐγκαθώρμισται scripsi: ἐγκαθώρμισαι Pa καθορμήσατο Ab Ad 86 καὶ] οὐκ N Ad ἀγγελικῶς N 87 ἰσχύι N 87 οὐκ ἀνθρώπινος δύναται Ad
heirm. ς' EE 94, n. 133, Joannis 91 Ὕπνωσας Pa Ad Ὕπνωσαι N 92 Ἀκάκιε] μακάριε Ad 91-102 trop. om. N 99 ἀκακίας] ἀκηράτου Ab Ad 102 ἀνέλαβες Ab

---

97-98 II Tim. 4,7; I Tim. 6,12

Ἡ θεία
καὶ καλὴ καὶ θεάρεστος ἄσκησις
f. 265v || τῆς πολιτείας σου, μάκαρ,
τοὺς πολλοὺς στηρίζει τῷ θείῳ φόβῳ
καὶ τῷ πόθῳ
ἀγαθῶν τῶν μελλόντων, Ἀκάκιε.

θεοτ. Κυρίως
θεοτόκον σε πίστει δοξάζομεν,
ὡς τὸν Θεὸν συλλαβοῦσαν
καὶ τεκοῦσαν τοῦτον ἀπειρογάμως
ἑνωθέντα
τῷ ἐκ σοῦ προσληφθέντι ἁγίῳ ναῷ.

Κάθισμα.

Ἦχος δ'. *Ταχὺ προκατάλαβε*

Λαμπρότητι πίστεως
καὶ τῷ τῶν ἔργων φωτὶ
ἐδείχθης ἰσάγγελος
ἐπὶ τῆς γῆς ἀληθῶς,
Ἀκάκιε πάνσοφε·
ἔδειξας ἐν ἀνδρείᾳ
τὸ στερρὸν τοῦ νοός σου,
ἔτρεψας παρατάξεις
τῶν παθῶν ἐν ἀσκήσει·
διὸ καὶ μετὰ τέλος ὡς ζῶν
ὤφθης, ἀήττητε.

ᾠδὴ ζ'. *Ἐν τῇ καμίνῳ*

Ὅλῳ τῷ πόθῳ
πρὸς τὸν δεσπότην ἐπειγόμενος

---

110 δοξάζωμεν N
heirm. καθ. HR, 63 κάθ. om. Ab; idem in initio acolouthiae praebet Pa 10 τέλους Pa
heirm. ζ' EE 94, n. 133, Joannis

Κάθ. 3 Luc. 20,36

ὕβρεις,
ἀτιμίας, ὅσιε, καὶ πληγὰς
ὑπομένων ἀνεκραύγαζες·
« εὐλογημένος εἶ
ἐν τῷ ναῷ τῆς δόξης σου, Κύριε ».

Ὁ λογισμός σου
τὰ τοῦ δεσπότου λογιζόμενος
πάθη
καὶ σταυρὸν καὶ θάνατον μελετῶν
αἰκιζόμενος ὑπέψαλλε·
« εὐλογημένος εἶ
ἐν τῷ ναῷ τῆς δόξης σου, Κύριε ».

Νεκρὸς ἐν τάφῳ
νόμῳ θανόντων κατακείμενος
ἄπνους
τῷ λαλοῦντι φθέγγει ὑπερφυῶς
ὡς οὐ τέθνηκας, κραυγάζεις δέ·
« εὐλογημένος εἶ
ἐν τῷ ναῷ τῆς δόξης σου, Κύριε ».

θεοτ. Ἀποθανόντας
ἐν ᾧ, παρθένε, κατειχόμεθα
f. 266 ‖ νόμῳ
τὴν ζωὴν τεκοῦσα τὴν ἀληθῆ
ἐξανέστησας κραυγάζοντας·

120, 127, 134 post εὐλογημένος orat. varie intermittunt cdd. 120 εὐλογητὸς N 123 τὰ] τῷ N 126 ὑπέψαλλες cdd. 127 εὐλογητὸς N 129-135 trop. om. N 136 Ἀποθανέντας N 136-142 aliud θεοτ. praebet Ab:

Ἀποθανόντας
τῇ παραβάσει τῆς προμήτορος
Εὔας
διὰ σοῦ, παρθένε, πάλιν ἡμᾶς
ὁ υἱός σου καὶ Θεὸς ἡμῶν
ἐκαινοποίησε
καὶ ζωῆς τῆς ἀλήκτου ἠξίωσεν.

141-142 Luc. 1, 28,42

« εὐλογημένη σὺ
ἐν γυναιξὶν ὑπάρχεις, πανάμωμε ».

ᾠδὴ η'. *Χεῖρας ἐκπετάσας Δανιὴλ*

Συντόνῳ ἀσκήσει τῷ Θεῷ
σοὶ ἐξεγένετο
κραθῆναι, ὅσιε,
δεσμὸν τοῦ σώματος λύσαντι
καὶ τὴν σάρκα δαπανήσαντι
καὶ θεωρίᾳ πρακτικῇ,
πάτερ, κραυγάζοντι·
« εὐλογεῖτε
πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον ».

Μετὰ τῶν μαρτύρων τοῦ Χριστοῦ
συναριθμούμενος
καὶ συντατττόμενος
μὴ διαλίπῃς νῦν, ὅσιε,
ἱκετεύων τὸν φιλάνθρωπον
καὶ δυσωπῶν ὑπὲρ ἡμῶν
τῶν εὐφημούντων σε
καὶ βοώντων·
« πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον ».

Ἀθλήσας ἐννόμως ἐπὶ γῆς,
τὴν ἐπουράνιον
εὗρες ἀνάπαυσιν
συναγαλλόμενος, ὅσιε,
τοῖς ἁγίοις καὶ συμμέτοχος
τῆς εὐφροσύνης καὶ χαρᾶς

---

141 post εὐλ(ογημένη) orat. detruncat N 142 ὑπάρχεις πανάμωμε] πανάμωμε δέσποινα Ad

heirm. η' EE 94, n. 133, Joannis 144 σοῦ N 146 δεσμῶν N Ad λύσαντος Ad 155 διαλίποις Pa Ab νῦν om. N 151, 160, 169 post πάντα orat. varie intermittunt cdd. 161-169 trop. om. N

---

161 II Tim. 2,5

τούτων γινόμενος
καὶ κραυγάζων·
« πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον ».

θεοτ. Σαρκοῦται ὁ ἄσαρκος τὸ πρίν,
ὁ κτίστης κτίζεται
ἐκ σοῦ, πανάμωμε·
τὴν γὰρ πανάχραντον μήτραν σου
ὑποδὺς ὁ ἀπερίληπτος,
περιγραφῆς σωματικῆς
θέλων ἠνέσχετο·
ὅθεν πάντες
σὲ εὐλογοῦμεν, Μαρία θεόνυμφε.

ᾠδὴ θ'. *Λίθος ἀχειρότμητος ὄρους*

Ἵλεως ἐχώρησας, πάτερ,
πρὸς τὸν τῶν ὅλων εὐεργέτην
f. 266v || τῇ τῆς ἀκακίας καλλονῇ
κεκοσμημένος καὶ ὡραιότητι
τῶν ἀρετῶν λαμπόμενος·
διό σε πάντες μακαρίζομεν.

Νόμῳ πειθαρχῶν τοῦ δεσπότου
τὸν σὸν ὑπέκλινας αὐχένα
τῇ τῶν μοναζόντων παλαίστρᾳ
καὶ νικηφόρος, πάτερ, γενόμενος
πρὸς ἀκακίαν ἤλασας
τελεωτάτην, παμμακάριστε.

Ἆσμα τῷ Θεῷ ἀναπέμπειν
σὺν ἀσωμάτοις ἠξιώθης,
ὡς διατηρήσας ἐκείνων
τὴν πολιτείαν καὶ καθαρότητα,
ὑπομονῇ τῶν ἔργων δὲ
τὸ τῶν μαρτύρων κλέος εἴληφας.

---

174 ἀπερίληπτος] ἀπερίγραπτος Pa 175 περιγραφῆς σωματικῶς N περιγραφῇ σωματικῇ Ad 176 θέλον Pa
heirm. θ' EE 94, n. 133, Joannis 181 τὴν τ. ἀ. καλλονὴν Ad 184 μακαρίζωμεν N 185-196 trop. om. N 196 κλέως Ab

Δέχου παρ' ἡμῶν, θεοφόρε,
τὸν προσφερόμενόν σοι ὕμνον
ἐκ καθαρωτάτης καρδίας
καὶ ἀντιδίδου ταῖς ἱκεσίαις σου
τὴν τῶν πταισμάτων ἄφεσιν
καὶ σωτηρίαν, πανσεβάσμιε.

θεοτ. Ὡς ῥίζαν ὑπάρχουσαν ὄντως
τῆς ἀφθαρσίας σέ, παρθένε,
πάντες οἱ πιστοὶ πεπεισμένοι
ταῖς εὐφημίαις καταγεραίρομεν·
σὺ γὰρ τὴν ἐνυπόστατον
ἀθανασίαν ἡμῖν ἔβλυσας.

---

206 καταγεραίρωμεν N 208 ἔβλυσας] ἔτεκες Ad

IN SANCTUM STEPHANUM JUNIOREM MARTYREM

Synaxarium, 261-263: "Αθλησις τοῦ ὁσίου πατρὸς ἡμῶν Στεφάνου τοῦ νέου. Οὗτος ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Ἀναστασίου, τοῦ καὶ Ἀρτεμίου, πατριαρχοῦντος Γερμανοῦ τοῦ ἐν ἁγίοις, τῆς βασιλίδος τῶν πόλεων γέννημά τε καὶ θρέμμα, υἱὸς Ἰωάννου καὶ Ἄννης τῶν εὐσεβῶν. Ὑποδύεται οὖν τὸν μονήρη βίον καὶ πάσας τὰς σωματικὰς ὁρμὰς χαλινώσας νηστείᾳ καὶ τῇ λοιπῇ σκληραγωγίᾳ, ἐπεὶ ὁ θεσπέσιος Ἰωάννης ὁ τούτου καθηγούμενος ἀνεπαύσατο, αὐτὸς τὴν ἐπιστασίαν ἀναδέχεται ἐν τῷ περιωνύμῳ βουνῷ τοῦ ἁγίου Αὐξεντίου διανύων τὸν ἀσκητικὸν δίαυλον. Κωνσταντῖνος δὲ ὁ Κοπρώνυμος... τὴν βασιλείαν διαδεξάμενος... τὸν κατὰ τῶν ἁγίων καὶ σεβασμίων εἰκόνων ἀναρριπίζει πόλεμον καὶ τοὺς εὐσεβοῦντας μοναχοὺς βασάνοις μυρίαις καὶ ἐξορίαις καθυποβάλλει· μεθ' ὧν καὶ τὸν μακάριον Στέφανον μὴ πειθόμενον αὐτῷ μετὰ πολλὰς αἰκίας τῷ πραιτωρίῳ ἐγκλείει· ἐν ᾧ καὶ ἕτεροι τῶν μοναχῶν λογάδες ἐφρουροῦντο... Ἐπεὶ οὖν καὶ ἐπὶ τοῦτον ἡ καταδικάζουσα ψῆφος ἔφθασε, πληρωθέντος ἑνδεκαμηνιαίου χρόνου, ἐκβάλλεται τῆς φυλακῆς καὶ εἰς γῆν ῥιφεὶς καὶ τοὺς πόδας δεσμευθείς, ἐπὶ τὴν δημοσίαν σύρεται, λίθοις βαλλόμενος καὶ ξύλοις τυπτόμενος. Ὃς συρόμενος ὑπό τινος Φιλομματίου κόμητος... ξύλῳ μεγίστῳ κρούσας αὐτὸν κατὰ τοῦ μήνιγγος εὐθέως ἀνεῖλεν ὡς, ῥαγείσης αὐτῷ τῆς κεφαλῆς ἔξω χεθῆναι τὸν μυελὸν — ἐτελεύτησεν. Οἱ δὲ λοιποὶ τῶν δημίων ἔσυρον ἐπὶ τῆς λεωφόρου νεκρὸν τὸ σῶμα καὶ ἐν τοῖς Πελαγίου ἀπέρριψαν...

Paris. gr. 928 = T, pp. 225-228
Paris. gr. 1619 = P, ff. 210-212
Mess. gr. 135 = N, ff. 219^v-223^v

Ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε·
Τῷ Στεφάνῳ στέφανον ἐκ λόγων πλέκω.
⟨Ἐν δὲ τοῖς θεοτοκίοις· Γρηγορίου⟩.

Ἦχος α'.

ᾠδὴ α'. *Σοῦ ἡ τροπαιοῦχος δεξιὰ*

Ταῖς τοῦ σοῦ θεράποντος λιταῖς,
Λόγε Θεοῦ, τὴν ζωήν μου κυβέρνησον

tit. Ὁ κανὼν PN
heirm. α' EE 1, n. 1, Joannis

καὶ πρὸς φῶς ὁδήγησον
τῶν ἐντολῶν σου καὶ παράσχου μοι
λόγον εὐφημῆσαι
αὐτοῦ τὴν θείαν πανήγυριν.

Ὥσπερ ἄνθος χόρτου καὶ σκιὰν
τὰ ἐπὶ γῆς ὡς φθαρτὰ λογισάμενος,
δόξαν ἐπεπόθησας
ἐν οὐρανοῖς τὴν ἀεὶ διαμένουσαν,
τὴν ἀποκειμένην
δικαίοις πᾶσι, πανάριστε.

Σάρκα καθυπέταξας νοΐ
καὶ τῶν ἀγγέλων τὸν βίον ἐζήλωσας,
Στέφανε μακάριε,
ταῖς προσευχαῖς σχολάζων καὶ ἀσκήσεσιν·
ὅθεν ὁ Χριστός σε
στεφάνῳ δόξης ἐκόσμησεν.

Τὰς ἐπαναστάσεις τῶν παθῶν
διὰ συντόνου νηστείας ἐνέκρωσας
βίον ἐκμιμούμενος
τοῦ θεοφόρου Αὐξεντίου, ὅσιε,
καὶ σαυτὸν καθεῖρξας,
ὥσπερ ἐκεῖνος, οἰκίσκῳ σμικρῷ.

θεοτ. Γεγόναμεν πρώην τοῦ Ἀδὰμ
τῷ παραπτώματι πάντες ὑπεύθυνοι,
καταδικασθέντες δὲ

4 καὶ παράσχου μοι] παράσχου μοι πανόλβιε P 7-12 trop. om. P 8 λογισάμενος] παρωσάμενος N 12 πᾶσι πανάριστε] ὦ παμμακάριστε N 13-24 trop. om. N 17 σε] σοι P 18 ἐκόσμησεν] ἠξίωσεν T 24 μικρῷ P 27 δὲ om. TN

21-22 PG 100,1101: ... καὶ οὗτος ὁμοίως ἐξισοῦσθαι τῷ θεοφόρῳ Αὐξεντίῳ ἤθελεν... 1096: ... καὶ διελογίζετο ... τὸ τοῦ διδασκάλου ἀναπληρώσασθαι ἀγώνισμα...
23-24 PG 100,1101: ... τὸ θυμῆρες ἔχων... ἑαυτὸν καθεῖρξαι παρὰ τὴν τοῦ σπηλαίου στενοτομίαν.

4 Ps. 118,35 7 Ps. 101,12; 102,15; Is. 40,6

θανάτῳ νῦν διὰ τοῦ θείου τόκου σου,
πάναγνε παρθένε,
τῶν τούτου βρόχων ἐρρύσθημεν.

⟨ ᾠδὴ β΄. ....

Ε ....
....

Φ ....
....

Α ....
....

Ρ ....
..............................⟩.

ᾠδὴ γ΄. *Ὁ μόνος εἰδὼς τῆς τῶν βροτῶν*

Ναὸν σεαυτὸν προφητικῶς
τοῦ θείου, πάτερ, πνεύματος
χωρητικὸν εἰργάσω, μακάριε·
τῇ ἐνεργείᾳ τούτου γὰρ ἔτρεψας
τῶν δαιμόνων φάλαγγας
καὶ νοσοῦσιν ἴασιν
ἐδωρήσω καὶ πηροῖς ἀνάβλεψιν.

---

28 νῦν] δὲ T νῦν δὲ N νῦν om. P 30 τῶν] τὸν NP odem β΄ om. cdd.

heirm. γ΄ EE 1, n. 1, Joannis 31 σὲ αὐτὸν TN προφητικὸν P 32 πάτερ] ὄντως P

31-37 PG 100,1148-49: ... Στέφανος... ὁ εἰς Θεὸν πλουτήσας, καὶ τῆς πολυτελοῦς καταξιωθεὶς χάριτος. ... λαβὼν... ἐξουσίαν... ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ πονηροῦ ἐχθροῦ, θεραπεύειν τε πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν...

---

31 I Cor. 6,19

Ὡς ᾤετο πείθειν σε, σοφέ,
ὁ θὴρ ὁ δυσμενέστατος
τὴν τοῦ Χριστοῦ εἰκόνα ἀρνήσασθαι
καὶ τῆς πανάγνου καὶ θεομήτορος
καὶ ἁγίων, ὅσιε,
τῆς αὐτοῦ ἠστόχησε
προσδοκίας καὶ γνώμης, μακάριε.

Συντόνῳ δεήσει σου τὸν νοῦν
πρὸς ὕψος ἀνεπτέρωσας·
τὴν τῆς σαρκὸς ὑλώδη παχύτητα
καὶ ταύτης πάσας τὰς ὁρμάς, ὅσιε,
p. 226 ὑποτάξας σώ‖φρονι
λογισμῷ, διέμεινας
προσβολαῖς τῶν δαιμόνων ἀκλόνητος.

θεοτ. Ἡ πάντων δεσπόζουσα, ἁγνή,
κτισμάτων ἀοράτων τε
καὶ ὁρατῶν μὴ παύσῃ πρεσβεύουσα
ὑπὲρ τῆς ποίμνης τῆς πεποιθυίας εἰς σὲ
πειρασμῶν καὶ θλίψεων
καὶ κινδύνων, πάνσεμνε,
καὶ θανάτου αὐτὴν διασώζουσα.

45-51 trop. om. N 45 Συντόνῳ] Συντονοτάτη P 47 παχύτητα] προσπάθειαν P 51 ἀκλόνητος] ἀπτόητως P 52 Ἁπάντων T 55 ποίμνης] ποίμνης σου T τῆς πεποιθόσης T τοῖς πεπιθῶσιν P 58 αὐτὴν] αὐτοῦ P

38-44 PG 100,1121-1125: ... ἀποστέλλει (scil. Κων/νος) αὐτὸν (scil. Κάλλιστον) εἰπών... τοῦτον (scil. τὸν Στέφανον) ὑπογράψαι ἐν τῇ συνόδῳ πεῖσον ... Ὁ δὲ οὗτος Στέφανος... ἔφη· « ... Στέφανος οὔτε ὑπογράψω... πρὸς δὲ καὶ τὴν τῶν εἰκόνων προσκύνησιν... ». 1140-1145: Οἱ δὲ τῷ ἁγίῳ εἶπον· ... ἢ πεπεικέναι σαυτὸν ἢ ὑπογράψαι· εἰ δὲ μή γε, θανάτῳ παραδοθῆναι... Ὁ δὲ ἅγιός φησιν· « ... τὸ ἀποθανεῖν ὑπὲρ τῆς ἁγίας αὐτοῦ εἰκόνος κέρδος καὶ δόξα... ».

39 PG 100,1984: ... λεοντοειδῶς βρύξας ὁ ἀνήμερος θὴρ καὶ λεοντώνυμος... εἶπεν...

47-51 PG 100,1089: ... εὐπρόθυμος ἦν καὶ ἀνεπηρέαστος παθῶν τε καὶ δαιμόνων ...

ᾠδὴ δ΄. *Ὄρος σε*
τῇ χάριτι τῇ θείᾳ κατάσκιον

Τὸν νόμον
Κυρίου μελετῶν καὶ πρωῒ καὶ νυκτὸς
ξύλον κατάκαρπον ἡμῖν
ἐν διεξόδοις φυτευθὲν
τοῦ πνεύματος πέφηνας
καὶ ἀρδευθὲν
τοῖς τῶν δακρύων σου χεύμασιν,
ἐξ οὗ τρυγῶντες πιστῶς εὐφραινόμεθα.

Ἐν ὄρει
ἐπάρας σου τὰς χεῖρας, ὡς πάλαι Μωσῆς,
τῇ ἐκτενείᾳ τῶν εὐχῶν
τὸν πολυμήχανον ἐχθρὸν
ἐξ ὕψους κατέρραξας
καὶ νικητὴς
τῆς τυραννίδος αὐτοῦ πεφηνώς,
νῦν μετ᾽ ἀγγέλων αὐλίζει, μακάριε.

Φρόνημα
τυράννου δυσσεβὲς καταβέβληκας
τῇ ἀνενδότῳ πρὸς Θεὸν
ὁμολογίᾳ σου, σοφέ,
καὶ πίστιν ἐκράτυνας
τὴν ἀρραγῆ
τοῦ προσκυνεῖν τὴν εἰκόνα Χριστοῦ·
τῷ πρωτοτύπῳ γὰρ ἔφασκες νέμειν τιμήν.

---

heirm. δ΄ EE 1, n. 1, Joannis 62 φυτευθεὶς T 64 ἀρδευθεὶς T 66 ἐξ οὗ] ἐξ ὧν N 73 πέφηνας T πεφηνὸς P 75-90 trop. om. N 80 ἀρραγὴν P 81 τοῦ προσκ.] τοῦ σταυροῦ προσκ. P 82 ἔφασκεν P

59-62 PG 100,1081: ... οὐ διέλιπεν, ... μελετῶν νύκτωρ τε καὶ καθ᾽ ἡμέραν ἐν τῷ νόμῳ Κυρίου, ὡσεὶ ξύλον πεφυτευμένον παρὰ τὰς διεξόδους τῶν ὑδάτων.

59-62 Ps. 1,2-3; 118,70 67-68 Ex. 17,11

Αἱ τάξεις
ἐξέστησαν τῶν ἀγγέλων ἅπασαι
ἐπὶ τῇ ⟨σῇ⟩ ὑπομονῇ
καὶ καρτερίᾳ σου, σοφέ·
δημεύσεις γὰρ ἔφερες
καὶ αἰκισμοὺς
ἐλπίδι θείᾳ ῥωννύμενος
καὶ προσδοκῶν ἀμοιβὴν τῶν καμάτων σου.

θεοτ. Γηθόμενοι
τὸ ʽχαῖρε, τῇ παρθένῳ βοήσωμεν
σὺν τῷ ἀγγέλῳ Γαβριήλ·
εὐλογημένος ὁ καρπὸς
ὑπάρχει σου, δέσποινα,
ὁ ἐκ Πατρὸς
τὸ πρὶν ἐκλάμψας ἀρρεύστως Υἱὸς
καὶ διὰ σοῦ ἐπ᾽ ἐσχάτων σαρκούμενος.

ᾠδὴ ε΄. *Ὁ φωτίσας*
τῇ ἐλλάμψει τῆς σῆς παρουσίας, Χριστέ,

Νεκρωθέντα
καὶ πρὸς γῆν κεκυφότα τοῖς πταίσμασι
ζώωσόν με
καὶ πρὸς φῶς ἐντολῶν σου ὁδήγησον
ταῖς τοῦ σοῦ θεράποντος
πρεσβείαις, σῶτερ ζωοδότα·
ἄλλον γὰρ πλήν σου οὐκ ἔγνων Θεόν.

---

85 σῇ ipse addidi 89 καὶ ἐλπίδι P 91-98 θεοτ. om. P 98 versus deest in N
heirm. ε΄ EE 1, n. 1, Joannis 100 κεκυφότα] καὶ κυφῶς τὸ P 104 πρεσβείαις. σῶτερ] Χριστὲ πρεσβείαις N 105 ἔγνων Θεὸν] ἔγνωμεν N

99-101 PG 100,1185: ... ζωοποίησον ταῖς σαῖς δεήσεσι ἐμὲ τὸν νενεκρωμένον τοῖς παραπτώμασιν...

---

102 Ps. 118,35 105 Ex. 20,3

Ὁ Ἰούδας
τοῦ χοροῦ ἀποστόλων ἐκπέπτωκε
τὸν Κύριον
τοῖς ἀνόμοις προδοὺς ὁ παράνομος·
καὶ σέ, μάρτυς Στέφανε,
σὸς μαθητὴς τυράννῳ διαβάλλει
φιλαργυρίας τῷ πάθει νοσῶν.

Νευρωθεῖσαι
ζήλῳ θείῳ γυναῖκες φιλόθεοι
κατέρραξαν
εἰς τὴν γῆν τὸν Χριστοῦ καθελόντα
μορφὴν καὶ ὁμολογήσασαι
αὐτὸν ἐν μέσῳ τῶν ἀθέων
ξίφει τὰς κάρας ἐτμήθησαν.

θεοτ. Ὅλος ὤφθη
δι' ἐμὲ ἐκ παρθένου ὡς ἄνθρωπος
ὁ τῶν κόλπων
οὐκ ἐκστὰς τοῦ οἰκείου γεννήτορος
ἐν δυσὶ ταῖς φύσεσιν
οὐκ ἀλλοιώσας τὰς οὐσίας,
ὃν ἐπαξίως δοξάζομεν.

ᾠδὴ ϛ'. *Ἐκύκλωσεν ἡμᾶς ἐσχάτη ἄβυσσος*

Ἐπλήθυνας ποίμνην Χριστοῦ ἱδρῶσί σου
καὶ πόνοις τῆς ἀσκήσεως
καὶ κατήρδευσας αὐτὴν ἐν ταῖς ῥοαῖς,

108-109 τὸν ἀνόμοις / παραδοὺς τὸν δεσπότην καὶ Κύριον P 112 τὸ πάθος N 113-119 trop. om. N 114 φιλόθεοι] φιλόσοφοι P 120 Ὅλως P 122 τὸν κόλπον P 123 οἰκείου] ἰδίου P 125 ἀλλιοῦσας P 126 δοξάζωμεν N heirm. ϛ' EE 1, n. 1, Joannis 128 τῆς] τοῖς P 129 κατήρδευσεν P

110-112 PG 100,1125: Ὁ δὲ ... Κάλλιστος ἕνα τῶν μαθητῶν τοῦ ὁσίου κατ' ἰδίαν προσλαβόμενος, χρυσίον τε αὐτῷ δούς, ... πείθει τὸν ἐλεεινὸν ἐκεῖνον δεύτερον Ἰούδα γενέσθαι, καὶ κατὰ τοῦ διδασκάλου ὁπλισθῆναι...

113-119 PG 100,1085: Ἐν δὲ τῇ αὐτῆς (scil. τῆς ὕπερθεν τῆς Χαλκῆς εἰκόνος τοῦ Χριστοῦ) καθαιρέσει ζήλῳ θείῳ ῥωσθεῖσαι τίμιαι γυναῖκες, ... τὸν καθαιρέτην σπαθάριον χαμᾶζε προσρίψασαι... καὶ τῷ τυράννῳ προσφυγὼν (ὁ πατριάρχης Ἀναστάσιος), πέπεικεν αὐτόν, τοῦ διὰ ξίφους θανατωθῆναι τὰς ἁγίας γυναῖκας ἐκείνας...

πάτερ, σῶν δακρύων καὶ προσήνεγκας
ὥσπερ δεκτὸν
θῦμα τῷ κτίστῃ καὶ ἀρχιποίμενι.

Κατέλιπον αἱ γυναικῶν φιλόθεοι
τοῦ βίου τὴν τερπνότητα
καὶ ἡρμόσθησαν προθύμως τῷ Χριστῷ
ταῖς σαῖς ὑποθήκαις πειθαρχήσασαι·
σὺ γὰρ αὐτῶν
τῆς σωτηρίας πρόξενος γέγονας.

Λογύδρια ὥσπερ σαθρὰ καὶ ἄστατα
τυράννου τὰ βουλεύματα
ἐλογίσατο ἡ Ἄννα ἡ σεμνὴ
πρὸς τὴν καρτερίαν εὐτρεπίζοντα
τοῦ ἀληθῶς
στέφει στεφθέντος τοῦ πρωτομάρτυρος.

θεοτ. Ῥαθύμως μου τὸν βίον ἐξετέλεσα
καὶ βάθει ἀπογνώσεως
περιπέπτωκα, αἰτοῦμαι δὲ τὴν σὴν
ἄγρυπνον πρεσβείαν, ἀειπάρθενε·
σὲ γὰρ ἀεὶ
καὶ προστασίαν καὶ σκέπην κέκτημαι.

Κονδάκιον.

Ἦχος δ'. *Ἐπεφάνη σήμερον*

Ἑορτάζει σήμερον ἡ ἐκκλησία
p. 227 ἑορτὴν ‖ εὐφρόσυνον
ἐν τῇ σῇ μνήμῃ καὶ σεπτῶς
ἀνευφημοῦσα κραυγάζει σοι·
« Στέφανε θεῖε,
ὁσίων τὸ καύχημα ».

---

130 σῶν] τῶν TP 133 αἱ] καὶ N 139-144 trop. om. N 139 ἄστατα] ἄλογα T 145 μου om. N 146 βάθη N 147 ἐκπέπτωκα (περιπέπτωκα P) καὶ μένω τὴν ἐκ σοῦ TP heirm. κονδ. HR, 169 κονδ. om. P

Ὁ οἶκος.

Εἰς πᾶσαν γῆν ὡς ἀληθῶς
....

ᾠδὴ ζ'. *Σὲ νοητήν,*
θεοτόκε, κάμινον

Ὁ τοῖς τυφλοῖς
παρασχὼν ἀνάβλεψιν
χάριν σοι νέμει, ἀθλητά,
τῶν ἰάσεων, ὡς Θεός·
ὅθεν σοι προσέδραμε
πίστει καὶ ἐδέξατο
ὁ πρὶν τυφλώττων τὴν ἴασιν
τὸν αἰνετὸν
ἀναμέλπων Θεὸν καὶ ὑπερένδοξον.

Γύναιον πρὶν
τοῦ κρασπέδου ἥψατο
τῶν ἱματίων τοῦ Χριστοῦ
καὶ τὴν ἴασιν παρευθὺς
εὕρατο τῆς ῥύσεως·

οἶκ. MR II, 312 post οἶκ. synaxarium breve in T sequitur
heirm. ζ' EE 1, n. 1, Joannis 152 παρασχὼν] παρέχων P 153 χάριν σοι νέμει] καὶ χάριν νέμει σοι P 154 ὡς Θεὸς] ἀθλητὰ P 157 ὁ] ὡς P 159 ἀναμέλπων] μεγαλύνων T τῶν πατέρων P post Θεὸν (πατέρων P) orat. detruncant cdd. 163 παρευθὺ TP 164 ῥύσεως] ῥεύσεως P

151-159 PG 100,1149-1152: Τοῦτον (scil. τὸν τυφλὸν) ... ὁ Στέφανος ἰδὼν... πίστιν δὲ ἔχοντα... ...Αὐτίκα γοῦν... γέγονεν ὑγιὴς ὁ νεανίας... ἀπῄει... αἰνῶν τὸν Θεὸν καὶ δοξάζων...

151-152 Luc. 4,19; Is. 61,1 160-164 Marc. 5,25-34; Luc. 8,43-48

ταύτης κατὰ μίμησιν
καὶ σοὶ προστρέχει τὸ γύναιον
καὶ τοῦ Χριστοῦ
τῇ σφραγῖδι αὐτὸ ἴασω, ὅσιε.

Ὥσπερ ποτὲ
παῖδες οἱ θεόφρονες
οὐ προσεκύνησαν, σοφέ,
τοῦ τυράννου τοῦ δυσσεβοῦς
στήλην δυσειδέστατον,
οὕτω κατεπάτησας
τοῦ βασιλέως ἐνώπιον
τὸ ἑαυτοῦ
ἀφομοίωμα τὸν αἰνετὸν ἀναμέλπων Θεόν.

θεοτ. Ἱλεών μοι
τὸν κριτὴν ἀπέργασαι
ταῖς ἱκεσίαις σου, ἁγνή·
σὲ γὰρ ἔχω καταφυγὴν
p. 228 ‖ ἐν ταῖς περιστάσεσι
καὶ ἀκαταμάχητον
ἐν πειρασμοῖς τεῖχος, ἄχραντε,
καὶ κραταιὸν
κατ' ἐχθρῶν νοητῶν ὅπλον, πανάμωμε.

ᾠδὴ η'. *Ἐν καμίνῳ παῖδας Ἰσραὴλ*

Νεκρωθεῖσαν παῖδα ὡς ποτὲ
τοῦ ἀρχισυναγώγου

---

166 σύ P 168 αὐτῷ P αὐτὴν N 169-177 trop. om. N 172 τῶν τυράννων τὸ δυσσεβὲς P 175 ἐνώπιον] ἔνοπτρον T 176-177 ἀναβοῶν / τῶν πατέρων θεὸν καὶ ὑπερένδοξον P 180 ἱκεσίας P 184 τεῖχος] καὶ τεῖχος σε T καὶ τεῖχος P ἄχραντον P 186 νοητὸν T, om. P
heirm. η' EE 1, n. 1, Joannis

165-168 PG 100,1153: ... αἱμόρρους ἄλλη τις γυνὴ ... τῇ ῥύσει μαραινομένη... δρομαίως τῇ νήσῳ προσπλέει... Ἀλλὰ ταύτην εὐξάμενος ὁ πατὴρ ἐθεράπευσεν τῇ ἐν Χριστῷ σφραγῖδι...

---

171 Dan. 3,12 sqq. 187-190 Marc. 5,35-43; Luc. 8,49-56

ἀπέδωκας ἐρρωμένην
τῷ γεννήτορι, Χριστέ·
ὡσαύτως καὶ Στέφανος
παραδόξως
παῖδα τῆς χήρας,
τοῦ δαίμονος καθάρας,
ταύτην τῇ ἰδίᾳ
ἀπέδωκε τεκούσῃ.

Παρεστηκὼς τῷ παμβασιλεῖ
μνημόνευε τῶν πίστει
τελούντων σου τὴν πανήγυριν
ἐκ πίστεως θερμῆς,
μακάριε Στέφανε,
καὶ βοώντων·
« πάντα τὰ ἔργα
τὸν Κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας ».

Λαβροτάτῳ, πάτερ, πυρετῷ
δεινῶς συνεχόμενον
ἰάσω τὸν καθηγούμενον
χειρί σου τῇ σεπτῇ
μονῆς Χρυσοπόλεως,
ὅθεν ἐβόα·
« πάντα τὰ ἔργα
τὸν Κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας ».

---

195 ταύτην] τοῦτον N 196 μητρὶ ἐναπέδωκε TP 197 τῷ παμβασιλεῖ] καὶ νῦν τῷ βασιλεῖ P 200 θερμῶς N 203, 213, 223 post πάντα orat. varie intermittunt cdd. 207-216 trop. om. N 208 συνεχομένῳ P 211 Χριστοπόλεως P 212 ὅθεν ἐβόα] καὶ ἐβόας P

191-196 PG 100,1152-1153: Γύναιόν τι... παιδίον εἶχε δαιμονιζόμενον... ἅμα τῇ μητρὶ ἀπέλυσεν αὐτὸν εἰς τὰ ἴδια ὑγιῆ...

207-211 PG 100,1145: ... ἐν δὲ ταῖς ἡμέραις ἐκείναις ὁ τοῦ μοναστηρίου (τῆς Χρυσοπόλεως) ἡγούμενος ἀρρωστῶν ὑπὲρ δύναμιν, ἀπεγνώσθη παρὰ τῶν ἰατρῶν τῷ διακαεῖ τοῦ πυρετοῦ νοσήματι... Καὶ παρευθὺ ἐλώφησεν ὁ πυρετός... Ὅστις ... πρὸς ὑγίειαν κρίσεως μετετρέπετο...

θεοτ. Ὄρος θεῖον ὤφθης τοῦ Θεοῦ,
ἐξ οὗ ἐτμήθη λίθος,
παρθένε, ἄνευ χειρὸς
καὶ ἀνεκαίνισεν ἡμᾶς
φθαρέντας τοῖς πάθεσιν,
ὃν ὑμνοῦμεν·
« πάντα τὰ ἔργα
τὸν Κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας ».

ᾠδὴ θ'. *Τύπον τῆς ἁγνῆς λοχείας σου*

Ἔχων ἄνω τὸ πολίτευμα
ἐν οὐρανοῖς τῶν τῇδε, πάτερ, μεθέστηκας,
καταξιωθεὶς
τοῦ μαρτυρίου τὸν στέφανον
ἀναδήσασθαι σὺν τοῖς συνάθλοις σου,
μεθ' ὧν ἀδιαλείπτως
ὑπὲρ ἡμῶν ἀπαύστως πρέσβευε.

Κόσμου ὑπερβὰς τὸν ἄρχοντα
καὶ κοσμοκράτορα τοῦ σκότους, μακάριε,
ἐξουσίας τε
τὰς τοῦ ἀέρος, κατήντησας
πρὸς τὰς ἄνω χορείας ληψόμενος
τὰ γέρα τῶν ἱδρώτων
τῶν σῶν ἀγώνων, παμμακάριστε.

---

218 ἐξ οὗ] ἐκ σοῦ TP 220 ἀνεκαίνισας P

heirm. θ' EE 1, n. 1, Joannis 228 πάτερ, μεθέστηκας] νῦν μεταβέβηκας TP 230 τὸν om. P 231 ἀναδήσασθαι] ἀναδέξασθαι P συνάθλοις] ἄθλοις P 234-240 trop. om. N 235 κοσμοκράτορας τοὺς P

234-237 PG 100,1089: ... ἀλλὰ πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου...

217-219 Dan. 2,34 227-228 Phil. 3,20 235-236 Eph. 6,12 237 Eph. 2,2

Ὦ τῶν ἀρχαγγέλων σύσκηνε
καὶ τῶν ἀγγέλων μέτοχε καὶ συνόμιλε,
δέχου τόνδε μου
τὸν εὐτελῆ λόγον, ὅσιε,
καὶ τῇ σῇ μεσιτείᾳ παράσχου μοι
τὴν τῶν πταισμάτων λύσιν,
ὧνπερ ἐν βίῳ ἐπλημμέλησα.

θεοτ. Ὕμνον παρ' ἡμῶν τῶν δούλων σου,
εἰ καὶ ἀνάξιον, προσδέχου, πανύμνητε,
ἀντικαταπέμπουσα
τὴν παρὰ σοῦ θείαν ἔλλαμψιν
καὶ τῆς σῆς εὐσπλαγχνίας τὴν ἄβυσσον,
παρθένε θεοτόκε,
ἁμαρτωλῶν ἡ προστατεύουσα.

---

243 τόνδε μου] τοῦτον μου P   μου N   244 λόγων T

241-242 PG 100,1185: ... ὦ ἀγγέλων συνόμιλε, καὶ τῶν ἀρχαγγέλων συγχορευτά...

IN SANCTUM ANDREAM APOSTOLUM

Synaxarium, 265-268: Ἀνδρέου τοῦ πρωτοκλήτου. Οὗτος ὑπῆρχεν ἐκ πόλεως Βηθσαϊδά, υἱὸς Ἰωνᾶ, ὁ ἀδελφὸς δὲ Πέτρου τοῦ κορυφαίου τῶν ἀποστόλων. Καὶ πρότερον μὲν τῷ προφήτῃ προδρόμῳ καὶ βαπτιστῇ Ἰωάννῃ μαθητεύεται, ἔπειτα τό· « Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ » παρὰ τοῦ διδασκάλου ἀκούσας δακτυλοδεικνύντος τὸν Ἰησοῦν, καταλιπὼν αὐτὸν ἠκολούθησε τῷ Χριστῷ καὶ Πέτρον τὸ « εὑρήκαμεν Ἰησοῦν τὸν ἀπὸ Ναζαρὲτ » εἰπὼν ἐπεσπάσατο πρὸς τὸν τοῦ Χριστοῦ ἔρωτα· καὶ ἕτερα ἔστιν εὑρεῖν ἐν τῇ γραφῇ κείμενα περὶ αὐτοῦ. Οὗτος ἐπεὶ τῷ Κυρίῳ ἠκολούθησεν μετὰ τὴν ἀνάληψιν αὐτοῦ, ἄλλῳ μὲν ἀποστόλῳ ἄλλη τις ἐκληρώθη χώρα. Τῷ πρωτοκλήτῳ δὲ Ἀνδρέα ἥ τε Βιθυνῶν καὶ ὁ Εὔξεινος Πόντος καὶ τῆς Προποντίδος τὰ μέρη σὺν Χαλκηδόνι καὶ Βυζαντίῳ καὶ Μακεδονία καὶ Θρᾴκη καὶ τὰ ἕως τοῦ Ἴστρου φθάνοντα, Θεσσαλία τε καὶ Ἑλλὰς καὶ τὰ μέχρις Ἀχαίας, ἀλλὰ καὶ ἡ Ἀμινσὸς καὶ ἡ Τραπεζοῦς καὶ Ἡράκλεια καὶ Ἄμαστρις. Ταῦτα δὲ οὐχ ὥσπερ ὁ λόγος διέρχεται οὕτω κἀκεῖνος διῆλθεν, ἀλλ' ἐν ἑκάστῃ πολλὰ τὰ ἀντιπίπτοντα ὑποστὰς πολλαῖς τε πραγμάτων δυσχερείαις ὡμιληκώς, εἰ καὶ ῥοπῇ Χριστοῦ καὶ βοηθείᾳ πάντων ἐκράτει. Ἐξ ὧν μιᾶς πόλεως ἐπιμνησθεὶς τὰ λοιπὰ τοῖς εἰδόσιν ἐάσω. Οὗτος τῇ Σινωπέων ἐπιδημήσας καὶ τὸν λόγον καταγγείλας, πολλαῖς θλίψεσι καθυποβάλλεται. Κατὰ γῆς γὰρ αὐτὸν ἐρρίπτουν καὶ χειρῶν καὶ ποδῶν λαβόμενοι εἷλκον καὶ τοῖς ὀδοῦσιν ἐσπάραττον καὶ ξύλοις ἔπαιον καὶ λίθοις ἔβαλλον καὶ μακρὰν τῆς πόλεως ἀπερρίπτουν, ὅτε καὶ τὸν δάκτυλον ὀδοῦσιν ἔκοψαν. Ἀλλ' αὐτὸς παρὰ τοῦ σωτῆρος καὶ διδασκάλου ἄρτιος καὶ ὑγιὴς ἀπὸ τῶν πληγῶν ἐφάνη, ἐκεῖθέν τε ἀναστὰς ἤμειψε πλείστας πόλεις, τήν τε Νεοκαισάρειαν, τὰ Σαμόσατα, Ἀλανούς, Ἀβασγούς, Ζηκχούς, Βοσπορηνούς, Χερσωνήτας· εἶτα διαπλεύσας πρὸς τὸ Βυζάντιον καὶ τὸν Στάχυν ἐπίσκοπον χειροτονήσας καὶ τὰς λοιπὰς χώρας διελθὼν πρὸς τὴν περιφανῆ Πελοπόννησον ἔρχεται· καὶ ξενισθεὶς παρὰ Σωσίῳ χαλεπῶς ἀσθενοῦντι, ἰάσατο αὐτὸν καὶ παραυτίκα πᾶσα ἡ πόλις σχεδὸν ἐκείνη προσῆλθε τῷ Χριστῷ, ὅτε καὶ ἡ τοῦ ἀνθυπάτου γυνὴ Μαξιμίλλα τῶν χαλεπῶν τῆς νόσου λυθεῖσα δεσμῶν καὶ ταχείας τυχοῦσα θεραπείας, ἐπίστευσε· καὶ Στρατοκλῆς ὁ σοφώτατος, ὁ τοῦ ἀνθυπάτου Αἰγεάτου αὐτάδελφος καὶ ἕτεροι πολλοὶ νόσους ἔχοντες ποικίλας καὶ διαφόρους, ὑγιάσθησαν διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν τοῦ ἀποστόλου. Διὰ ταῦτα μανίᾳ περιπεσὼν ὁ Αἰγεάτης καὶ σταυρῷ προσηλώσας τὸν ἀπόστολον, αὐτὸς ἀπό τινος μετεώρου κρημνοῦ ἑαυτὸν εἰς γῆν καταβεβληκὼς συνετρίβη. Τοῦ δὲ ἀποστόλου τὸ λείψανον μετὰ πολὺν χρόνον μετετέθη ἐν Κωνσταντινουπόλει καὶ κατετέθη μετὰ Λουκᾶ καὶ Τιμοθέου ἐν τῷ τῶν ἁγίων Ἀποστόλων περιβλέπτῳ τεμένει.

Crypt. Δ.α. III = Cd, ff. 184^{v}-191^{v}
Vat. gr. 2069 = Vb, ff. 72-73^{v}

Ὁ κανών, ποίημα Ἀνδρέου.

Ἦχος α΄.

ᾠδὴ α΄. *Ὠδὴν ἐπινίκιον ᾄσωμεν πάντες*

Ὁ μέγας ἀπόστολος καὶ ὑποφήτης,
τῶν θείων ὁ πρόκριτος
πανδαισία πρόκειται
πνευματικὴ τοῖς πιστοῖς
καλοῦσα· δεῦτε μυστικῶς
πανηγυρίσατε.

Ὁ μύστης τοῦ πνεύματος καὶ θεηγόρος,
ὁ γνώμων τῆς πίστεως,
ὁ σεπτὸς ἀπόστολος
ἐπὶ τοῖς ἄθλοις αὐτοῦ
τὴν ἐκκλησίαν συγκαλεῖ·
δεῦτε φιλέορτοι.

Αὐτόπτα τῆς πίστεως καὶ θεομύστα
Χριστοῦ, τῆς ζωῆς ἡμῶν,
f. 185 ‖ καὶ πιστὲ συγκάθεδρε
τῶν κορυφαίων αὐτοῦ,
πρεσβείαν ποιοῦ πρὸς αὐτὸν
ὑπὲρ τῆς ποίμνης σου.

f. 185v ᾠδὴ β΄. *Πρόσεχε,*
οὐρανέ, καὶ λαλήσω καὶ ἀνυμνήσω

Ἄσμασι
καὶ ᾠδαῖς ἀσιγήτοις τὰ σὰ μνημόσυνα
οἱ πιστοὶ ἐκτελοῦμεν,
Ἀνδρέα ἀπόστολε.

---

tit. Εἰς τὸν ὄρθρον κανὼν ποίημα Ἀνδρέου Cd Εἰς τὸ μεσονύκτιον ψάλλομεν τὸν παρόντα κανόνα τοῦ ἀποστόλου· ποίημα Ἀνδρέου Vb
heirm. α΄ EE 11, n. 15, Andreae heirm. β΄ EE 16, n. 21, Germani

Ἤλεγξας
τὸν πατέρα τοῦ ψεύδους μεταμορφούμενον
καὶ δαιμόνων τὰ θράση
γενναίως κατήργησας.

Ἔσωσας
πόλιν ἁλισκομένην τῇ αἱμοβόρῳ φθορᾷ
καὶ ἐφώτισας πάντας,
Ἀνδρέα ἀπόστολε.

Τιμῶμέν σου
τὴν σορὸν τῶν λειψάνων καὶ τὰ μνημόσυνα,
τὸν σταυρὸν καὶ τὰ πάθη,
Ἀνδρέα ἀπόστολε.

Ἱκέτευε
ὑπὲρ τῆς ποίμνης σου ταύτης, κῆρυξ ἀπόστολε,
ἵνα ῥυσθῶμεν κινδύνων
καὶ πάσης περιστάσεως.

θεοτ. Ὑμνοῦμέν σε,
θεοτόκε παρθένε, καὶ μακαρίζομεν
τὸν σὸν ἄσπορον τόκον,
ἁγνὴ ἀειπάρθενε.

f. 186 ᾠδὴ γ΄. *Στερέωσόν μου τὸν νοῦν εἰς τὸν φόβον σου,*
κραταίωσόν με, Σωτήρ, τῇ δυνάμει σου

Τοῖς δόγμασί σου τὰ ἔθνη ἐφώτισας,
τοῖς θαύμασί σου τὰς νόσους ἀπήλασας,
Ἀνδρέα, κῆρυξ Χριστοῦ παμμακάριστε.

Τὸ κήρυγμά σου κεράσας, ἀπόστολε,
f. 186v τῷ τῆς σοφίας ‖ κρατῆρι προέθηκας,
ἐξ οὗ ὁ κόσμος πιὼν μετεποιεῖτο.

---

heirm. γ΄ EE 12, n. 16, Andreae 48 πιὼν] πιστῶν Vb

Τὴν Τριάδα ἐκήρυξας
εἰς τὰ ἔθνη, ἀπόστολε,
καὶ τὰς τῶν σοφῶν εὐγλωττίας
ἀσόφους ἀπέδειξας.

Τῇ πρεσβείᾳ δεόμεθα
τοῦ σοφοῦ ἀποστόλου σου
ῥῦσαι ἐκ κινδύνων τὸν κόσμον,
φιλάνθρωπε Κύριε.

Κονδάκιον.

Ἦχος β'. *Τὴν ἐν πρεσβείαις*

Τὸν τῆς ἀνδρείας ἐπώνυμον θεηγόρον
....

f. 189 ⟨Οἱ οἶκοι.⟩ Πρός· *Τράνωσόν μου*

Ἄνωθεν μὲν
....

Ἐκ καταρχῶν
....

Ἴσχυσόν με
....

Νόμον λαῷ
....

f. 189v ‖ Ῥῆμα ὡς ἔφη
....

Φῶς τὸν Χριστὸν
....

Κονδ. et οἶκοι PAS I, 555-557 οἶκ. (δ') Νόμων PAS

Βλέπειν καλὸν
....

ᾠδὴ ζ'. *Ὁ ἐν φλογὶ πυρὸς δροσίσας κάμινον*

Ὁ ἱερὸς ἡμᾶς Ἀνδρέας σήμερον
συγκαλεῖται μεγάλῃ τῇ φωνῇ
μυστικῶς πανηγυρίσαι
τὴν μνήμην αὐτοῦ τὴν ἐτήσιον·
σπουδαίως δεῦτε πάντες.

Σὲ ὁ Δαβὶδ προβλέπων ἔψαλλε
τὴν κινύραν τοῦ πνεύματος κινῶν·
« εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν,
f. 190 Ἀνδρέα, ὁ φθόγγος ‖ τῶν λόγων σου
καὶ τῶν κατορθωμάτων ».

Σὺ ἐν φωτὶ πυρός, Ἀνδρέα πάνσοφε,
καταυγάσας τὰς φρένας τῶν πιστῶν,
τὴν ἀχλὺν τῆς ἀγνωσίας
ἐκ πάντων ὁμοίως ἀπήλασας
τοῦ πρωτογόνου φωτός.

Τὴν τῶν λειψάνων σου σορὸν γεραίρομεν
καὶ τοὺς ἄθλους τῶν σῶν ἀριστειῶν
καὶ τὴν μνήμην σου τελοῦμεν,
Ἀνδρέα, συμφώνως αἰτοῦντές σε
μνήσθητι πάντων ἡμῶν.

f. 190v ᾠδὴ η'. *Ὃν φρίττουσιν ἄγγελοι*

Βυθὸν προηρεύνησας,
ἰχθύων ἁλιεῦ,
Χριστὸν πρῶτος ἔγνωκας

heirm. ζ' EE 13, n. 16, Andreae **113 σωρὸν Vb**
heirm. η' EE 12, n. 15, Andreae

105-106 Ps. 18,5

Τὰ δίκτυά σου ἡμᾶς ἐσαγήνευσαν
ὡς ἐκ θαλάσσης τῆς πλάνης, ἀπόστολε,
καὶ κόσμον ὅλον ἀεὶ ζωογονοῦσιν.

Κάθισμα.

Ἦχος πλ. δ'. *Τὴν σοφίαν τοῦ Λόγου*

Ὡς πρωτόκλητον πάντες
f. 187 ....

Ἕτερον ὅμοιον.

Τῶν εἰδώλων τὰ θράση
....

ᾠδὴ δ'. *Ἀκήκοα, Κύριε, τὴν ἀκοήν σου καὶ ἐφοβήθην*
ὅτι ἐτέχθης, Χριστέ,
ἐκ τῆς παρθένου

Τὰ θήρατρα τοῦ ἀποστόλου ἡμᾶς ζωογονοῦντα
οὐ θανατοῦσι, Χριστέ,
ἀλλ' ἐκ φθορᾶς εἰς ζωὴν
ἐπανάγουσιν ἡμᾶς.

Τὰ θαύματα τοῦ ἀποστόλου τὴν οἰκουμένην
ἐπιστηρίζουσι, Χριστέ,
πρὸς τὴν ἐπίγνωσιν σοῦ
τοῦ ποιήσαντος ἡμᾶς.

Τὰ αἵματα τοῦ ἀποστόλου τὴν ἐκκλησίαν
καθαγνίζουσι σαφῶς
καὶ ὥσπερ νύμφην Χριστοῦ
ὡραΐζουσιν αὐτήν.

καθ. MR II, 331-332
heirm. δ' EE 13, n. 17, Andreae 52 ζογονοῦντα Vb 54 ἀλλὰ Vb
58 σοῦ om. Vb

Τεράστια τοῖς ἐν τῷ κόσμῳ πολλὰ ποιήσας,
ἀξιοθαύμαστε,
τοὺς τερατώδεις σοφοὺς
ὑπερῆρας ἐν Χριστῷ.

f. 187v ᾠδὴ ε'. *Τὸ φαεινὸν ἡμῖν ἐξανάτειλον*

Τὴν ὑπεράρχιον καὶ ἀείζωον
χάριν τοῦ πνεύματος
ὁ θεορρήτωρ τῆς ἐν χάριτι
κρυφιομύστου
δόξης καὶ λαμπρότητος
ταῖς θείαις κηρύττει φωναῖς.

Καταφοιτήσασαν τὴν τοῦ πνεύματος
χάριν δεξάμενος,
τῇ πυρσογλώσσῳ τοῦ κηρύγματος
φωταγωγίᾳ
f. 188 πάντα || ἐδᾳδούχησας
τὰ ἔθνη, ἀπόστολε.

Πνευματοκίνητον κομισάμενος
ἄνωθεν ἔλλαμψιν,
τῶν οὐρανίων τὰ ἀπόκρυφα
τοῖς ἐπιγείοις
πᾶσιν ἀπεκάλυψας,
παμμάκαρ ἀπόστολε.

f. 188v ᾠδὴ ς'. *Τὸν προφήτην διέσωσας*

Τὸν βυθὸν ἐξηρεύνησας,
τὸν Χριστὸν ἐθησαύρισας,
τὸν μὲν τῇ σαγήνῃ τῆς τέχνης,
τὸν δὲ τοῖς ταμιείοις τοῦ νοῦ.

---

heirm. ε' EE 13, n. 16, Andreae
heirm. ς' EE 17, n. 22, Joannis 89 ταμιείοις τοῦ νοῦ] ταμίοις τοῦ νέου Vb

---

74-76 Act. 2,3-4

καὶ Πέτρος μετὰ σέ·
τὸν μὲν τῇ σαγήνῃ,
τὸν δὲ τῇ μυστικῇ
ἐρεύνῃ τοῦ πνεύματος,
οὗ προϋπεδέξω.

Τὰ ἄνω μιμούμενος
τοὺς κάτω δᾳδουχεῖς,
τὴν γῆν διερχόμενος
οἰκεῖς τοὺς οὐρανούς,
ἐν οἷς ἐμβατεύων
μυστικῶς καθορᾷς
τὸ ἄφραστον κάλλος
Χριστοῦ, πνευματοφόρε.

Βυθὸν ἀθεώρητον,
τὴν γνῶσιν τοῦ Χριστοῦ
δεξάμενος ἄνωθεν,
ἐν βάθει τῶν φρενῶν
ὡς ἄβυσσον ἄλλην
ἐν ἀβύσσῳ πολλῇ
τῶν καταρρακτῶν σου
φωναῖς ἐπεκαλέσω.

Ζηλῶν τὸν διδάσκαλον
ἐπάγης ἐν σταυρῷ
πληρῶν τὸ ἐπάγγελμα
τοῦ θείου βαπτισμοῦ
καὶ τοῦ ποτηρίου,
οὗ προεῖπεν ὑμῖν
καὶ τοῖς Ζεβεδαίου
ποτὲ συγκρινομένοις.

---

145 βαπτιστοῦ Vb

138-141 Ps. 41,8 145-149 Marc. 10, 35-39

f. 191 ᾠδὴ θ'. *Τῆς ὑπερφυοῦς λοχείας σου ὁ τόκος,*

Εὐαγγελικὴν ἐστάλης διακονίαν,
ἱερομύστα, ἐκτελέσαι
εἰς πάντα τὰ ἔθνη,
κατεφώτισας δὲ ταῦτα οὐρανίῳ φωτὶ
προκαθάρας τῷ βαπτίσματι.

f. 191v || Ἁλιευτικὴν κατέλιπες ἐργασίαν,
Ἀνδρέα, μύστα τῶν ἀρρήτων
καὶ ἔμαθες τέχνην
τοῦ ἐπαίρειν ἀπὸ γῆς ἀνθρώπους εἰς οὐρανοὺς
καὶ ἀνάγειν τοῦ τῆς πλάνης βυθοῦ.

Ἀποστολικὴν ἐπλήρωσας πορείαν
διαδραμὼν τὰ ἔθνη πάντα,
λαβὼν ἐξουσίαν
τοῦ πατεῖν καὶ συμπατεῖν ἐπάνω ὄφεων
καὶ σκορπίων καὶ παντὸς πονηροῦ.

Οὐρανοδρόμως ταῖς θείαις ὑψηγορίαις
τῆς ἀνωτάτω θεωρίας
τὸ ὕψος κατέλαβες
καὶ ἐδίδαξας ὑμνεῖν τὸν ἐν τριάδι Θεόν,
μυστιπόλε ὑπερένδοξε.

Τὰς διὰ Χριστὸν ὑμνοῦμέν σου ἀλγηδόνας
καὶ τοὺς ἀγῶνας εὐφημοῦμεν,
τὴν μνήμην γεραίρομεν
καὶ τὴν λάρνακα τιμῶμεν τῶν λειψάνων σου,
μυστιπόλε ὑπερένδοξε.

---

heirm. θ' EE 13, n. 16, Andreae; heirmum integrum praebent cdd.

---

152 Marc. 13,10 155-159 Matth. 4,18-20; Marc. 1,16-18 160-161 Matth. 28,19 162-164 Luc. 10,19

30 NOV. *CANON XLV*

IN SANCTUM ANDREAM APOSTOLUM

Mess. gr. 135 = N, ff. 299ᵛ(303ᵛ)-304(308)

Ὁ κανὼν ἰαμβικός, οὗ ἡ ἀκροστιχὶς διὰ στιχελεγείων τοιάδε·

Πρωτοθρόνων πρόκλητον ἐν εὐκλεέσιν μελέεσσιν
κλείων λίσσομ' ἐμαῖς σὴν χάριν οὐρανόθεν,
Υἱὲ Θεοῖο, δοθῆναι ἐνὶ φρεσί, ὄφρα γεραίρων,
ὡς ἐπέοικε, λόγοις λύσιν ἔχοιμι πόνων.

Ἦχος β'.

ᾠδὴ α'. *Στείβει θαλάσσης κυματούμενον σάλῳ*

300 (304) ‖ Πρόκλητε πάντων τῶν σοφῶν ἀποστόλων,
Ῥῶσιν παθῶν μοι ψυχικῶν συντριμμάτων
Ὦ καὶ προπέμποις εὐκτίαις σου, Ἀνδρέα,
Τῷ ἀχλυώδει καὶ κατερρυπωμένῳ
Ὅπως μελουργὸν ὕμνον οἴσω σοι, μάκαρ.

Θέλων βροτείαν ἐκκαθᾶραι οὐσίαν
Ῥείθροις ἐπέστη τοῦ Ἰορδάνου Λόγος,
Ὃν ὡς κατεῖδεν Ἠλίας φωνεῖ· « ἴδε
Νέμων βροτοῖσι λύσιν ἀμνὸς σφαλμάτων
Ὤφθη σθενουργός, ᾧ προέδραμε τάχος ».

tit. Ὁ κανὼν . . . τοιάνδε
acr. 2 κλείων λίσσομ' ἐμαῖς σὴν: λείων νίμεμαῖς σὶν 3 θεοῖς δωθῆναι 4 ἔχοιμοι
heirm. α' EE 37, n. 50, Joannis; omnes heirmos integros praebet cd. 3 Ὦ καὶ: fort. scribendum Ὦκα 8 Ὃν: ὧν 10 στενουργὸς cd.

6-7 Matth. 3,13 8-10 Joh. 1,29

Νοῦ τοῦ ἀνάρχου τὸν προάναρχον Λόγον
Πρῶτος κατεῖδες, πρωτόθρονος Ἀνδρέα,
Ῥήτωρ δ' ἐφάνθης ζωοδώρων ῥημάτων
Ὁ πνεῦμα θεῖον πρῶτος εἰσδεδεγμένος
Κλέος τριλαμπὲς ἐκβοῶν πᾶσιν ⟨◡ ⏑⟩.

ᾠδὴ γ'. *Ὅσοι παλαιῶν ἐκλελύμεθα βρόχων*

Λύσιν λυπηρῶν, ψυχικὴν εὐεξίαν
Ἡμῖν λιταῖς σου ὑψόθεν, μάκαρ, νέμοις
Τοῖς ἐκτελοῦσι τὴν ἑορτήν σου πόθῳ,
f. 300ᵛ (304ᵛ) Ὄρθρον ‖ φέρουσαν γνώσεως σωτηρίου
Νόας δὲ πιστῶς ἐκτελοῦσαν φωσφόρους.

Εἴασας εὑρὼν κοσμικὴν τρικυμίαν
Νόμῳ Μεσίαν τὸν γραφέντα καὶ Πέτρῳ
« Ἕστηκεν — εἶπας —, ὃν προφῆται θευλόγοι
Ὕμνοις ἔμελπον ἐν σκιώδεσιν τύποις,
Κόσμου λύτρωσις ἐκσκεδαννύων πλάνην ».

θεοτ. Λύτρωσιν ἡμῖν τοῦ Θεοῦ Θεὸν Λόγον
Εἴδει βροτείαν ὄντα ἁπλοῦν τῇ φύσει
Ἔτεξας ὄντως ἄφθορος τηρουμένη·
Σαῖς οὖν, πάναγνε, μητρικαῖς σου εὐκτίαις
Ἵλεον αὐτὸν οἰκέταις πιστοῖς ἵστη.

Κάθισμα.

Ἦχος πλ. δ'. *Τὴν σοφίαν τοῦ Λόγου*

Ὡς πρωτόκλητον πάντες

....

11-15 trop. ut θεοτ. in marg. codicis indicatur 13 ζωοδόρων 15 κλέως versus duabus syllabis caret
heirm. γ' EE 37, n. 50, Joannis 17 ὑψώθεν 27 εἴδη 29 σαῖς: σοῖς 30 ἵλαιον ἵστη: ἵσθει Κάθ. MR II, 331-332

21-25 passim Joh. 1,35-46 Matth. 4,15-22; Marc. 1,16-20

305) ᾠδὴ δ'. *Πυρσῷ καθαρθεὶς μυστικῆς θεωρίας*

« Νῦν ἧκεν ἰδοὺ τοῖς βροτοῖς σωτηρία,
Μένος Θεοῖο, πατρογέννητον τέκος·
Ἔλαμψεν ὅνπερ οἱ προφῆται ἐν νόμῳ
Λύσιν προεκραύγαζον ἀνθρώπων γένους· »
Ἔκραζες, εὐθὺς ἠκολούθει σοι Πέτρος.

Ἐχθροῦ πονηρᾷ συσχεθεῖσιν ἐν πλάνῃ
Σαφῶς κατῆλθε τοῖς βροτοῖς ὁ δεσπότης
Σέλας προπέμπων τοῖς σκότει καθημένοις
Ἱλασμόν, ἐκλύτρωσιν ἀμπλακημάτων
Νέμων, ὃν ἰδὼν εὐτόνως ἐμαρτύρεις.

Κακῶν λυπηρὰν σαῖς λιταῖς, ὦ Ἀνδρέα,
Λαοῦ βοῶντος πρὸς σὲ ἔξωσον βλάβην
Ἔχθιστον οὖσαν Ἰσμαὴλ τοῦ παγκάκου,
Ἵν' ἀκλόνητοι ὄντες, ἐστηριγμένοι,
Ὦ φωτολαμπές, προσκυνῶμεν Τριάδα.

οτ. Ναὸς καθαρὸς ἀρχιφώτου Τριάδος
Λόγον τεκοῦσα τοῦ Θεοῦ, θεητόκε,
Ἶσον φανέντα τοῖς βροτοῖς ἐπ' ἐσχάτων
Σωτῆρα ἐκπέφανσαι· ἀλλά μοι δίδου
5ᵛ) Σέλας κατιδεῖν ‖ σὸν καταυγάζον, κόρη.

ᾠδὴ ε'. *Ἐχθροῦ ζοφώδους καὶ βεβορβορωμένου*

Ὄρεξον αὖθις σὴν βοήθειαν, μάκαρ,
Μέλπουσιν ὕμνον εὐχάριστον δεσπότῃ·
Ἐκκλησίας ὕψωσον ἄθραυστον κέρας·
Μοχθηρὰν ἐξέλασον ἐκ ποίμνης ζάλην
Αἴγλην διαυγῆ ὑψόθεν πᾶσιν νέμων.

heirm. δ' EE 37, n. 50, Joannis 32 θεοῖς 34 γένος 35 ἠκολούθη συν 36 πονηρὰ 45 ὦ φ. προσκυνοῦμεν 49 ἐκπέφανσε 50 σὺν καταυγάζων
heirm. ε' EE 37, n. 50, Joannis 52 δεσπότην 55 ὑψώθεν

38 Is. 9,2 53 I Regn. 2,10

Ἴδες τὸν ὄντα Πατρὸς ἐν κόλποις Λόγον
Σάρκα βροτείαν πρῶτος ἠμφιεσμένον
Σὺν νεύσεσι, πρόκλητε, ταῖς τοῦ Προδρόμου·
Ἦλθεν γὰρ ἐκ γυναικὸς ὁ πλαστουργέτης
Νέος παλαιὸν Ἀδὰμ ἀνακαινίσων.

Χαίροντες ὄντως ἐκ πλάνης σεσωσμένοι
Ἄκτιστον ὕμνοις δοξάσωμεν Τριάδα
Ῥώμην νέμουσαν πᾶσι τοῖς ὀρθοφρόνως
Ἴχνεσιν ἀπλανέσι τῶν θεηγόρων
f. 302 (306) ‖ Νεύουσιν ἐκτὸς καὶ σοφῶν ἀποστόλων.

ᾠδὴ ϛ'. *Ἱμερτὸν ἐξέφηνε σὺν πανολβίῳ*

Ὃν Χριστὸς ἐξώνησεν ἐξ ἀρᾶς νόμου
Ὕψει ἀπείρων πλουτίσας δυνάμεων
Ῥώμην βιαίαν ἐκπατεῖν βροτοκτόνου
Ἅπαντες ὑμνήσωμεν ᾄδοντες μέλος
Νῦν οἱ δι' αὐτοῦ ἐκ πλάνης σεσωσμένοι.

Ὀπαδὸς ὢν ἄριστος ἐκλελεγμένος
Θεῶν προσῆλθες φωτὶ τῷ τῆς γνώσεως,
Ἔνδοξε, χαίρων, Ἀνδρέα, τῷ δεσπότῃ
Νέαν χάριν φέροντι τὴν φαεσφόρον
Ὕψος θεουργὲς πυρπνόως δωρουμένην.

θεοτ. Ἰσουργὸν ὡς τέξασαν ἀφράστως Λόγον,
Εἴδει βροτεία τῷ φύσαντι, ἄφθορε,
Θείοις σε, μῆτερ, νῦν γεραίρομεν λόγοις
Ἐν εὐλάλοις μέλποντες ὕμνοις ἐνθέοις
Ὅσοι λατρευταὶ τρισσοφεγγοῦς οὐσίας.

60 παλαιῶν 61 σεσωσμένον 63 νέμουσιν
heirm. ϛ' EE 37, n. 50, Joannis 66 ἀρὰς 77 τῶ φείσαντι 78 γεραίρωμεν

56-58 Joh. 1,35-37 60 I Cor. 15,45

06v) ᾠδὴ ζ′. *Ἔφλεξε ῥείθρῳ τῶν δρακόντων τὰς κάρας*

Ἶσον φανέντα τοῖς βροτοῖς Θεὸν Λόγον
Ὁ φθόγγος ὄντως ἐκδιδάσκων εἰς χθόνα
Διεξέθρεψε τοῦ σοφοῦ ἀποστόλου
Ὅλην ἄσημον τερθρείαν ὑπεκτρέπων
Θρόον μάταιον ἐξορίζων φληνάφων.

Ἦλθεν δι' οἶκτον, σάρκα ἠμφιεσμένος
Νίκην βραβεύων τοῖς βροτοῖς Θεὸς Λόγος
⟨Α — ⏑ — ⏒ — ⏑ — ⏒ — ⏑ ⏓⟩,
Ἵνα τρέχοντες πρὸς τρίβους ζωηφόρους
Ἔργον φέριστον ἐκτελῆτε προφρόνως.

Νεῦσον πρὸς ὕμνους ἱκετῶν σου, Ἀνδρέα,
Ἰχνηλατούντων πρὸς διδαχαῖς σου, μάκαρ,
Φέρων ἄνωθεν σαῖς λιταῖς θεῖον σθένος
Ῥώμην δράκοντος ἐκτέμνον βροτοκτόνου
Ἔθνους Ἄγαρ τε δυσμενοῦς θραῦον βέλη.

Σάωζε πάντας, ὦ Τριάς, τοὺς εἰδότας
Ἰσοσθενῆ σε καὶ ἄτμητον τῇ φύσει·
07) ‖ Ὄλλυ ἅπασαν αἵρεσιν κακοφρόνων·
Φρένας κάθαρον ὀρθοδόξων τοῦ λέγειν·
« Ῥώμη, πρόβλημα Πατρός, εὐλογητὸς εἶ».

ᾠδὴ η′. *Ἐλευθέρα μὲν ἡ φύσις γνωρίζεται*

Ἁμαρτίας με ἄρκυσι κρατούμενον
Γενοῦ ἀρωγὸς ἐξελὼν τυραννίδος
Ἐνδόξῳ αἴγλῃ ὑψόθεν μοι προσνέμων
Ῥεῖθρα δροσώδη πταισμάτων τὸν βόρβορον
Ἀποπλύνοντα σαῖς λιταῖς, ὦ Ἀνδρέα.

heirm. ζ′ EE 37, n. 50, Joannis 82 ἐκδιδάσκον 84 τερκτίαν 88 versus desideratur 90 ἐκτελεῖτε 93 φέρον 95 ἔθνος
heirm. η′ EE 37, n. 50, Joannis 101 ἀρκήσει 103 ἐνδόξη 103 ὑψωθὲν

Ἱλασμὸν ἡμῖν εὐκτίαις σου, πάγκλυτε,
Ῥητὴρ Θεοῖο, δὸς δοθῆναι τοῖς πόθῳ
Ὠδὴν τελοῦσι τῇ ἑορτῇ σου, μάκαρ,
Νῦν, μυστολέκτα, ἀεὶ καὶ πρωτόθρονε,
Ὧν μνημόνευε ἐκλυτρώσασθαι βλάβης.

Σὺν ἀγγέλων νῦν ἀγλαΐζει τάξεσιν
Ἐπάξιον σύ, Ἀνδρέα, κληρουχίαν
Πρὸς τοῦ κρατοῦντος δεσπότου δεδεγμένος·
Εὗρες γὰρ ὄντως τῶν ἄθλων ἀντίρροπον
f. 303v (307v) ‖ Ὄλβον μέγιστον εὐκλεῶς τὴν Τριάδα.

θεοτ. Ἰωμένη με ἐξ ὀδύνης πρόφθασον
Κακῇ πονηροῦ προσβολῇ βεβλημένον,
Ἔνδοξε μῆτερ τοῦ Θεοῦ καὶ παρθένε·
Λόγον γὰρ ἔσχες γαστρί σου σαρκούμενον,
Ὅνπερ νέμοις μοι ἵλεον σαῖς εὐκτίαις.

ᾠδὴ θ′. *Ὢ τῶν ὑπὲρ νοῦν τοῦ τόκου σου θαυμάτων*

Γέρα ἀμοιβὴν τῶν πόνων δεδεγμένος,
Ὅλην βλέπεις νῦν νητρεκῶς τὴν Τριάδα
Ἰοῦσαν ὄντως εὐφυῶς, μυστιπόλε,
Σαφῶς προσώποις τρισσὶ τὴν μίαν φύσιν
Λάλοις μέλεσσι συγχορεύων ἀγγέλοις.

Ὕμνους μελουργούς, λαὸς ἠγαπημένος,
Στῶμεν πλέκοντες ἐνθεαστικωτάτως·
Ἰδοὺ γὰρ ἧκε τοῦ σοφοῦ ἀποστόλου
Νῦν προξενοῦσα πᾶσιν ἡ μνήμη χάριν
f. 304 (308) Εὖχος φέριστον ‖ ἐκφυῶς δωρουμένη.

Χαίροις παρ' ἡμῶν, Ἀνδρέα θυηπόλε,
Ὁ πρωτόκλητος τῶν σοφῶν ἀποστόλων·

106 πάνκλητε 107 θεοῖς 110 ἐκλυτρούμεθα 112 σοὶ 116 ὠδύνης 117 κακὴ π. προσβολὴ 120 ἵλαιον
heirm. θ′ EE 37, n. 50, Joannis 123 μυστοπόλε 126 λαοὺς 129 προξενοῦσαν 130 εὖχος : ἔσχος δωρουμένην

Ἰσχὺν σκεδάζοις Ἰσμαὴλ τῶν ἐγγόνων
Μολπὴν δὲ προσοίσαντι τὴν χάριν νέμοις,
Ἵνα ψάλῃ σοι ῥυθμικώτατον κλέος.

θεοτ. Πλέξαντι ᾠδὴν ἐξ ἀμυδρῶν χειλέων
Ὄρθρον λόγου μοι αὐγάσασα, παρθένε,
Νοῦν ἐκκαθαίροις ἀχλύος τῶν πταισμάτων,
Ὡς φῶς, ἁγνή, τεκοῦσα τὸν Θεὸν Λόγον
Νέμοις χάριν τε προσκυνῆσαι σὸν κλέος.

---

133 σχεδάζεις 134 μόλπην δὲ προσήσαντι 135 ψάλλει

30 NOV. *CANON* XLVI

IN SANCTUM ANDREAM APOSTOLUM

Mess. gr. 138 = Mb, ff. 98v-100v

Ὁ κανὼν ⟨φέρων ἀκροστιχίδα τήνδε·
Τῷ πρωτοκλήτῳ δεύτερον πλέκω μέλος· Ἰωσήφ⟩.

Ἦχος β'.

ᾠδὴ α'. *Ἐν βυθῷ κατέστρωσε ποτὲ*

Τῷ φωτὶ τῷ θείῳ παρεστὼς
ὅλον με καταύγασον
ἁμαρτιῶν ὁμίχλῃ συνεχόμενον
καὶ τῆς ῥαθυμίας μου
τὸν βαρύτατον σκοτασμὸν ἀποδίωξον
Χριστὸν ἱκετεύων,
ἔνδοξε ἀπόστολε, τὸν εὔσπλαγχνον.

Ὡραιώθης θείαις καλλοναῖς
τοῦ ἐπιδημήσαντος
διὰ σαρκὸς εἰς πάντων ἀπολύτρωσιν,
Χριστοῦ τοῦ Θεοῦ ἡμῶν,
ὃν ἱκέτευε ἀμυθήτοις με πταίσμασιν,
ἔνδοξε Ἀνδρέα,
κατηχρειωμένον ἀνακτήσασθαι.

Πτερωθεὶς τῷ πόθῳ τοῦ Χριστοῦ,
τούτῳ ἠκολούθησας
πρῶτος βοῶν, Ἀνδρέα, τῷ συναίμονι·

---

tit. Ἕτερος κανὼν εἰς τὸν ἀπόστολον Ἀνδρέαν cd. acrostichis deducitur e tropariorum litteris initialibus, sed rubrica silet
heirm. α' EE 34, n. 46, Joannis 5 βαρύτατον: fort. βαθύτατον 16 τοῦτο

«ὃν Μωσῆς ἐκήρυξε
παραγέγονεν, ἰδοὺ τοῦτον εὑρήκαμεν»,
ὃν νῦν ἐκδυσώπει
ἄφεσιν ἡμᾶς εὑρεῖν καὶ ἔλεος.

θεοτ.

Ῥυπωθέντα πάθεσι πολλοῖς
ὅλον με καθάρισον
ἡ τὴν πηγὴν τῆς ἀπαθείας τέξασα,
Χριστὸν τὸν Θεὸν ἡμῶν,
καὶ κρατούμενον ἀθυμίᾳ διέγειρον
πράττειν, θεοτόκε,
τὰ πρὸς σωτηρίαν ὁδηγοῦντά με.

ᾠδὴ γ΄. *Ἐξήνθησεν ἡ ἔρημος ὡσεὶ κρίνον*

Ὡραίως βηματίζοντες οἱ σοὶ πόδες,
ἔνδοξε,
τὴν τρίβον τὴν σωτήριον,
τοῖς ἀνθρώποις πᾶσιν ἐπέδειξαν
τὰς εἰσόδους τῆς θείας ἐπιγνώσεως.

Τοὺς νόμους συντηρεῖν ἡμᾶς τοῦ δεσπότου
πρέσβευε
ἀπαρατρώτους πράττοντας
τὰ πρὸς θείαν ζωὴν συντείνοντα,
θεοκῆρυξ Ἀνδρέα ἀξιάγαστε.

Ὁ κλῆρός τε καὶ ποίμνιον καὶ λαός σου
μέτριος
ἀξιωθέντες, ἅγιε,
χρηματίσαι ἀναβοῶμέν σοι·
«ἐκ παντοίων κινδύνων ἡμᾶς φύλαττε».

---

24 τέξεσα
heirm. γ΄ EE 34, n. 46, Joannis 32 ἐπέδειξεν

18-19 et passim Joh. 1,42 29 Rom. 10,15

f. 99 θεοτ.

‖ Κατάκαρπος ὡς ἄμπελος, παναγία
δέσποινα,
τὸν θεῖον βότρυν ἤνθησας
ἀφθαρσίας γλεῦκος σωτήριον
ἀποστάζοντα πᾶσι τοῖς τιμῶσί σε.

ᾠδὴ δ΄. *Ἐλήλυθας*
ἐκ παρθένου οὐ πρέσβυς οὐκ ἄγγελος

Λιμένα σε
σωτηρίας εὑρόντες, ἀπόστολε,
εὐχαῖς σου ῥυσθείημεν
ζάλης παθῶν τε καὶ θλίψεων
καὶ ἐπαναστάσεως
τῶν ἀνημέρων βαρβάρων,
ἀξιάγαστε.

Ἡ χάρις σου
σκεπασάτω ἡμᾶς τοὺς ὑμνοῦντάς σε
θερμὸν ἀντιλήπτορα
καὶ πρεσβευτὴν ἀκαταίσχυντον
πρὸς τὸν ὑπεράγαθον
καὶ συνοχέα τῶν ὅλων,
παναοίδιμε.

Τὴν ἄβυσσον
τῆς σοφίας πλουτήσας διδάσκαλον,
κακῶν μου τὴν ἄβυσσον
ταῖς προστασίαις σου ξήρανον
ὄμβροις κατανύξεως
περιαντλῶν τὴν ψυχήν μου,
παμμακάριστε.

⟨Ω ⏑́ — —
— — ⏑́ — — ⏑́ — — ⏑́ — —
— ⏑́ — — ⏑́ — —

---

heirm. δ΄ EE 34, n. 46, Joannis 70-76 troparium desideratur

— — — ́— — ́— —
— — — — ́— —
— — — ́— — ́—
— — ́— — —⟩.

στ. Διάσωσον,
σωτηρία τοῦ κόσμου, τοὺς δούλους σου,
βεβαίαν ἐλπίδα σε
καὶ προστασίαν πλουτήσας σε
πρὸς τὸν ἀνατείλαντα
ὑπερβολῇ εὐσπλαγχνίας
ἐκ σοῦ, πάναγνε.

ᾠδὴ ε'. *Μεσίτης Θεοῦ*

Ἐθέλχθης Χριστοῦ
καλλοναῖς, ἀπόστολε μακάριε,
καὶ τούτου τῷ ἔρωτι
ὅλην τὴν καρδίαν σου συνέδησας,
ὃν ἱκέτευε λῦσαι
τὰ πάθη τῆς καρδίας μου.

Ὑψώθη κακαῖς
ἀπονοίαις, μάκαρ, ἡ καρδία μου·
ἐντεῦθεν ἑκάστοτε
πάσαις περιπίπτω παραβάσεσι·
ταπεινώσας με σῶσον
ἁγίαις σου δεήσεσιν.

Τῷ πλήθει τῶν σῶν
εὐπροσδέκτων, ἅγιε, δεήσεων
τὰ πλήθη ἐξάλειψον
τῶν ἡμῶν ἀμέτρων παραπτώσεων
δυσωπῶν τὸν σωτῆρα
τὸν ἐν ἐλέει πλούσιον.

---

heirm. ε' EE 39, n. 53, Cosmae 80 πλουτίσας σε cd.: fort. scribendum πλουτήσαντας 98 πλήθει

θεοτ. Ἐτέχθη ἐκ σοῦ
τοῦ Θεοῦ ὁ Λόγος καὶ Θεὸς ἡμῶν,
ὃν δυσώπει, πάναγνε,
ἐξ ἀλόγων πράξεων λυτρώσασθαι
τοὺς ἐνθέοις σε λόγοις
ἀπαύστως μακαρίζοντας.

f. 99v || ᾠδὴ ς'. *Ἐν ἀβύσσῳ πταισμάτων κυκλούμενος*

Ῥυπωθέντας πολλοῖς ἁμαρτήμασι
κάθαρον πρεσβείαις σου,
μάκαρ ἀπόστολε,
ἐκδυσωπῶν ἑκάστοτε
τὴν πηγὴν τοῦ ἐλέους, Χριστὸν τὸν Θεόν.

Οὐρανὸς ὑψηλὸς ἐχρημάτισας
δόξαν διηγούμενος
τοῦ παντοκράτορος·
διὸ τοὺς σὲ δοξάζοντας
δόξης θείας μετόχους ἀνάδειξον.

Νοερῶς εἰκονίζω σε, ἅγιε,
καὶ προκυλινδοῦμαί σου
τοῖς θείοις ἴχνεσιν·
ἐν τῇ μελλούσῃ δίκῃ με
καταδίκης δεινῆς ἐλευθέρωσον.

θεοτ. Πολυώνυμε κόρη, πανάμωμε,
πάθη πολυώδυνα
ἴασαι, δέομαι,
τῆς ταπεινῆς καρδίας μου
καὶ ὀρθῶς με βαδίζειν εὐόδωσον.

---

heirm. ς' EE 34, n. 46, Joannis 118 εἰκονίζων

113-114 Ps. 18,2

ᾠδὴ ζ΄. *Ἀντίθεον πρόσταγμα*

Λαόν σου καὶ ποίμνιον
ἠπορημένον
καὶ πάθεσι πάντοτε
καὶ πειρασμοῖς κλονούμενον,
Ἀνδρέα ἀπόστολε,
τῇ μεσιτείᾳ σου
σκέπε, περιφύλαττε Χριστὸν
καθικετεύων τὸν πανοικτίρμονα.

Ἐξῆλθεν ὁ φθόγγος σου
εἰς πάντα κόσμον
φωτὶ τοῦ κηρύγματος,
Ἀνδρέα πανσεβάσμιε,
ἐν ᾧ ἡμᾶς στήριξον
τὰ θεῖα πράττοντας
λύων τῶν ψυχῶν ἡμῶν ἀεὶ
τῆς ἀγνωσίας σκότος βαρύτατον.

Καθεῖλες, ἀπόστολε,
τῆς ἀπωλείας
τεμένη καὶ ἤγειρας
ναοὺς Θεοῦ εἰς ἄνεσιν·
διό σου δεόμεθα
οἴκους τοῦ πνεύματος
πάντας ἡμᾶς ποίησον παθῶν
κεκαθαρμένους τῇ μεσιτείᾳ σου.

Ὡράθης δεσπόζουσα
τῶν ποιημάτων·
τῶν πάντων γὰρ ἔτεκες

---

heirm. ζ΄ EE 34, n. 46, Joannis   146 τεμένει

144-146: PG 2,1232: ... Ὁ Αἰγεάτης εἶπεν· ... οὐδὲ γὰρ μία πόλις ἀπέμεινεν ἐν τῇ Ἀχαΐᾳ ἐν ᾗ τὰ ἱερὰ αὐτῶν οὐκ ἐγκατελείφθησαν καὶ ἠρήμωνται.

136-137 Ps. 18,5

δεσπότην, ἀπειρόγαμε·
αὐτὸν οὖν ἱκέτευε
τῆς δεσποτείας ἡμᾶς
ῥύσασθαι, δεόμεθα, παθῶν
τῶν ἀνενδότων ἐπεμβαινόντων ἡμῖν.

ᾠδὴ η΄. *Κάμινος ποτὲ*

Μύρον αἰσθητῶς
ὁ τάφος σου πηγάζει
εὐωδιάζον τὰς ψυχὰς ἡμῶν·
Χριστοῦ εὐωδία γὰρ
f. 100 ἀπεδείχθης, παμ‖μακάριστε·
διό σε ἱκετεύομεν
λύτρωσαι δυσωδίας
ἁμαρτιῶν ἡμᾶς, ἔνδοξε.

Ἔχων πρὸς Θεὸν
μεγίστην παρρησίαν
ἐπισκόπησον ἡμᾶς, ἅγιε·
τοὺς πάντας ἐπίσκεψαι
καὶ τὰς νόσους ἡμῶν ἴασαι
καὶ πάντας παραμύθησαι
θλίψεσιν ἀνενδότοις
πιεζομένους ἑκάστοτε.

Λύειν καὶ δεσμεῖν
λαβὼν τὴν ἐξουσίαν
παρὰ Κυρίου παντοκράτορος,
ἅγιε ἀπόστολε,
τῶν κακῶν ἡμᾶς διάλυσον
δεσμὸν τὸν πονηρότατον,
ὅπως σε ὡς προστάτην
μέγιστον πίστει δοξάζωμεν.

---

heirm. η΄ EE 34, n. 46, Joannis   162 εὐωδιάζων   166 λύτρωσε
173 παραμύθησε

176-177 Matth. 18,18

⟨Ο — — — —́
— —́ — — — —́ —
— — — —́ — — — —́ — —
— —́ — — —́ — —
— — —́ — — — —́ — —
— —́ — — — —́ — —
—́ — — — — —́ —
(—́) — — —́ — — —́ — —⟩.

Σύντρομος εἰμὶ
καὶ δέδοικα καὶ φρίττω,
πῶς τῷ Κυρίῳ παραστήσομαι
καλῶν πάντων ἔρημος·
προστασία ἀκαταίσχυντε,
Χριστιανῶν ἀντίληψις,
ῥῦσαί με τῆς αἰσχύνης
καὶ τῆς ἐκεῖσε κολάσεως.

ᾠδὴ θ'. *Ἀνάρχου γεννήτορος*

Ἰσχὺν ἀπροσμάχητον,
Ἀνδρέα, ἐπαγόμενος
τὸ σωτήριον ὅπλον
τοῦ παντοκράτορος
ὤλεσας ἐχθρῶν μυριάδας,
ὧν καὶ ἡμᾶς
τῆς κακίας ῥῦσαι
ἀτρώτους, ἀπήμονας
συντηρῶν ἡμᾶς ἑκάστοτε.

Ὡς ὄρνις εὐκέλαδος,
ὡς ἀετὸς ὀξύπτερος

184-191 troparium desideratur heirm. θ' EE 35, n. 46, Joannis   210 ὀξύπτερος : ὀξύπερος

209-212 AB 13 (1894), 315... ὃς (scil. Ἀνδρέας) ἐν δυνάμει καὶ γνώσει τοῦ πανσθενοῦς πνεύματος χώραν ἐκ χώρας καὶ πόλιν ἐκ πόλεως διαμείβων εἰς ἐπίδοσιν καὶ πλατυσμὸν τῆς ἐν Χριστῷ πίστεως καθάπερ τις ὑπόπτερος ἀετὸς δαυιτικῶς ἀνακαινισθεὶς ... τὸ πλεῖστον μέρος τῆς οἰκουμένης διέδραμε ...

τὸν τῆς γῆς πάντα γῦρον,
μάκαρ, ἐπέδραμες
παύων τὸν αὐχμὸν τῆς κακίας
τῷ δροσισμῷ
τῶν θείων σου λόγων·
διό σου δεόμεθα
τὰς ψυχὰς ἡμῶν ἐλέησον.

Στρατὸν πολυάριθμον
Ἀγαρηνῶν κατάβαλε
τὸν Χριστὸν ἱκετεύων,
Ἀνδρέα πάνσοφε,
καὶ σὺν μυριάσιν ἀγγέλων
ὑπὲρ ἡμῶν
πρέσβευε ἀπαύστως
εὑρεῖν ἡμᾶς ἔλεος
ἐν ἡμέρᾳ τῆς ἐτάσεως.

Ἡ μένουσα κόλασις
τοὺς κατ' ἐμὲ βιώσαντας
ἐκφοβεῖ με καὶ τρέμω
ὅλος καὶ δέδοικα
πράξεις πονηρὰς κεκτημένος·
ὅθεν βοῶ,
Θεὲ τοῦ ἐλέους,
οἰκτείρησον, σῶσόν με
προσευχαῖς τοῦ ἀποστόλου σου.

f. 100v θεοτ. ‖ Φοβεῖται πᾶς ἄνθρωπος
εἰς αἴσθησιν ἐρχόμενος
τοῦ φρικτοῦ μυστηρίου,
κόρη πανάμωμε,
μόνος δὲ ἐγὼ ἐν πωρώσει
ἔχων ψυχὴν
ζῶ ἐν ἀμελείᾳ·
βοήθησον, δέσποινα,
προσφυγόντι τῷ ἐλέει σου.

213 ἀχμὸν   229 ἐκφοβεῖμαι   230 ὅλως   240 ἐν πωρώσει: ἐμπορώσει

COMMENTARIO

SS. ANARGIRI COSMA E DAMIANO

La commemorazione al I° novembre dei santi Anargiri Cosma e Damiano assume nella Chiesa Greca una particolare solennità. I due fratelli taumaturghi si trovano anche in altre date (1), connesse a tradizioni locali (2).

Nella nostra raccolta si offrono quattro nuovi canoni tramandatici nella tradizione italo-greca o in tradizioni che ad essa si collegano.

I

Di essi il primo si articola in tre tradizioni che si differenziano fra loro non tanto nel contenuto quanto nella loro rispettiva struttura e nel numero e disposizione dei tropari. Tuttavia, nella loro differenziazione essi convergono nell'alveo di un unico corpo innografico che viene rappresentato dalla tradizione del Parig. gr. 259 = *Pa*, depositario di una doviziosa serie di composizioni. Basti considerare che per il mese di novembre esso ci conserva ben oltre cento canoni inediti (3).

Il Mess. gr. 135 = *N* del canone ci offre le odi α′ e ϑ′ costituite di cinque tropari, compresi i theotokia, e le altre di quattro. Invece il Parig. gr. 259 = *Pa* è più ricco nel corpo innografico in quanto ci dà

---

(1) 25 novembre, 3 e 9 dicembre e 4 marzo. Cfr. *B.H.G.*³ 372. — EUSTRATIADIS, *'Εορτολόγιον*, 72.

(2) Forse non è inutile precisare che la coppia dei santi celebrati appartiene al culto della tradizione asiatica (1 novembre), come dimostra lo specifico accenno del v. 85: 'Ανατολῆς ὁρμώμενοι . . . , passo che esplicitamente esclude quella dell'Arabia (17 ottobre) e quella di Roma (1 luglio): *B.H.G.*³ 372-392. — EUSTRATIADIS, *'Εορτολόγιον*, 71-72. — ID. *'Αγιολόγιον*, 257-258. Della complessa questione dei culti delle coppie dei santi Anargiri cfr. S. WANGNERECKIUS-R. DEHNIUS, *Syntagmatis historici seu veterum Graeciae monumentorum de tribus sanctorum anargyrorum Cosmae et Damiani nomine paribus partes duae*, Vindobonae 1660. — L. DEUBNER, *Kosmas und Damian*, Leipzig 1907.

(3) Di essi speriamo di occuparci a tempo debito.

sette tropari per ogni ode e otto nella nona, e ci offre l'acrostico con la paternità dell'inno: ΩΔΗ ΙΩΣΗΦ.

Il Parig. gr. 13 = *Q*, obbedendo a prescrizioni del typikon, riportate in rubrica all'inizio dell'acoluthia, offre del canone sei tropari per ode. Dobbiamo lamentare la mutilazione del pregevole Parig. gr. 1570 = *Pf*, la cui caduta di un foglio ci priva della struttura completa del canone, dal quinto tropario della settima ode in poi. Esso ci avrebbe dato il canone nella sua presunta integrità: infatti generalmente coincide con *Q*, anche se si differenzia in qualche tropario. Il particolare che distingue *Pf* e lo rende più pregevole è l'aggiunta, per una mano posteriore e ai margini dei fogli, di due tropari per ciascuna ode. Il *Pf*, in fondo, rappresenterebbe uno stadio anteriore (saremmo arditi se dicessimo originale) del canone, al quale si rifà più strettamente l'ode θ' della tradizione di *Pa*.

Il corpo innografico di *Pf* si trova disseminato irregolarmente nelle altre tre tradizioni, ma si vanta della presenza di un tropario a loro sconosciuto. La circostanza a noi appare molto interessante, perché nella persona che adottava il codice si nota un appassionato spirito filologico teso più alla integrazione dei testi innografici che all'obbedienza dei typikà. Egli doveva avere sotto mano un esemplare completo e rispettoso delle creazioni innografiche; esemplare che non ci è stato dato riconoscere nelle nostre ricerche e che non sappiamo se ancora sussista. Comunque, malgrado confortati in certo qualmodo dalla tradizione *Pf*, non possiamo dire che l'ordine strofico sia l'originale perché il canone, salvo che nella nona ode, è privo di acrostico. Per tale motivo abbiamo seguito il metodo acquisito nella costituzione degli « Analecta Hymnica Graeca » e che lascia immutate le tradizioni consacrate nei manoscritti.

È superfluo rilevare che tutte le tradizioni sono collegate dagli stessi heirmoi, che sono presi da tre acoluthie di Andrea (1), dell'ἦχος δ'. La composizione, com'è dichiarato nell'acrostico dell'ode nona, è di Giuseppe (2).

(1) *EE* 106, n. 149; 104, n. 147; 107, n. 150.

(2) Non consideriamo sia il caso di cercare un Giuseppe diverso dall'Innografo per attribuirgli la paternità del canone. Il fatto che esista ancora un altro canone col nome di Giuseppe dedicato agli stessi santi e modulato sullo stesso ἦχος non è assolutamente motivo per dubitare che ambedue le composizioni appartengano allo stesso autore. Né, tanto meno, sarebbe valido il motivo della mancanza dell'acrostico per essere impediti a riconoscere Giuseppe stesso autore della seconda composizione. Il vasto repertorio del nostro innografo ci dimostra con i molti esempi proprio il contrario.

Il carattere del canone è squisitamente doxastico perché inneggia alle virtù taumaturgiche dei santi fratelli, che dispensano guarigioni a coloro che con fede ricorrono al loro tempio (1). Il tono stesso dell'inno giustifica l'enfasi del periodare e la ricorrenza di espressioni laudative. I richiami alle virtù taumaturgiche sono assolutamente generici, sicché sfugge la possibilità di individuare una fonte agiografica preferita. I theotokia (salvo quello dell'ode ζ') si trovano anche nel canone dello stesso innografo assegnato dalla tradizione manoscritta alla celebrazione del Iº luglio (2).

Sorvolando sugli inni editi nei libri liturgici diremo che oltre ai canoni inediti di cui ci fà accenno l'Eustratiadis (3), vi sono degli altri che ancora attendono l'esumazione da parte degli studiosi. Segnaliamo frattanto i canoni: al Iº luglio, Vatic. gr. 2308, ff. 41-43, inc. Ταῖς ὑμῶν πρὸς Κύριον λιταῖς...; al Iº novembre, Palat. gr. 138, ff. 325v sqq., di Giovanni monaco, acr. ᾎδω γεγηθὼς τῶν Ἀναργύρων χάριν· ὁ μοναχὸς Ἰωάννης (4); Vatic. gr. 2309, ff. 1r-v, canone mutilo fino alla sesta ode, inc. Ῥέοντες ἀναψυχῆς ἰάματα, ἅγιοι.

II

Questo secondo canone ci è dato dal Cript. Δ.α. XIII = *Cc*. Del fondo innografico criptense esso è tra i più rappresentativi per antichità e ricchezza di contenuto. Diremmo che il repertorio canonario inedito del mese di novembre ha in esso uno dei più ricchi custodi, che si affianca ad altri manoscritti della tradizione italogreca e costituisce una fonte sicura e doviziosa del repertorio poetico ecclesiastico bizantino.

Della composizione viene annunziato l'acrostico, ma non il nome dell'autore che rimane così sconosciuto. Dagli inizi dei theotokia, che

(1) Il tempio dei santi Anargiri Cosma e Damiano frequentemente menzionato nei versi dei canoni I (1), I (2) e III va identificato con la chiesa costantinopolitana a loro dedicata, ove avveniva la loro σύναξις. Sulla questione cfr. R. Janin, *La géographie ecclésiastique*, 294-295.

(2) *PG* 105, 1137-1140.

(3) Eustratiadis, *Ταμεῖον* ..., *EPh* 38 (1939), 99.

(4) Cfr. H. Stevenson Sen., *Codices manuscripti Palatini Graeci Bibliothecae Vaticanae*, Romae 1885, 70.

non sono compresi nell'acrostico stesso, purtroppo non si desume alcun nome.

Nel complesso del canone si evidenzia un carattere encomiastico dei taumaturghi, mentre nei theotokia e segnatamente nell'ode ottava, l'autore sembra indulgere in una paraclesi personale suggerita dalla liberazione di un male fisico sofferto. Siamo d'accordo che in senso allegorico una simile preghiera sia adattabile ad ogni fedele, tuttavia, contro lo spirito che informa le composizioni canonarie in generale, il riferimento al caso personale dell'innografo suona come una nota del tutto particolare.

A parte gli attributi dei santi, comuni nelle commemorazioni in onore di ogni taumaturgo (φωστῆρες, λαμπτῆρες, κρουνοὶ ecc.), ciò che appare meno frequente è l'espressione che raffigura i fratelli Anargiri come μαζοὶ ἁγίας χάριτος (vv. 124-125) (1). Questa a noi sembra sia la frase più icastica della composizione nella quale l'innografo si distingue nel trattamento della terminologia encomiastica più diffusa.

Gli heirmoi, di ἦχος πλ. α', sono tratti da una acoluthia di Giovanni (2), salvo quello della ode β' che è mutuato da Andrea (3).

Conviene attirare l'attenzione del lettore sulla perfetta metrica dell'acrostico e l'armonica distribuzione del numero dei tropari, che sono quattro nelle odi interne (β'–η') e cinque nelle due estreme (α'–ϑ').

III

Anche questo canone è un dono del Cript. Δ.α. XIII = *Cc*. Il poeta ha voluto celebrare gli Anargiri con la evocazione dei loro prodigi. L'architettura del canone manifesta che nell'attuare tale proposito l'innografo pose davanti a sé la narrazione dei miracoli dedicando a ciascuno di essi un tropario. Sappiamo che la collana della narrazione comprendre 48 miracoli (4). Dalla struttura della composizione potrebbe sembrare che il proposito iniziale del poeta fosse di far procedere i tropari stessi in acrostico alfabetico dall'A-Ω e, viceversa, dall'Ω-A, che avrebbero esattamente espletato la serie

(1) Cfr. anche il canone IV (1), v. 62 e il *MR* II, 8.
(2) *EE* 131, n. 182.
(3) *EE* 137, n. 192.
(4) Cfr. L. Deubner, *Kosmas und Damian*, Leipzig 1907, 97-208; E. Rupprecht, *Cosmae et Damiani sanctorum medicorum vita et miracula e codice Londinensi*, Berlin 1935, 1-82. — *B.H.G.*³ 385-392.

dei 48. miracoli. Senonché la stesura dell'inno, le cui odi, escluso il theotokion, sono limitate a quattro tropari, dimostra un proposito diverso e ben più complicato. I miracoli da celebrare dovevano essere 33. La mistica e la sacralità del numero sono intuitive. Da tale progetto discendeva, però, il problema dello sviluppo e completamento dell'acrostico, che non poteva esaurirsi, in soli 36 tropari (1). E allora l'innografo ricorse a questo espediente: egli esaurisce l'alfabeto A-Ω alla fine della sesta ode, per riprendere in senso inverso dal primo tropario dell'ode settima in poi. L'acrostico stesso si snoda sulla prima lettera di ogni tropario sino alla lettera P che coincide con la fine dell'ode ottava; successivamente l'innografo per esaurire le altre 16 lettere rende alfabetici non più i tropari, ma i versi.

Oltre sulla particolarità della struttura del canone ci piace attirare l'attenzione su una circostanza degna di rilievo. Infatti l'innografo nello sviluppo dei tropari evocava i miracoli pedissequamente all'ordine esistente nella fonte, sottoponendosi, è ovvio pensarlo, a un notevole sforzo di sintesi ed esaltando una maestria compositiva innanzi alla quale non si può non rimanere ammirati.

La fedele corrispondenza dei tropari alle narrazioni, i richiami a particolari malattie, spesso citate con termini specifici, nonché a circostanze singolari appena adombrate ci hanno reso doverosa la ricerca, l'identificazione e il riporto dei passi agiografici che offrivano al poeta la materia celebrativa. Ciò, mentre era di obbligo per noi al fine di offrire una esegesi sicura e circostanziata, d'altra parte è risultato di sommo giovamento nella ricostituzione del testo, dato che l'unico codice che ne è depositario abbonda di corruzioni ed errate letture.

Gli interventi operati su alcune lezioni del codice (cfr. vv. 42, 93, 124, 176, 180, 279, 285, 325 ecc.) senza l'ausilio del testo agiografico, al quale attinse l'innografo, non sarebbero stati mai possibili.

La tradizione del manoscritto ci garantisce l'autenticità del canone, considerato nella struttura dianzi illustrata, ma non in quella dei theotokia. La maggior parte di essi, infatti, risulta incardinata, attraverso l'acrostico, in un canone di Teofane in onore di Teodoro Studita (2). Si tratta dei theotokia delle odi α', γ', δ', ε' e η' che ovviamente abbiamo presentato entro i segni di espunzione. Per tale

(1) Perché le odi sono nove e ciascuna, escluso il theotokion, consta di quattro tropari.
(2) Cfr. *MR* II, 112-119.

motivo non abbiamo creduto opportuno — e sarebbe stata una contraddizione — di integrare la sesta ode del theotokion di cui è mancante prendendolo dallo stesso canone di Teofane (1). Inedito, invece, risulta il theotokion dell'ode nona del quale, tuttavia, non siamo in grado di garantire l'autenticità.

Gli heirmoi, di ἦχος πλ. δ', appartengono a tre acoluthie di Giovanni (2), ad eccezione di quello dell'ode β' che appartiene a Germano (3).

IV

Il quarto canone, attinto dal Vaticano gr. 1850 = *Ve*, si presenta con indizi che ci fanno dubitare della sua integrità. A inoculare tale sospetto è il Parigino gr. 259 = *Pa*, il quale presenta un canone che ha un identico inizio, condivide con *Ve* sette tropari (ode α', trop. 1-2; ode δ', trop. 2; ode ζ', trop. 1-2; ode ϑ', trop. 1-2), mentre differisce per tutto il resto dalla composizione che qui presentiamo. Poiché i tropari comuni agganciano la tradizione del *Pa* a questa di *Ve* abbiamo creduto necessario inserire nella nostra collana la tradizione del Parigino stesso, seguendo i sistemi e criteri che reggono la condotta esumatrice degli « Analecta Hymnica Graeca ».

Sul repertorio innografico in onore degli Anargiri Cosma e Damiano l'obbedienza alle prescrizioni dei typikà ha creato un disordine tale che è impossibile al giorno d'oggi dissipare. Gli inni che in onore degli stessi santi sono stati distribuiti nelle varie date celebrative (4), costituiscono un unico repertorio.

(1) Il theotokion dell'ode seconda è edito in *TR*, 258.
(2) *EE* 219, n. 314; 220, n. 315; 223, n. 319.
(3) *EE* 226, n. 323.
(4) Cfr. p. 557, note 1 e 2. Il Vaticano gr. 1558, ff. 183-189 (cfr. anche C. Giannelli, *Codices Vaticani Graeci – Codices 1485-1683*, in Bybliotheca Vaticana MCML, 148), e i Parigini gr. 345, ff. 218v-224, e 1569, ff. 143v-147 tramandano un canone dedicato alla traslazione delle reliquie dei santi Anargiri Ciro e Giovanni (28 giugno) e in cui i primi tropari delle odi α' e ζ' ricalcano ora ad litteram ed ora più liberamente i relativi primi tropari del nostro canone quarto. La diversità della data, dei nomi dei santi, che di comune hanno solo l'attributo di Anargiri, e il differente ulteriore sviluppo delle odi ci ha fatto nettamente separare come corpi innografici distinti il canone in onore di Ciro e Giovanni e questo in onore di Cosma e Damiano. Le coincidenze, non rare nella letteratura ecclesiastica, debbono attribuirsi a influenze o addirittura a tentativi di imitazione.

Mentre il Vaticano gr. 1850 tace il nome dell'innografo, in margine alla rubrica del Parigino gr. 259 come autore del canone è segnalato il nome di Germano e non abbiamo, almeno per il canone IV (2), ragione di non aver fede alla tradizione del manoscritto. È da notare che il theotokion della sesta ode (vv. 66-69, inc. Ἡ μόνη διὰ λόγου...) si trova in molti canoni (1).

Gli heirmoi di modo quarto plagiale sono di Germano (odi α', γ', δ', ε', η', ϑ') (2), di Giovanni (ode ϛ') (3) e di Andrea (ode ζ') (4).

Gli heirmoi del canone della seconda tradizione sono comuni solo nelle odi α', δ', ε', ζ' e ϑ' mentre gli altri differiscono ed appartengono tutti e tre a Germano (5).

(1) *MR* I, 183; in questo volume canoni X, vv. 152-155, XVI vv. 89-92 e in V volume degli *AHG* canoni XX, vv. 150-153, XXII, vv. 79-82, XXVII(I) vv. 131-135. Lo stesso theotokion troviamo anche nel canone del Parig. gr. 1569, dedicato, come si è già detto, alla traslazione delle reliquie dei santi Anargiri Ciro e Giovanni (28 giugno).
(2) *EE* 229, n. 328; 226, n. 323; 226, n. 324; l'heirmos dell'ode γ' è di ambigua attribuzione: esso va sotto il nome sia di Germano (*EE* 229, n. 328), che di Giovanni (*EE* 224, n. 321).
(3) *EE* 224, n. 321.
(4) *EE* 228, n. 326.
(5) *EE* 226, n. 324; 226, n. 323; 229, n. 328.

1 NOVEMBRE

S. CESARIO

Discrepanza di date sussiste sulla commemorazione di S. Cesario. Il Sinassario Costantinopolitano la assegna al 7 ottobre (¹), mentre il Martirologio Romano al 1 novembre (²). E in tale data è celebrato nel famoso Vaticano gr. 2 = *V* e nel Mess. gr. 135 = *N*, il quale rispecchia la stessa tradizione. Lo scriba del codice *N*, obbedendo alle prescrizioni dei typikà, limita le odi a una stesura di quattro tropari ciascuna, theotokia compresi.

L'inno è contrassegnato dalla sigla dell'autore. Esso è creazione propiziatrice dell'archimandrita Crisanzio (Χρυσάνθου), che volle consacrare il proprio nome nel testo stesso dell'acrostico.

Corrispondentemente alla Passio (³), alla quale si rifà nei punti più rilevanti, alla rievocazione dei momenti più significativi del martirio, l'innografo intercala la preghiera perché siano tenuti lontani i pericoli e la raccomandazione perché i cristiani imitino i santi nelle virtù e non incorrano negli stessi delitti degli esecutori del martirio.

L'archimandrita Crisanzio non era un innografo consumato: diremmo che egli aveva poca dimestichezza sia con la lingua che con il metro. A tale giudizio ci inducono la povertà del tessuto letterario, la poca o nessuna elasticità nella enucleazione del periodo, nonché l'uso invigilato e sforzato di avverbi, preposizioni e voci monosillabiche. Questi elementi depongono per la individuazione dell'archimandrita Crisanzio nell'area squisitamente italo-greca, dove il culto di S. Cesario era largamente diffuso. Dall'inno si trae altresì l'impressione che l'autore abbia voluto sopperire con una composizione pro-

(¹) *Synax. CP.*, 115-118.

(²) *Mart. Rom.*, 488-489; il Sinassario Geronimiano lo commemora al 21 aprile, perché sembra che in tale giorno fosse stato dedicato al santo un tempio; cfr. R. Van Doren, in « Dictionnaire d'Histoire et de Géographie Ecclésiastiques » 12 (1953), 185.

(³) *AA.SS.* Nov. I (1887), 106-117, 126-129. — *B.H.G.*³ 284-285; cfr. anche i relativi brani della Passio portati sotto il testo.

pria alla mancanza di un canone dedicato specificatamente al martire Cesario ed ai suoi compagni (¹).

L'epoca in cui sarebbe vissuto il nostro improvvisato innografo anche se non è puntualizzabile in termini molto stretti, tuttavia può essere circoscritta in un ambito cronologico non molto ampio. L'età del codice, secolo X, costituisce un innegabile terminus ante quem. E d'altra parte l'adozione di alcuni theotokia attribuiti, salvo errore di tradizione, a Teofane (²) ci indirizzano verso lo scorcio di tempo compreso fra la metà del secolo IX e la prima metà del secolo X. Evidente nel canone è l'ispirazione alla Passio e ai miracoli (interessante è il richiamo alla guarigione di Galla Placidia vv. 282-291) che offrirono all'autore la materia della composizione.

Circa la struttura del canone diremo che le odi sono formate di un numero disuguale di tropari che va dai cinque ai sette. È da notarsi la presenza dei triadikà nelle odi ζ', η' e θ', che, però, assieme ai theotokia, sono estranei all'acrostico. Non sapremmo dire se il triadikon dell'ode θ' (Νήφοντες...), che rappresenta l'ultima lettera dell'acrostico (AMHN) sia originale oppure sostituisca un altro tropario perduto e che iniziasse con la stessa lettera. Sta di fatto che l'ode nona, a differenza delle altre, presenta, in onore dei martiri, solo tre tropari anziché quattro.

Le odi sono modulate su heirmoi di ἦχος πλ. δ' di due acoluthie di Giovanni (³).

(¹) Non sappiamo se Bartolomeo di Rossano conoscesse la composizione di Crisanzio; il fatto che egli, il più destro degli innografi italo-greci, abbia voluto ugualmente onorare la memoria di S. Cesario (cfr. *AA.SS.* Nov. I, 98-104. — *GIB*, 49-56, 287-294) potrebbe far pensare che non la conoscesse affatto o che, punto ammirato, abbia voluto sopperire più degnamente a un'esigenza della ufficiatura.

(²) I theotokia delle odi α', γ', δ' e ε' appartengono ad un'acoluthia di Teofane per S. Atanasio (18 gennaio); cfr. *MR* III, 280-283.

(³) *EE* 219, n. 314; 222, n. 317.

3 NOVEMBRE

SS. ACEPSIMA, GIUSEPPE E AEITHALA

Il canone dedicato ai santi Acepsima, Giuseppe e Aeithala (1) si raccomanda per forbidezza di stile, piena padronanza delle più eleganti forme letterarie nonché del metro. I tropari si snodano con facilità e chiarezza. Non sappiamo di sicuro — e del resto il canone è privo di acrostico — chi ne sia l'autore. Egli deve essere cercato nel novero dei più celebrati cantori della Chiesa greca. Il vetustissimo Vaticano gr. 2 = *V*, del secolo X, lo attribuisce all'Agiopolita, il Parigino gr. 259 = *Pa*, del secolo XII, a Giovanni monaco (2). Tra questa discordanza non è possibile prendere partito: diremo solo che il canone è degno di essere tanto dell'uno quanto dell'altro melode.

Le tradizioni sono squisitamente italo-greche. Sono consacrate in codici antichissimi e venerabilissimi. Basti ricordare il Cript. Δ.α. XIII = *Cc*, sec. XI, il Cript. Δ.α. III = *Cd*, sec. XII e per età ancora più vetusto il già menzionato Vaticano gr. 2 = *V*. In questi tre manoscritti distinguiamo nettamente due tradizioni rappresentate rispettivamente da *Cc* e da *V*. La posizione del *Cd* è intermedia in quanto il codice Δ.α. III partecipa di talune caratteristiche comuni ora al *Cc* ora al *V*. Altro manoscritto della pregevole tradizione è il Parig. gr. 259 = *Pa*. Citeremo altri codici che abbiamo escluso nel procedimento della costituzione del testo. Essi sono: il Vaticano gr. 1508, ff. 90-92v, il Messinese gr. 138, ff. 7v-11 e il Barberino gr. 535, ff. 192-194v, i quali, pur con varianti proprie, echeggiano la tradizione del *V*.

---

(1) Le vite greche dei santi Persiani cfr. in H. DELEHAYE, *Les versions grecques des Actes des martyrs persans sous Sapor II*, in « Patrologia Orientalis » II, Paris 1907, 401-560. Una critica dei dati biografici dei santi cfr. in P. PEETERS, *Le « Passionaire d'Adiabéene »*, « Anal. Boll. » 43 (1925), 289-298.

(2) L' EUSTRATIADIS, *Ὁ ἅγιος Ἰωάννης ὁ Δαμασκηνὸς καὶ τὸ ποιητικὸν αὐτοῦ ἔργον*, *NS* 26 (1931), 728, basandosi sulla testimonianza del Lauriota Δ 14, ed evidentemente anche su quella del Parig. gr. 259, lo attribuisce al Damasceno.

